2396. HTO
450 –

# AENEIDIS
# PUBLII VIRGILII MARONIS
## LIBRI XII.

# ΤΗΣ ΑΙΝΕΙΑΔΟΣ
# ΠΟΥΒΛΙΟΥ ΟΥΙΡΓΙΛΙΟΥ ΜΑΡΩΝΟΣ
## ΒΙΒΛΙΑ ΤΑ ΙΒ.

# AENEIDIS
# P. VIRGILII MARONIS
## LIBRI XII.

GRAECO CARMINE HEROICO EXPRESSI,

NOTISQUE PERPETUIS ILLUSTRATI

STUDIO AC LABORE

EUGENII DE BULGARIS

Academiæ Athoniadis pridem Rectoris, tum Constantinopoli in Schola Patriarchali Scientiarum Professoris Primarii, ac Magnæ Ecclesiæ Referendarii

Et demum ad nuper constitutum Archiepiscopatum Slavenienſem et Cherſonenſem Primi Archiepiscopi promoti, atque Imperialis Academiæ Scientiarum *Petropolitanæ* Socii Honorarii;

Qvi Typis nunc primum, ad usum Helleno-Rossicæ Juventutis, Græcorum in Russiaco Imperio coloniarum, educandæ

SUNT EXCUSI

JUSSU

AUGUSTISSIMÆ ATQUE POTENTISSIMÆ IMPERATRICIS OMNIUM ROSSIARUM

&c: &c: &c:

# AEKATERINAE II.

TOMUS PRIMUS CONTINENS LIBROS

I——IV.

PETROPOLI

In Academia Scientiarum

MDCCLXXXXI.

# ΤΗΣ ΑΙΝΕΙΑΔΟΣ
# ΠΟΥΒΛΙΟΥ ΟΥΙΡΓΙΛΙΟΥ ΜΑΡΩΝΟΣ
## ΤΑ ΙΒ. ΒΙΒΛΙΑ

ΕΝ ΗΡΩΙΚΩΙ ΤΩΙ ΜΕΤΡΩι ΕΛΛΗΝΙΣΤΙ ΕΚΦΡΑΣΘΕΝΤΑ

ΚΑΙ ΣΗΜΕΙΩΣΕΣΙ ΔΙΗΝΕΚΕΣΙ ΔΙΕΥΚΡΙΝΗΘΕΝΤΑ,

Σπουδῇ καὶ Πόνῳ

ΕΥΓΕΝΙΟΥ ΤΟΥ ΒΟΥΛΓΑΡΕΩΣ

Τοῦ πρώιω μὲν κατὰ τὼ Ἀθωνιάδα Ἀκαδημίαν Σχολαρχήσαντος, ἔπειτα δὲ, ἐπὶ τῆς ἐν Κωνσαντινοπόλει Πατριαρχικῆς Σχολῆς Διδασκάλε τῶν Ἐπιστημῶν καταστάντος, καὶ Ῥεφερενδαρίε τῆς Μεγάλης Ἐκκλησίας προχειριθέντος·

Τέως δὲ ἐπὶ τιὼ ἀρτίως συστᾶσαν Ἀρχιεπισκοπιὼ Σλαβιωνε καὶ Χερσῶνος Πρώτε Ἀρχιεπισκόπε προβιβαθέντος, καὶ τοῖς ἐν τῇ κατὰ Πετρόπολιν Αὐτοκρατορικῇ Ἀκαδημίᾳ τῶν Ἐπιστημῶν τεταγμένοις ἐναριθμηθῆναι καταξιωθέντος.

Τύποις νεῶ πρῶτον ἐκδοθέντα
εἰς Χρῆσιν

Τῶν Ἑλλωο-Ῥώσων Νεανίσκων, τῶν ἐν ταῖς ὑπὸ τῷ Ῥωσσικῷ Κράτει Ἑλλωικαῖς Ἀποικίαις ἀνατραφησομένων.

ΚΕΛΕΥΣΜΑΤΙ

ΤΗΣ

## ΤΡΙΣΣΕΒΑΣΤΟΥ ΚΑΙ ΚΡΑΤΑΙΟΤΑΤΗΣ ΑΥΤΟΚΡΑΤΟΡΟΣ ΑΠΑΣΩΝ ΤΩΝ ΡΩΣΣΙΩΝ

κτ: κτ: κτ:

# ΑΙΚΑΤΕΡΙΝΗΣ Β.

ΤΟΜΟΣ ΠΡΩΤΟΣ ΠΕΡΙΕΧΩΝ ΒΙΒΛΙΑ

Α——Δ

ΕΝ ΠΕΤΡΟΥΠΟΛΕΙ

Ἐν τῇ Αὐτοκρατορικῇ Ἀκαδημίᾳ τῶν Ἐπιστημῶν.

ΕΤΕΙ 1791.

Ἑλλαδικῆς γαίης Ἥρως μὲν Ὅμηρος ἄειδε
Μολπῇ Ζεσπεσίῃ, ἀὐσονίδος δε Μάρων·
Τῷ δ' ΑΙΚΑΤΕΡΙΝΗΣ κλεῖος μέγα εὐρυνάσσης
Ξύν τε δὺ' ἐρχομένω, δ'κεν ἄεισαν ἄλις.

Πιν. Γ. Βελιος.

Χρ. Κ. Βασιλειου.

Κρ. Βλ. Σοφοκλ.

ΤΗΝ ΕΥΣΕΒΕΣΤΑΤΗΝ ΚΡΑΤΑΙΟΤΑΤΗΝ ΓΑΛΗΝΟΤΑΤΗΝ
ΤΡΙΣΣΕΒΑΣΤΕ ΕΥΡΥΚΡΕΙΟΥΣΑ ΑΝΑΣΣΑ
ΜΕΓΑΛΗ ΚΥΡΙΑ
ΙΜΠΕΡΑΤΟΡΙΣΣΑ
# ΑΙΚΑΤΕΡΙΝΑ Β.
ΑΥΤΟΚΡΑΤΟΡ
ΑΠΑΣΩΝ ΤΩΝ ΡΩΣΣΙΩΝ
κτ: κτ: κτ:

Τῆδ' ὅπερ ἐυμενῶς πάνυ, καὶ φιλανθρώπως, καὶ κηδεμονικῶς ἐπέτρεψας ἐπινεύσασα, ΥΠΕΡΤΑΤΗ ΚΥΡΙΑ, πάρεξιν ἡ Αἰνειὰς, ἡ τὸ Κορυφαιοτάτε τῶν παρὰ Λατίνοις Ποιητῶν Μάρωνος τηλυγέτη παῖς, τῆς ΣΗΣ ἐνώπιον ΤΡΙΣΣΕΒΑΣΤΟΥ ΜΕΓΑΛΩΣΥΝΗΣ, ἐν περιβολῇ ὀθνείᾳ τε οἱ καὶ ἀήθει, πέπλον ἐσαλμένη καὶ φάρος Ἑλλαδικὸν, ἡ Αὐσονὶς. Προσιᾶσα δὲ ὑπὸ τοιῷδε τῷ χήματι, ὄψεις τε καθίεισιν ἐς ἔδαφος, καὶ δέμας ὅλον· καὶ τοῖς ποσὶν ἑαυτιὼ ἐπιῤῥίπτει τὸ ΑΥΤΟΚΡΑΤΟΡΙΚΟΥ ΘΡΟΝΟΥ ΤΟΥ ΣΟΥ, ἱδρῶτι συχνῷ ῥεομένη, αἰδοί τε σωεχομένη καὶ δέει πολλῷ. Οὐχ ὅπως γὰρ ἰλιγγιᾷν αὐτῇ ἐπέρχεται καὶ καταθαμβεῖσθαι, καὶ μονονοχὶ καὶ τῶν φρενῶν ἐκπίπτειν, τὸ ἀκρότατον καὶ θεσπέσιον ἀνασκοπέσῃ τὸ Ὕψος πρὸς ὃ παρέξηκεν, ἀλλὰ καὶ ἄλλως ἐφ' ἑαυτῆς ἐπισρεφομένῃ, ἔτι πως καὶ ὁικοθεν τῇ αὐτῇ συμβαίνει διαθροεῖσθαι καὶ ἐπιθράττεσθαι. Ἔπεισι γὰρ ἅμα κ' παλαιᾶ κινδύνε μεμνῆσθαι, ὃν ὑπῆλθε ποτὲ προκύψασα

κατ'

ποτὲ ἡ ἐν ΣΟΪ Θειοτάτη καὶ Μεγάλη Ψυχὴ, περὶ τὸ Ἑλληνικὸν ἅπαν γένος, τὸ οἰκτρὸν τοῦτο, διάκειται· ὅσῳ τε πρὸς ἐυποιΐαν τῷ αὐτῇ τότε διὰ παντὸς ἐνδείκνυται ῥοπῷ ἐνθέε τε καὶ ἀγαθοπρεπῆς προαιρέσεως, καὶ μεγαλοπρεπῆς καὶ Βασιλικῆς τῷ ὅλῳ κηδεμονίας τε καὶ ἐπισκέψεως, ὁ αὐτὸς καὶ τὸ γένος Ἕλλιω, τοῖς ὑπὸ τὸ ΣὈΝ ΚΡΆΤΟΣ τελοῦσιν ἀριθμεῖσθαι κατ' ἐυκληρίαν ἠξιωμένος, ἐυγνώμονος τρόπε δεῖγμα ὁποιονοῦν ἔγνων παρέξειν, ἔτι καὶ αὐτὸς, τόγ' ἐπ' ἐμοὶ, συμβαλέσθαι προθυμηθείω, πρὸς τὸν σκοπὸν τεῖνον ΣΟΫ τῆς ΜΕΓΆΛΗΣ ἡμῶν Ἐυεργέτιδος. Καί δὴ θαῤῥοώτως τῇ τοιᾷδε μεταφράσει ἐμαυτὸν φέρων ἐπέδωκα· καὶ ἔργον (εἰ καὶ δυχερὲς ἄλις καὶ ἐπίπονον·) ἀναβαλέσθαι τοῦτο προήχθιω, ὅτε αὐτοῖς τοῖς ὁμογενέσι τοῖς ἐμοῖς ἀσωτελὲς τὸ παράπαν ἐσόμενον αὐτὸ δόξας, καὶ οὐδὲ τῇ ΣΗΪ ἈΚΡΟΤΆΤΗΙ ΓΑΛΗΝΌΤΗΤΙ, τῇ Μητρικιῷ οἵαν ὑπὲρ τῶν Ἑλλώων πρόνοιαν περιφανῶς ποιεμένῃ, ὡς κομιδῇ τι φοβοδον

ἄλλως

ἄλλως καὶ ἀδόκιμον, παροπτέον. Καὶ γάρ τοι καὶ ὑπῆρχον μὲν (ὅπερ ἀγνοεῖν ἀχ οἷον ΣΕ ΔΕΣΠΟΙΝΑ, Ἥτις, τὸ τᾶ Φιλοξράτε πρὸς τιὼ Σευήρε ῥηθὲν Αὐτοκράτορα, ἀτεχνῶς εἶ Σοφία καὶ Μῆτις.) αἱ Ὀυϊργιλιε Ῥαψῳδίαι αὗται δημοσίᾳ παρ ἄλλοις περιϊοῦσαι, ὑπὸ παντοδαποῖς εἴδεσι καὶ μορφαῖς διαφερεσῶν Διαλέκτων, πᾶσι κοινῇ περιπάδασοι· ὡς μηδ' εἰπεῖν ἕναν ῥᾴδιον, ἔν τι ὁποιονῦν τῶν ἀν' Εὐρώπιω ἐθνῶν γενέθαι, τὸ παιδείας ὁποσονῦν καὶ λόγων ἀντιποιάμενον, ὃ μὴ, κατὰ τὸν παρ αὐτῷ κρατοῦντα τᾶ φθέγματος χαρακτῆρα καὶ τόνον, τιὼ τᾶ Μάρωνος Αἰνειάδα, καθάπερῦν καὶ τῶν ἐκείνε Ποιημάτων τὰ ἄλλα, μετενεχθεῖσαν πλεστῆσαι πεφιλοτίμηται. Εὕροι δ' ἄντις καὶ πλεῖν ἢ ἅπαξ τιὼ τᾶτων ἐκπονηθεῖσαν μετάφρασιν, ἐπὶ μιᾶς Διαλέκτε καὶ τῆς αὐτῆς· πολλῶν ἀμέλει ὡς ἐξ ἔριδος περὶ τὸ αὐτὸ φιλονεικησάντων, καὶ τῶν μὲν εἰς τᾶτο πεζῇ ἀποχρησαμένων τῇ λέξει, τῶν δὲ καὶ τῷ παρὰ σφίσιν ἐπιτηδευομένῳ, ἐμμέτρῳ, ἢ ἐρρύθμῳ λόγῳ·

λόγῳ· ὡς ἄμεινον ἑκασοισῶν ἔδοξεν ἔξειν, διὰ τὸ κατ' αὐτὰς ἀπομαχθέντος, προσφυεστέραν ἐνεήσασθαι καὶ ἐμφερεστέραν τῷ τὸ ὑποκειμένου πρωτοτύπου κάλλους ἐκμίμησιν. Ἤδη δὲ, καὶ οὐδ' ἡ Ῥωσσία, ΔΕΣΠΟΙΝΑ ἡ ΣΗ, ἀπελείφθη ὅλως τὸ πρὸς τῷ ἄμιλλαν καὶ αὐτὴ ἀποδύσασθαι· ἀλλ' ἡ Αἰνειὰς προῆλθε κἀνταῦθα, πρός τινος τῶν θεραπόντων τῶν ΣΩΝ, Ἀνδρὸς ἀρίστου, ἐκρωσσιστέσα, κάλλιστον τοῦτο ἀπόδυσμα ἔναγχος φιλοπονηθέν τε καὶ ἐκδοθέν. Καὶ προσεγένετο ἄρα καὶ τόδε τῷ μεγαλοδόξῳ τῶν Ῥώσσων Ἔθνει, πρὸς μυρίοις ἀγαθοῖς ἄλλοις, τοῖς, ὅτε λόγῳ ῥητοῖς, ὅτε φαντασίᾳ ῥᾳδίως ληπτοῖς, οἷς ὑπὸ τῷ ΣΩΙ ΚΡΑΤΕΙ εὐθυνεῖται ἡ τρισσευδαίμων καθίσταται, τὸ καὶ διὰ φωνῆς τῆς οἰκείας αὐτὸ ἐπαίειν ἔχειν τὰ τεθρυλλημένα πάλαι Τρωϊκὰ καὶ Ῥωμαϊκὰ κλέα τε καὶ ἀνχήματα, ποιητικῶς ἐξᾳδόμενα· ὧν μέντοι τὰ ἴσα, καὶ ἔτι μείζω, καταρθὲν ὁρώμενον αὐτὸ καθ' ἡμᾶς ἐμπράκτως, συνιάζειν ἑοικέπως ἐκεῖνα ἢ, ἀποκρύπτειν, εἰς ἀκμὴν δυνά-

μεως

μεως ὑπὸ ΣΟΙ ΑΥΤΑΡΧΟΥΣΗι δαιμονίως τε καὶ ὑπερφυῶς προαχθὲν (Νεμέσεως δὲ βέλος μὴ βάλοι!) καὶ ἐπὶ κολοφῶνος δόξης ἐπαρθὲν κ, λαμπρότητος. Μόνιω ἐξ ἀτυχίας ἐν χήτει σωέβαινεν εἶναι τὸ καλὸ τὸδε Ποιήματος πιῶ Ἑλλάδα φωνιῶ· ἦν καὶ μόνιω ἴσως, καὶ μάλιστα, καὶ πρὸ τῶν ἄλλων ἁπασῶν, αὐτὸ περιποιεῖσθαι προσῆκεν οἰκειωμένιω, καὶ ἐν αὐτῷ σεμνιωμένιω ἐγκαλλωπίζεσθαι, ὡς καὶ μάλιστα αὐτῇ διαφέροντι, καὶ τοῖς τε ἐν αὐτῷ δραματουργημένοις, καὶ τοῖς λοιποῖς ἐπεισοδίοις, καὶ χαρακτῆρι τῆς Φράσεως, καὶ τρόποις, καὶ χήμασι, καὶ τῇ τὸ ῥυθμὸ τελευταῖον καὶ τὸ μέτρο ἐμμελείᾳ καὶ χάριτι, ὅτι ἐγγυτάτω τῇ γλώσσῃ ταύτῃ καθισαμένῳ, καὶ, ὡς εἰπεῖν, ἀγχιξένοντι κατὰ πολλιὼ οἰκειότητα. Ἤπο δὲ ὀκ ἔξιν ὑδεὶς τῶν περὶ τὸ τοιὸν δε τῆς Φιλολογίας εἶδος ἀχολομένων, ὅς σωορᾷν ὀκ ἔχει, ἐπὶ μιᾶς ταύτης τῆς τὸ Μάρωνος Αἰνειάδος σωειλῆφθαιτε καὶ σωαποτεθεῖσθαι ἀθρόα, πάνθ' ὅσα τῆς Ὁμηρικῆς Μούσης ἐςὶ τὰ κάλλιστα καὶ ἐπι-

 σημό-

σημότατα. Ὡς ἄτις ἄν, ὡς δὶ εἰκόνος, εἰπεῖν ἐναχθείη, ὅτι τὸν τῦ Ἕλλιωος Ποιητῦ σύμπαντα πλῆτον εἰς ἓν συλλέξας ἐπ' Ἰταλίας ὁ Λατῖνος ἐξ Ἑλλάδος μετακομῖσαι, ὥσπερ ἡ παρ' αὐτῷ Διδὼ πεποίηται τὸν Συχαίυ, ἢ Πυγμαλίωνος, ἀπὸ Τύρυ ἐπὶ Καρχηδόνος διαπορθμεύσασθαι ἄρασα, εἰκ ἄν ὶμαι τῦ ἀληθῦς πάνυ πόρρω τύχοι βαλὼν, ὡς ἐγὼ πάθομαι. Ταύτῃ τοι καὶ τὸ οὕτως ὁμόπνευν τε καὶ σύμφωνον τῆς ἠχῦς τῶν Ποιήσεων ἑκατέρας ἁπάντων ὡς ἀφ' ἑνὸς ςόματος σωμολογύντων, οὐδ' ἐκεῖνο ἄμυσόντι κομιδῇ, καὶ προθέσεως φιλολόγυ ἀλλότριον ἔδοξεν, ἔτις καὶ ὁμογλώσσυς ἐναλλάξ ἐπιχειρήσειεν ἀναδεῖξαι τὰς Ποιητὰς, θάτερον ἀμοιβαδὸν τοῖς θατέρυ φθόγγοις παρασήσας ἀποχρησάμενον. Καὶ τὰς μὲν Ὁμήρυ Ῥαψῳδίας οἱ ἑκλατινίσαι σπυδάσαντες εἰκ πολλῦ ὑπῆρξαν συχνοὶ· εἰκ ἐνέλιπον δὲ κατὰ καιρὸν, οἱ καὶ τὰς τῦ Μάρωνος ἐξελληνιθῆναι τὸ ἀνάπαλιν πρᾶγον ἄν ἔσεσθαι ἐγνωκότες· ἀλλὰ τοῖς μὲν τὸ σπυδαζόμενον ὁλοχερῶς καὶ

εἰς

εἰς πέρας προεξηνέχθη, τῶν δ' ἄλλο ἤτοι μέρος τέτων, ἢ τεμμάχιον ἀπολαβόντες, ἔσησαν ἐπὶ τοσῦτον (†) ὡσανεὶ διάπειράν τινα μόνον τε πράγματος λαβεῖν βελησέντες, ἢ τύπον δῶναι τοῖς ἄλλοις

* * *

(†) Παρ' Ἐυσεβ. τῷ ΠαμΦίλε Α'. Εὐαγγ. Προπαρ. ἀναγινώσκεταί τινα ἔπη ἐκ Τῆς Δ. τῶν Οὐϊργ: Ἐκλογ. ἢ Ἐπιγραφὴ: ΠΟΛΛΙΩΝ. Τὰ δ' αὐτὰ παρὰ τῷ Αὐτῷ καὶν τῷ ΙΘ'. Λόγ: εἰς τὸν Σωσαξ. τῶν Ἁγίων. Ἐμφέρεται δ' ἡ ῥηθεῖσα Ἐκλογὴ ὁλοχερὴς, Δωρίδι ἑρμηνευθεῖσα Διαλέκτῳ ὑπὸ Δανιηλ Ἀλσβόρδε Ἀγγλε, ἐν τῇ Ποσσεβίνε Βιβλιοθ. Τμήμ. ΙΖ. καὶ ἐν τῇ Φαβρικίε δὲ Ἑλληνικῇ Βιβλιοθ. Βιβλίῳ Δ. Κεφ: Λ. Ἀριθμ. ΙΔ. περὶ δ' μέτρου καὶ Βαΐλιον ἐν Κεφ: τῷ περὶ Οὐργιλ:. Παρὰ ταύτῃ δὲ καὶ τῶν Μάρωνος Ἐκλογῶν ἡ Γ'. ἡ ἐπιγραφὴν φέρουσα ΓΑΛΛΟΣ, ἐξελληνισθεῖσα πρόκειται Δωρισὶ καὶ αὕτη, ὑπὸ Ἰωσὴφ Σκαλιγέρε· καὶ ὑπὸ Δανιηλ ἐν μέρει Εὐσίε. Ἀμφοτέρας δὲ τύποις ἐκδοθείσας εὑρήσεις ἐν τῷ Εὐσίε Θεοκρίτῳ. Πρὸς δὴ τέτοις μανθάνομεν καὶ παρὰ Σεϊδε „ἐν Λεξ: ὅτι „Ἀρχίανὸς Ἐποποιὸς μετάφρασιν τῶν Γεωργικῶν τε Βεργιλίε (ὡς „ἐνομάζετο) ἐποίησε· τετέχιν ἐν Ἔπεσιν Ἡρωϊκοῖς ἑξαμέτροις αἰνᾶ τὸ Φιλοπόνημα καθ' ἡμᾶς τέτο σώζεται, ὡς φησὶ Φαβρικιος ἐν τῇ Λατινικ. αὐτε Βιβλιοθ. Βιβλ: Α'. Κεφ: ΙΒ' §. Γ. Τελευταῖον δὲ καὶ τῆς Αἰνειάδος μέρος ὁποσονῶν ἰσόρησαν ἐξελληνισθῆναι, ὑπό τίνος δ' λέγοντες. Ὅρα καὶ περὶ Ἰάτε τὸν αὐτὸν Φαβρίκιον, ἔνθα δὴ εἰρηται. §. Δ.

ἄλλοις, ᾧπερ ἄν οὗτοι στοιχήσειαν παρακολουθήσοντες, ἢ, ἐκ οἵδ' ἐφ' ὅ, τι ἄντις νηδία ἕτερον ἔχοι, ὡς ἐπὶ αἴτιον ἀναγαγεῖν τούτων τὸ πλήσμιον, ἢ ἀψίκορον. Τούτοις, οἷς προέφλω ἅπασι, τὸν νῶν ἐγὼ ἐπισήσας, αὐτὸς ἐπιχειρῆσαι τῷ ἔργῳ ἐτόλμησα, θρασύτερον μὲν ἴσως ἢ ἀσφαλέστερον βουλευσάμενος· ἐτόλμησα δ' οὖν, ὅτε περιττῷ τινι πράγματι καὶ ἀσωτελεῖ παντάπασιν ἐπιχειρεῖν δόξας, καὶ ἅμα δὴ, ἵν', εἰ μηδὲν ἄλλο, προτροπεὺς ἑτέρῳ τινὶ μετ' ἐμὲ γενόμενος, ὃς ἂν δεξιωτέρᾳ τῆς παρ' ἐμοὶ Μούσῃ χρησάμενος, ἐναχθείη πολλῷ τοι ἄμεινον ἀποδῦναι τὸν Μάρωνα Ἑλληνίζοντα. Καὶ πρῶτον μὲν τοῖς περὶ τὰ Γεωργικὰ τούτου Ποίησιν φθάσας διερμηνεῦσαι, προσεθέμην ἐφεξῆς ἐπ' ἐκείνῃ καὶ τοῖς Αἰνειάδα ἐπεξεργάσασθαι. Τούτων δὲ ἑκατέραν, ὡς ἦν ἐμοὶ δυνάμις, στοιχαργήσας, καὶ ταῖς ἐπιβαλούσαις ἔτι Σημειώσεσι τε καὶ διασαφήσεσι δεῖν ᾠήθην διαλευκάναι, αἷς ἂν ἐυμαρεστέρα γένοιτο καὶ ἀπονωτέρα πασὶν Ἑλλήνων (τοῖς ΣΟΙΣ ΔΕΣΠΟΙΝΑ λάτρισιν) ἢ τοῦ

Λατίνου

Λατίνε Ποιητᾶ σωῆεσις. Καὶ μὲν δὴ, καὶ τῶν ΣΩΝ ὐχ ἥκιστα Ῥώσσων τοῖς νεανίσκοις, ὁπόσοις ἄν ἔρως ἐνσκήψειε τῆς Ἑλλάδος φωνῆς· τᾶθ' ὅ τῇ ΣΗΙ φιλοσόφῳ προαιρέσει ἕν τι τῶν μάλιστα καταθυμίων εἶναι, πολλὰ ἡμῖν καὶ περιφανέστατα τὰ μαρτυρέντα τεκμήρια πρόκειται. Ἓν ἔτι λοιπὸν ἦν ἐκεῖνο μοι, διηνυκότι τὸ ἔργον, σκέψασθαί τε εὖ μάλα, κἠ ἐλέσθαι τέως, ὅτῳ ἄν καὶ προσενεχθῶαι αὐτὸ δεήσειεν, ὡς ἱερὸν εἶναι ἀνακεισόμενον τόδε Ἀνάθημα. Ἐγενόμιω γὰρ περὶ τᾶτο καὶ αὐτὸς σφόδρα ἀμηχανῶν, καὶ ἐπὶ πολὺ ἐλιννύων, ὡς ὁ πρὸς λύραν ᾄδων Μεσοπόλος, ὅτε ἀφοσιώσασθαι διενοεῖτο τὸ εἶδος τῷ Θήρωνι.

ΤΙΝΑ ΘΕΟ'Ν; ΤΙΝΑ ΗΡΩΑ; ΤΙΝΑ Δ' ΑΝΔΡΑ ΚΕΛΑΔΗΣΟΜΕΝ;

Καὶ παρίσατο μὲν ἐμοὶ κἀν τᾷτῳ ἡγεμὼν οἷον καὶ ὁδηγὸς ὁ Μάρων αὐτὸς, ὁ ἐμὸς Ὑποφήτωρ, ὁ Κιλνίῳ μὲν τὰ Γεωργικὰ ἐπιγράψας καὶ ἀναθέμενος, ἀποταμιεύσας δὲ τῷ Αἰνειάδα τῷ ΚΑΙΣΑΡΙ· ἀπῆγε δ' οὕτω με πάλιν ὁ αὐτὸς τῆς προθέσεως, τῷ

καθ' ἑαυτὸν ὑποδείγματι, ὡς ἐκεῖνα μὲν τῷ Μακηνᾷ ἀνυποφόλως καὶ προσενέγκας, τάυτιω δὲ τῷ ΑΥΓΟΥΣΤΩι προσενεχθῶσι κρίνας ἀκ ἀξιόχρεων· ἐξίτηλον δὲ μᾶλλον αὐτῷ τὸ πάθασμα ἑλόμενος παριδεῖν ἀπολέσθαι, ἢ πρὸς ὕψωμα τοσοῦτον παραβαλεῖν αὐτὸ καὶ ἐξάραι, μηδαμῶς ἔχον, ὡς αὐτῷ ἐδόκει, ἀνάλογον. Ἀλλὰ γὰρ ἐμοὶ, ὡσάυτως δὴ, καὶ πολλῷ ἔτι δικαιότερον ἐνδοιάζοντι, καὶ ἰσχυρῶς σαλευομένῳ, ΑΥΤΗ τελευταῖον τιω ἀμηχανίαν ἔσησας, καὶ τό δέος ἔλυσας ὅ σωεῖχε με ΤΡΙΣΣΕΒΑΣΤΕ ΑΥΤΟΚΡΑΤΟΡ, ἢ πρὸς τὸ ὁποιονοῦν τόδε μὰ Φιλοπόνημα βασιλικῶς ἐπιστρέψασα, καὶ ἐυμενεῖ τε καὶ ἱλέῳ τῷ ὄμματι ἐπιδεῖν ἐυδοκήσασα· καὶ ἐχ ὅπως προσενεχθὲν ἀποδοχῆς ἀκ ἀπαξιώσασα, ἀλλὰ καὶ τύποις ἐκδοθῆναι κελεύσασα· καὶ, τὸ δὴ μέγιστον, τῷ ΣΩΤΗΡΙ ΜΕΓΑΛΩι ΤΕ καὶ ΑΘΑΝΑΤΩι ΟΝΟΜΑΤΙ ἐπαγλαϊθῆναι τε καὶ μεγαλωνθῆναι αὐτὸ ἐπιτρέψασα. Εἶπας οὖ, καὶ ἐγένετο· καὶ δόξαν ὅτως, ἐς ἔργον πρόβη τὸ ΘΕΣΠΕΣΙΟΝ βέλημα

λημα. Οὐδὲν γὰρ, Ὦ ΜΕΓΙΣΤΗ ΑΥΤΟΚΡΑΤΟΡ, τῶν ὅσα ΣΟΙ καλῶς ἔχειν δόξαιεν, ἄῤῥεκτον μένει δὲ ἀτελέυτητον·
„ΕΙ ΤΙΣ ΕΧΕΙ ΤΕΛΕΣΑΙ, ΚΑΙ ΕΙ ΤΕΤΕΛΕΣΜΕΝΟΝ ΕΣΤΙΝ.

Ὁ τῆς ὙΠΕΡΤΑΤΗΣ καὶ ΤΡΙΣΣΕΒΑΣΤΟΥ

ὙΜΩΝ ΑΥΤΟΚΡΑΤΟΡΙΚΗΣ

ΜΕΓΑΛΩΣΥΝΗΣ

Ἔτει τῷ Σωτηρίῳ
1791
Τῷ δ' ἀπὸ τῆς Θεοσδότου καὶ Θεοφρήτου
ΣΗΣ Βασιλείας
29.
Μηνὸς Μαρτίου.
22.

Εὐπειθέστατος μὲν καὶ πιστότατος τῶν ὑπηκόων,
Ὑποκλινέστατος δὲ καὶ ἐλάχιστος τῶν δούλων,
Εἰλικρινέστατος δὲ καὶ θερμότατος τῶν εὐχετῶν

ὁ Σλαβιωίας τὸ πρώτου καὶ Χερσῶνος
Ταυανὸς Ἀρχιεπίσκοπος ΕΥΓΕΝΙΟΣ.

* * * *

Εἰς τὸν Ἑλλωιςὶ μεταφραθέντα

ΟΥΙΡΓΙΛΙΟΝ

ἘΠΙΓΡΑΜΜΑ

Ἆθμα Ὁμηρικὸν ἐν χάλεσσι Μάρωνος ἄϋσε,
Παλλάδος ἐντολίῃ, γῆρως ἑλὸν προτέρω.
Οὐχ ὧδε φθονέει ποτέει τε Ἀοιδὸς Ἀοιδῷ,
Οὔνεκα Μοῦσα μία πνεῦσεν ἐν ἀμφοτέροις.

OCTASTICHON

Auctor, & Insignis libri Largitor Amicus
Ingenium cujus miratur Russa Virago,
Scripta Sophi laudant, virtutes Græcia Mater,
Ille est EUGENIUS, docto notissimus Orbi.
Ipse Maro plausit, castæ obstupuere Camœnæ
Aonium melos audisse, exortum ore Maronis.
Sic & mæonia præcincti tempora fronde,
EUGENII nostros decorabit fama nepotes.

Hos versiculos in cornu prætiosi Voluminis adnotandos grati, & obsequentis animi ergo conscripsit Demetrius Comutus Zacynthius.

(A)

# ΤΙΒΕΡΙΟΥ ΚΛΑΥΔΙΟΥ ΔΟΝΑΤΟΥ

πρὸς

## ΤΙΒΕΡΙΟΝ ΚΛΑΥΔΙΟΝ ΜΑΞΙΜΟΝ ΔΟΝΑΤΙΑΝΟΝ ΤΟΝ ΥΙΟΝ

περὶ τοῦ Βίου

# Π. ΟΥΙΡΓΙΛΙΟΥ ΜΑΡΩΝΟΣ.

Πουβλίῳ Οὐιργιλίῳ τῷ Μάρωνι, ἐκ πενεστέρων, (καὶ μᾶλιστα Μάρωνος τοῦ τεκόντος) φωτὶ, ὁ πατὴρ, ὡς μέν τινες φασὶ, κεραμεὺς τιὼ τέχνιω ὑπῆρχεν· ὡς δ' οἱ πλέους, Μάγῳ (1) τινὶ τὰ πρῶτα σωιῶ ἐπὶ μισθῷ παροπηδῶν ἀγύρτῃ (2)· παρ' ᾧ διάλεφ φιλεργίαν καὶ δεξιότητα ἐυδοκιμήσας, γαμβρὸς ἔπειτα ἐπὶ τῇ θυγατρὶ εἰσωκείωται. Γεωργίας δὲ καὶ κτιωοτροφίας ἐπιμελεῖσθαι ταχθεὶς, δρυμά τε σωεωνημένος (3) καὶ μελισσουργεῖν ἐν τούτοις ἐπιβαλόμενος, τὸ λιτὸν ὅτω τῆς περιουσίας ἄλις προσηύξησεν.

Ἐγεννήθη δὲ Οὐιργίλιος ἐπὶ Γναίου Πομπηίου τοῦ Μάγνου, καὶ Λικιννίου Κράσσου, τὸ πρῶτον ὑπατευσάντων, ἐν ἡμέρᾳ Εἰδῶν Ὀκτωβρίων, ἐν Κώμῃ, ἥ, Ἄνδεις καλουμένη, ὀ πάνυ πόρρω Μαντύας ἐστὶν ἀπέχουσα. (4). Τοῦτον Μαῖα κυοφοροῦσα ἡ μήτηρ, δάφνης κλάδον ἔδοξεν ὄναρ ἀποτεκεῖν, ὃν τῆς γῆς ἁψάμενον αὐτίκα εἰς δένδρον ἀκμάσαι ὡραῖον, ἄνθεσί τε κατάκομον καὶ καρπῷ· τῇ δ' ἐπιούσῃ παρὰ τὸν γαμέτην φοιτῶσα, ἐν τῷ ἐκ γειτόνων ἀγρῷ διατρίβοντα, τῆς ὁδοῦ μικρὸν παρακλίνασα, ἐπὶ τῆς ὑποκειμένης κοιλάδος τὸν γόνον ἀπέθετο. (5). Φασὶ δὲ τὸ βρέφος ἀποτεχθὲν, μηδὲν, μηδὲ μικρὸν ὅσον, προσκνύσασθαι, ἡδύ δέ τι καὶ χαροπὸν προσβλέψαι, ὡς ἐντεῦθεν σαφῆ τεκμήρια παραχεῖν ἐυδαιμονεστέρας τινὸς γενέσεως. Και γάρ τοι καὶ ὄρπηκα αἰγείρινον (6) ἐκεῖ, ὡς ἔθος ἦν τοῖς ἐπιχωρίοις, καταβληθέντα,

ἐξ

---

(1) Ἢ μᾶλλον Μαγίῳ τοὔνομα.

(2) Ὃς Ἀστρολογίαν τε καὶ Ἰατρικὴν (φασὶ) κατεπαγγελλόμενος περιῆγεν.

(3) Ἢ παρὰ τῶν κεκτημένων διαμισθωσάμενος.

(4) Σταδίοις ὡσεὶ πεντήκοντα· καλεῖται δὲ παῤ Ἰταλοῖς νυῦ Pietola.

(5) Παραπλησίως καὶ ἡ Κριθὴς, φοιτῶσα ἐπὶ τὰς πλυνὰς, οἵ ἦσαν παρὰ τῷ Μέλητι, ἀπεκύησε τὸν Ὅμηρον ἐπὶ τὸν ποταμὸν, καὶ διὰ τοῦτο Μελησιγενὴς ἐκλήθη ὁ Ὅμηρος. Ἐν Βίῳ Ὁμ.

(6) Καὶ τῷ Ὁμήρῳ δὲ ὡσάυτως Αἴγειρος ἀνατεθεῖσα ὑπὸ πολλῶν ἐτιμᾶτο, ὡς ὁ Ἄγλος Δρύδεν ἐν τῇ τοῦ Μάρωνος Βιογραφίᾳ διέξεισιν, ἐξ Ἡροδότου παρειληφώς.

ἐξ αὐτῆς ἐς τοσόνδον ἐφαδρωθῆναι, ὡς ἰᾶις πρόγε πολλῶ πεφυτευμέναις αἰγείροις ἐν βραχεῖ σωεξαίρεσθαι· ὅ καὶ δένδρον Οὐϊργιλίῳ ἐξῆς προσείρηται, ὑπὸ τῶν ἐν γαστρὶ ἐχόντων διαφερόντως τιμώμενον, παρ' αὐτῷ τε εὐχομένων, καὶ τὰς εὐχὰς ἀποδιδόντων.

Μάραξ ὢν ἔτι, ἐς γ' ἐπὶ ἑπταετίας ἐν Κρεμώνῃ διετέλει ἀνατρεφόμενος· ἑπτακαιδεκέτης δὲ γεγονὼς (7) τὸ ἀνδρεῖον ἀπηλλήφει ἱμάτιον, ἐπὶ τῶν αὐτῶν ὑπατεύειν ἄνθις λαχόντων, ἐφ' ὧν καὶ τῶν γενεθλίων ἔτυχε. Συνέπεσε δὲ κατὰ τὠυτὸ τοῦτο ἡμέραν ἑκμετρῆσαι τὸν βίον καὶ τὸν Ποιητὴν Λουκήτιον. (8).

Οὐϊργίλιος τοίνυν ἐκ Κρεμώνης ἀπάρας εἰς Μεδιόλανον, κἀντεῦθεν μετ' ὀλίγον εἰς Νεάπολιν μεταβὰς, καὶ λόγοις ἐν ταύτῃ Ἑλληνικοῖς τε δὴ καὶ Λατινικοῖς ἐμφιλοπονήσας ἐρρωμενέστατα, εἰς Ἰατρικὰς τέως καὶ Μαθηματικὰς παιδείας ἑαυτὸν φέρων ἐκδέδωκε. Σπουδῇ δὲ καὶ προθυμίᾳ ψυχῆς ἀτρύτῳ χρησάμενος, καὶ μακρῷ τῶν ἄλλων ὑπερενεγκὼν, ἐπὶ τὸ Ἄξυ (9) μετέσῃ· ἔνθα τῷ Αὐγούστου Ἀρχιππονόμῳ συνελθὼν εἰς φιλίαν, πολλῶν αὐτῷ καὶ παντοδαπῶν νοσημάτων τὸν ἵππον ἀπήλλαττεν. Ὁ δὲ, ἄρξας ἡμέρας ἑκάστης ἐπιχορηγεῖσθαι ἔταξεν Οὐϊργιλίῳ, ὡς ἑνίτῳ καὶ ἄλλῳ τῶν ἐπὶ τοῦ ἱπποσταθμοῦ τυχόντων ἱπποκομεῖν. (10)

Ἐν δὴ τούτοις, πῶλος ἵππου τῷ Καίσαρι παρὰ τῶν ἐκ Κρότωνος προσενηνέκατο δῶρον, τὸ κάλλος θαυμάσιος, ὃν καὶ ῥώμης ἀκμῇ, καὶ τάχους ὀξύτητι, καθ' ὑπερβολὴν διοίσειν κοινῇ πάντες ἐν ἐλπίσιν ἦσαν εἰκάζοντες. Τοῦτον ἰδὼν ὁ Μάρων ὑπέφηνε τῷ Ἀρχιππονόμῳ, ἐξ ἵππου πεφύσθαι ἀθενικῆς, καὶ μήτε ῥώμῃ γενναῖον, μήτε τάχει ὀξὺ ἀποβήσεσθαι· ὃ καὶ ἀληθὲς ὂν ἀνεφάνη. Ἐφ' ᾧ καὶ Αὔγουστος, τοῦ Ἀρχιππονόμου διεξαγγείλαντος, τῶν ἄρτων ἐπίδοσιν ἐπιδιπλασθῆναι Οὐϊργιλίῳ ἐκέλευσεν. Ἐξῆς δὲ καὶ Κωαρίων ἀφ' Ἱσπανίας τῷ Αὐγούστῳ προσκομισθέντων, τοκάδας τε δὴ τὰς τούτων, οἵαι πεφύκεσαν, σωιδὼν ἓν μάλα διεμιμήσατο ὁ Μάρων, καὶ τὸ ἐσομένου τοῖς Σκύλαξι προέφη εὐψυχίαν τε καὶ ταχύτητα. Ὑπὲρ οὗ καὶ αὖθις, ἡ τῶν ἄρτων αὐτῷ χορηγία ἐπιδεδίπλασται.

Ὁ

(7) Σεσημείωται, Πομπήϊόν τε καὶ Κράσσον, ἐν μὲν ἔτει τῷ ἀπὸ καταβολῆς Ῥώμης, 683. ὑπατεῦσαι τὸ πρῶτον, ἐν δὲ τῷ, 698. τὸ δεύτερον. Ὡς ἀντὶ τῶν ἑπτακαίδεκα χρεὼν μεταγράφειν ἐνταῦθα, ἔτη πεντεκαίδεκα.

(8) Οὐ τοῦτο δοκεῖ Γιφανίῳ, τῷ τὰ Λουκητίου Βιογραφήσαντι.

(9) Νοητέον τὸν Ῥώμιον.

(10) Τοῦτο δὴ, καθὰ καὶ τὰ καθεξῆς, τοῖς πλείοσιν ἐκκρίνεται, ὡς καὶ τοῦ Ποιητοῦ, καὶ αὐτοῦ Καίσαρος κομιδῇ ὄντα ἀνάξια.

Ὁ μὲν ἕν Αὔγυστος, εἰ τῷ ὄντι υἱὸς αὐτὸς ἦν Ὀκταουίᾳ ὑπενδοιάζων, καὶ τὸν Μάρωνα περὶ τούτου οἷον τε εἶναι διαγνῶναι ὑπειληφὼς, τὸν καὶ κυνῶν καὶ ἵππου, καὶ φυτῶν διαγνωρίσαντα καὶ γεννήτορας, ἀποσήσας τοὺς περὶ αὐτὸν ἅπαντας, καὶ εἰς τὰ ἐνδότερα ἐκεῖνον εἰσαγαγὼν τῆς οἰκήματος, ἐπυνθάνετο μονωθέντα, ἅπερ ἄρα καὶ περὶ αὐτῆς φράσαι ἐπίσαιτο, ὅς τις τε γένοιτο, καὶ ὁποίας ποτὲ πρὸς τὸ καθισᾶν εὐδαίμονας τοὺς ἀνθρώπους, „δικαίως εὐμοιρήσειεν. Ὁ δὲ: „Ἔγνων Σε, ἔφη, ὦ Καῖσαρ Αὔ„γυστε, καὶ σε μικρὸν ὅσον τοῖς Θεοῖς ἀπέχοντα οἶδα τὸ ἴσα „δύασθαι, ὥστε κὴ τὸν τυχόντα καθισᾶν ἔχειν εὐδαίμονα.—Τοιού„τος τοίνυν προαίρεσιν ἐγώ σοι (ἀπεκρίνατο ὑπολαβὼν ὁ Καίσαρ.) „ὡς ἄμοι τ' ἀληθὲς πιθανομένῳ ἐξείποις, μακάριόν σε καὶ „τρισσόλβιον ἀποφανῶ.—Ἀλλ' ἄθε! (ὁ Μάρων ἔφη·) διερωτῶν„τι σοι φράσαι δικαίμιον ὅπερ ἐστὶν.—Ὁ δέ τοι Αὔγυστος: Οἱ μὲν „ὑπὸ Ὀκταουίᾳ με φασὶ γεννηθῆναι, οἱ δὲ, ὑπ' ἄλλου.—Ὑπομει„δάσας δ' ὁ Μάρων: ῥᾴδιον σοι ἐγὼ, ἔφη, ἅπερ ἀποινεῖ τε καὶ ἀ„νυποδόλως, ὃ περὶ τούτου γιγνώσκω εἰπεῖν κελεύεις, ἐρῶ.—Ἔνευσεν ἐπομώσας ὁ Καίσαρ, μηδὲν, ὅπερ ἂν εἴποι, χαλεπῶς οἴσειν· μᾶλλον δὲ καὶ δώροις ἀπολύσειν δηλώσαντα· πρὸς ἅπερ ὀφθαλμοὺς ὀφθαλμοῖς ἐπισήσας ἀτενῶς τοῖς Αὐγύστου ὁ Μάρων: ῥᾴ„διον, ἔφη, ἐν ἄλλοις ζώοις τὰς τῶν τεκόντων ἕξεις ὑπὸ τῶν πε„ρὶ Φιλοσοφίαν καὶ Μάθησιν ἐναχολυμένων ἀνακρίνεσθαι· ἐν „ἀνθρώποις, δὲ ὅτι μάλα ἐυπετὲς τοῦτο γε. Ἀλλὰ γὰρ, ἐξ εἰκα„σίας ὁμοιαληθῶς ἐγὼ συμβάλλειν δοκῶ, περὶ ὅ, τι ἄρα ὁ παλὴρ „ἤσκητο ὁ σὸς. Ἀτενῶς οὖν προσεῖχεν ὁ Καίσαρ, ὅ, τι ποτὲ ἦν ὅπερ ἐρεῖν ἔμελλεν, ἐκδεχόμενος.—Ὁ δὲ: ὅσον αὐτὸς σωφρᾶν „οἷός τε εἰμὶ, ἀρτοποιῶ υἱὸς ἦθα, φησὶν.—Ἐξέση ἂν ὁ Καίσαρ ἐπὶ τῷ ῥήματι· καὶ ἅμα, πῶς τοῦτ' ἂν γένοιτο, κατὰ νοῦν ἐλινύων.—Ὑπολαβὼν δὲ Οὐϊργίλιος: ἄκουε (φησὶ) τῷ τοῦτο „κρίνω, καὶ ὅπως τεκμαίρομαι· Ἐπειδὰν ἐγὼ σοι ἕξιν ἅττα ἐξήλ„γεια, καὶ προέφιω οἷα μηδεὶς ἂν (εἰμή τις τῶν ἐς ἄκρον παι„δείας ἐληλακότων) ἔχοι ἐπίσασθαι, σὺ ὁ κρατῶν ἁπάντων, ἀ„δὲν ἄλλ' ἢ ἄρτος, καὶ αὖθις ἄρτος, εἰς μισθὸν ἐμοὶ ἐπιδοθῆναι „ἐπέταξας· ὅ δήπου, ἤτοι ἀρτοποιὸν πάντως, ἢ τοῦ ἐξ ἀρτοποιοῦ „εἰληχότος τιὼ γένεσιν.—Ἤθη ἐπὶ τῇ εὐτραπελίᾳ ὁ Καίσαρ· καὶ: Ἀλλὰ τὸ ἀπὸ τοῦδε (ἔφη) ἀκέτι παρὰ Ἀρτοποιοῦ δῶρα ἀποι„σῃ, παρὰ δὲ Βασιλέως μεγαλοπρεποῦς τε καὶ μεγαλόφρονος. Καὶ τοῦ λοιποῦ τὸν ἄνδρα περὶ πλείστου ποιούμενος ἐπισωέσησε τῷ Πολλίωνι.

Τιὰ μὲν οὖ ἀναδρομιὰ τᾶ σώματος ὁ Μάρων μεγαλεῖος ἦν, τιὰ δ' ὄψιν μελάγχρως, (11) τὸ δ' εἶδος ἀγροικικὸς, τιὰ δ' ἐυεξίαν ὐχ ὁμαλῶς ἔχων· τὰ πολλὰ γὰρ, σομαχικοῖς τε καὶ λαιμικοῖς σωείχετο πάθεσι, καὶ κεφαλαλγίαις, σωεχῶς δὲ καὶ αἷμ' ἀπεξέκρινε· καί τοι γε τροφῆ τε καὶ οἴνᾳ πόσει χρώμενος ὡς μετριώτατα. Παιδερασίας μὲν δὴ διαβέβληται ὑπ' ἐνίων. Οἱ δ' ἐπιεικέστεροι ἄτως αὐτὸν περὶ παῖδας ὑπειλήφασιν ἐχηκέναι, ὡς καὶ Σωκράτης περὶ Ἀλκιβιάδιω, καὶ Πλάτων περὶ τὰς ἀμφ' αὐτὸν. Πρὸ γᾶν τῶν ἄλλων Κέβητος ἐραστὴς ὑπῆρξε καὶ Ἀλεξάνδρᾳ, ὃν ἐπὶ τῆς δευτέρας τῶν Ἐκλογῶν ἀπεκάλεσεν Ἄλεξιν, παρὰ Ἀσινίᾳ τᾶτον τᾶ Πολλίωνος εἰς δῶρον λαβὼν. Οὐδέτερον δὲ αὐτῶν παιδείας παρέλιπεν ἄμοιρον, Ἀλέξανδρον μὲν περὶ Γραμματικιὰ ἐξασκήσας, Κέβητα δὲ περὶ Ποίησιν. Καμιὰ καὶ Πλωτίᾳ Ἱερίᾳ ὄνομα (12) λόγος διέπτη τὸν Μάρωνα ἁμιληκέναι· ἀλλ' Ἀσκόνιος ὁ Πεδιανὸς μαρτυρεῖ, αὐτὸν περὶ ἑαυτᾶ διεξέρχεσθαι ὕσερον εἰωθέναι τοῖς νεωτέροις, ὡς προτραπείη μὲν ὑπὸ Οὐάρᾳ τῆ γυναικὶ προσελθεῖν, ἐνσάμη δ' ἂν παραιτησάμενος ἐυτονώτατα. Ἄλλως τε γὰρ καὶ βίᾳ, καὶ λόγῳ, καὶ σωφρονέσης ψυχῆς προαιρέσει, τοιαύτιω ἑαυτᾶ πᾶραν ἰσόρηται ἐπιδήλως παρεχηκέναι, ὡς καὶ ΠΑΡΘΕΝΙΑΝ αὐτὸν ἐν Νεαπόλει διάγοντα κοινῆ ἐπιλέγεσθαι. Εἰ δέ ποτε εἰς Ῥάμιω ἀπέλθοι, (ἀπήρχετο δ' ὅτοι θαμίζων·) τὰς ἑφεπομένας οἱ, δημοσίᾳ ἐκπροϊόντι, καὶ δακτυλοδεικτᾶντας παρεκκλίνειν ἐφίλει, ἐς δή τι δῶμα, ὅπερ ἂν ἐκ τᾶ σώεγγυς τύχοι, ὑποχωρῶν.

Ὁ δ' αὐτὸς καὶ ἀνδρὸς ὑπερορίαν καταδικαθέντος τιὰ περιουσίαν Αὐγάσω αὐτῷ προχαρισαμένω, ὐκ ἠξίωσεν ἀποδέξασθαι. Ὑπῆρχε δ' αὐτῷ ὁ ἐξ ἐλευθερίω ἐπιδόσεως τῶν Φιλέντων περιὼν πλᾶτος, περί πω τὰ ἑκατοντάκις (13) Σησέρτια. Καὶ οἶκος δὲ ἐντὸς Ῥώμης ἐν τοῖς Ἐσκυϊλίοις, ἀγχᾶ τῶν Μαικήνω παραδείσων, καί τοιγε ἐπὶ Καμπανίας τε καὶ Σικελίας τὰ πλεῖσα ἀπανα-

---

(11) Δονάτος ἔχει Aquilino colore. (ἐν Ἀετώδει τῆ χροιᾷ.) ἤτοι Ἀετόχρους· ὡς ἐπὶ τὸ μελάντερον ἀποκλίνων. Γαλλισὶ δ' ἠμιλώευσαν: Il avoit le tent baſanè; brun.

(12) Τῆ κατ' ἄλλως Ἀλερία.

(13) Τὸ Σησέρτιον, νόμισμα ἰῶ παρὰ Ῥωμαίοις, Λιτρῶν Γαλλικῶν (Tournois) τεσσαράκοντάπω τιμώμενον· τὸ δ' ἑκατοντάκις ὅτω δι' ἐπιῤῥήματος ἐνφερόμενον, τὸ ἑκατονταχιλιον σημαίνει τᾶ προκειμένω ἀριθμᾶ, κατὰ τιὰ Λατινικιὰ ἐκδοχιὰ ἀκούμενον. Ἔνθεντοι καὶ τὰ ἑκατοντάκις Σησέρτια, περὶ ὧν ἄδε, εἰς τὰς ἑκατοντάκις ἑκατὸν χιλιάδας ἀνάγεσιν· ὅπερ ἐξὶν, εἰς μυριάδας δέκα.

παναχωρῶντι καὶ διατρίβοντι· ὧν δ' ἄν παρ' Αὐγούστου αἰτήσειεν ὁδενὸς ὁδέποτε ἀποτυχεῖν ἰσόρηται, ἀνανεύσαντος. Αὐτὸς δὲ καὶ τοῖς τῷ γένει προσήκουσι κατ' ἐνιαυτὸν ὐ διέλειπεν ἀργύριον ἐπιπέμπων, ὥστε δαψιλῶς διατρέφεσθαι· ὧν καὶ τὼ ἡλικίαν, ἤδη προήκων ἐξέρηται, τὸ τε γεννήτορος τέως αὐτῷ τὰς ὄψεις πεπηρωμένου, καὶ δυοῖν αὐτοκασιγνήτων· Σίλωνος μὲν πρὸ τῆς ἥβης ἀρθέντος, Φλάκκου δὲ ἄρτι ἡβάσκοντος· οὗ καὶ τὼ ἔξοδον ὑπὸ τῇ Δάφνιδος κλήσει ἀπεθριωφύδησε.

Πρὸς μὲν ὖν τοῖς ἄλλοις καὶ περὶ Ἰατρικὼ ἀχολούμενος διετέλει, καὶ περὶ Μαθηματικὼ μάλιστα, ὡς προείρηται. Καὶ μὲν δὴ καὶ Συνηγορίαν ἔσιν ἥντινα ἐκμελετῆσαι προήχθη, ἀλλ' ὐ πλεῖν ἢ ἅπαξ· βραδυλογώτατον γὰρ αὐτὸν ὑπάρξαι, καὶ τὸ φθέγμα μονουχὶ ὅμοιον ἀπαιδεύτῳ, παρέδωκε Μέλισσος. (14) Τὼ γεμὼ Ποίησιν μετιέναι ἤρξατο ἀπὸ παιδὸς· ὅτε καὶ εἰς Βαλίσιω, τὸν ἐν τοῖς περὶ τὰς διαξιφισμὰς προϊσάμενον γυμνασίοις, καὶ ἐπὶ λησείαις ἁλόντα τέως καὶ καταλευσθέντα, τὸ ἔξῆς ἐποίησε.

Τῷδ' ὑπὸ λαϊνέῳ βυνῷ προτέθαπτο Βαλίσης.
Νύκτωρ ἠδ' ἦμαρ, σεῦδε ὁδῖτα τάχα.

Προϊὼν δὲ καὶ τὸ Κατάληκτον ἐποίησε, (15) καὶ τὰ Πριαπήϊα, καὶ Ἐπιγράμματά τινα, καὶ τὰς Ἀρὰς, καὶ τὸν Κώνωπα, ἔτος ἄγων τὸ πεντεκαιδέκατον. Τὸ δὲ Κώνωπος ἡ ὑπόθεσις τοιάδε.

Ποιμὼ ἀπειρηκὼς ὑπὸ κάυματος, κατακώχιμος τε ὕπνῳ, ἀνακλιθεὶς ὑπὸ δένδρῳ ἐκάθευδεν. Ὄφεως δ' ἐπ' αὐτὸν ἐφερπύσαντος, Κώνωψ ἐπιπτὰς ἐκ τοῦ σύνεγγυς ἕλους μέσον κροτάφων τὸ κέντρον αὐτῷ ἐνέπειρεν. Ἀφυπνιωθεὶς δ' ὁ ποιμὼ παραυτίκα τὸν Κώνωπα ἐπέτριψε τρώσαντα· εἶτα συνιδὼν, καὶ τὸν ἐπιβουλεύοντα ὄφιν ἀπέκτεινεν. Ἐπὶ τούτοις ἔσησέτε ὁ Νομεὺς τῷ Κώνωπι βωμὸν, καὶ ἐπέγραψε τὸ δίσιχον·

Τυτθὲ τό σοι, Κώνωψ, μνημήϊον ἔρος ὁ ποίμνης,
Ζωῆς ἀνθοσιῶ, ἧς περ ἔδωκας ἔχειν.

Ἐποίησε δὲ πρὸς τοῖς εἰρημένοις καὶ τὼ Αἶτναν, ἥτις μέντοι ἀμφιβάλλεται. Μετὰ ταῦτα συγγράφειν ἀρξάμενος τὰ Ῥωμαϊκὰ,

* *

καὶ

---

(14) Τὸ Μάρωνος βραδύγλωσσον καὶ ὁ Ἄγγλος ἰσορῶν Δρύδεν (ἐν τῇ Βιογρ: τῇ ὑπὸ τοῦ l' Abbe Des Fontain. Γαλλιστὶ Διερμὼν:) On Sçait, φησὶ, que la facilitè de parler & l' abondance des paroles ne ſe trouvent que rarement Jóntes à un Jugement ſolide. „Ἴσμεν, ὅτι τὸ κομψὸν καὶ κωτίλον σπανίως συνεῖναι „θέλει τῇ περὶ τὸ κρίνειν ἐμβριθείᾳ τε καὶ σεμνότητι.

(15) Περὶ ὧν μέντοι, ἤτοι πάντων, ἢ τῶν πλειόνων, οἱ Κριτικοὶ ἀμφιβάλλουσιν, εἰ γνήσια ἐσὶν.

καὶ τῇ τε κατ' αὐτὰ ὑποθέσει, καὶ τῇ τῶν ὀνομάτων τραχύτητι ἐπαηδιάσας, ἐτράπετο ἐπὶ τὰ Βυκολικά, ἐφ' ᾧ μάλιστα διὰ τούτων, Ἀσίνιόν τε Πολλίωνα, καὶ τὸν Ἀλφιὸν, καὶ Ὄυαρον, καὶ Κορνήλιον Γάλλον κλέϊσαθαι, ὅτι ἐπὶ τῆς τῶν πέραν τοῦ Πάδου γαιῶν διανομῆς ὑπεξεῖλον αὐτὸν τῆς ζημίας, ὅτε μετὰ ταῦτα ἐν Φιλίπποις νίκῃ, κελεύσματι τῶν Τριαρχούντων, τοῖς παλαιτέροις τῶν στρατιωτῶν οἱ ἀγροὶ ἀπεκληροῦντο διανεμόμενοι. Μεθ' ὃ καὶ τὰ Γεωργικὰ ἐξέδοτο Μαικήναν τιμῶν, τὸν κατὰ Κλαυδίου στρατιώτου παλαιτέρου αὐτῷ ἐπαμυνάντα, μόλις τὸ τριακοστὸν γνωρίμῳ τυγχάνοντι· ἢ (ὡς ἄλλοι φασὶ) κατὰ Ἀτίου (ἄλλ: Ἀρρίου) τοῦ ἑκατοντάρχου, ὕφ' ὃν καὶ παρὰ μικρὸν ὅσον ἀνῄρητο· ἐχάτιω δὲ πάντων τοῦ Αἰνειάδα ἐπεβάλετο ᾄσαι, ὑπόθεσιν ταύτην ἐνεγκάμενος παντοδαπῶ τινα καὶ ποικίλην, καὶ συναμφοτέραις ἅμα ἐφάμιλλον ἐσομένην ταῖς Ὁμήρου ποιήσεσιν. Ἐνῆγε δ' αὐτὸν πρὸς τοῦτο ἐπιχείρησιν, ἥτε τῶν Ἑλληνικῶν καὶ Λατινικῶν ὀνομάτων τε καὶ πραγμάτων κατ' αὐτοῦτο ἐπικοίνωσις, καὶ προσέτι (ὅπερ ἴδιον αὐτῷ τὸ μάλιστα σπουδαζόμενον) ἵνα τοῦ Ῥωμαϊκοῦ Ἄσεος, καὶ αὐτοῦ Αὐγούστου, συμπεριλαβὼν τοῦτο πρώτιστα διεξέλθῃ καταβολιοῦ.

Τὰ μὲν οὖν Γεωργικὰ γράφοντα ἱστόρηται, πολλὰ μὲν ἐφ' ἑκάστης ἔτη, ἔωθεν διαμελετῶντα εἰωθέναι ὑπαγορεύειν, δι' ὅλης δ' ἐφεξῆς αὐτὰ προσαναμηρυκώμενον τῆς ἡμέρας, εἰς ὀλίγιστα ἀποκαθιστᾶν. Ὑπὲρ ἃ καὶ ἔλεγεν, (ὡς παρὰ τὸ εἰκὸς λέγων,) ἀποτίκτειν καὶ αὐτὸν ὁμοίως ταῖς Ἄρκτοις· διαπλάττειν γὰρ καὶ διαμορφοῦν ἄυθις τὰ κυηθέντα ἐπαναλείχοντα. Ταύτῃ τοι καὶ τοῦτο τὸ Αἰνειάδα, πεζῷ τῷ λόγῳ πρῶτον ὑπ' αὐτοῦ ἐκφραθεῖσαν, καὶ εἰς Βιβλία δύο πρὸς τοῖς δέκα διαταχθεῖσαν, κατὰ μέρη ὕστερον (ὡς φασί τινες) ἐπανεβάλετο ᾄσαι· ὡς δ' ἕτεροι περὶ αὐτοῦ ὑπειλήφασιν, εἴπερ ἐπὶ πλέον αὐτῷ τὸ ζῆν παρετάθη, τέτταρα ἐπὶ τοῖς εἴκοσι Βιβλία συγγράψειν διενοεῖτο, ἐς τ' ἐπὶ τὰς Αὐγούστου χρόνους προήξων, ἢ ἕτερ ἅττα μὲν ἡμῖν καθιστορήσων, καὶ τὰ τῷ Αὐγούστῳ δὲ διαπεπραγμένα μάλιστα διεξελευσόμενος, ὡς οἷόν τε ἦν ἐμμελέστατα. Ἐπεὶ ἢ γράφοντι, ἐφ' ᾧ μηδὲν αὐτῷ τοῦτῳ ὁρμιοῦ διακόπτῃ, τὰ μὲν ἀτελῆ συνέβη ὑπερελθεῖν, τὰ δὲ ἐν ἔπεσιν ἐκθέσθαι πως ἀφελεσέροις· ἃ καὶ κατὰ παιδιὰν εἰωθὼς ἦν λέγειν, ἀντὶ δοκίδων τε καὶ στηριγμάτων σωτελεῖν οἱ τὰ τοιαῦτα παρεντιθέμενα τῷ δομήματι, ἐς ὅπερ οἱ στρῶτοὶ αὐτῷ προσεπαφίκωνται Κίονες, ἅς ἂν ὑποστήσειεν.

Τὰ μὲν οὖν Βυκολικὰ διὰ τριῶν ἐτῶν διετέλεσε μέλπων, Ἀσινίου προτρεπομένου Πολλίωνος, δι' οὗ τὰ πέραν τοῦ Πάδου διέποντος, τῶν Κρεμωνίων τε καὶ Μαντυανῶν ἀγρῶν τοῖς ἀπὸ τῆς στρατιᾶς

στρατείας ἐπανιῶσιν Αὐγούστῳ κελεύσματι, ὥσπερ εἴρηται, ἐπικληρωμένων, οὐχ ὅπως ὑπ' ἐκπέπτωκεν αὐτὸς τῶν ἰδίων, ἀλλὰ καὶ τὰς εἴτε Κλαυδίῳ, εἴτε Ἀτίῳ ἐπιδοθῶσι φθάσαντας ἐπανείληφε. Τὸν δὴ Πολλίωνα λόγον σφόδρα φιλῶν ὁ Μάρων ἐτύγχανε, καὶ πρὸς αὐτῷ μεγάλα ἐδωρήθη ἀμοιβαδὸν ἀντιφιλούμενος· παρ' ᾧ ποτε καὶ ἐξιώμενος Ἀλέξανδρον τὸν παῖδα ἐκομίσατο δώρημα, λῷστε κάλλει τῷ μέρακος ἀλλὰ, καὶ τῇ εὐφυΐᾳ καὶ δεξιότητι. Ὁ δὲ προσέτι καὶ αὐτῷ Πολλίωνος τὸν υἱὸν Γ. Ἀσίνιον, καὶ Κορνήλιον δὲ Γάλλον ἐκτόπως ἐφίλει, τὸν ἐν Ῥητορείᾳ διαπρέψαντα, καὶ οὐδὲ μετρίως ἔχοντα περὶ Ποίησιν. Οὗτος δὲ ἦν ἄρα Κορνήλιος, ὁ καὶ τὸν Εὐφορίωνα ἐκλελατινικὼς, καὶ τὰ τέτταρα Βιβλία τῶν περὶ τιὼ Κιθηρίδα ἐρώτων συγγράψας. Ὁ δ' αὐτὸς καὶ τῆς Αὐγούστου φιλίας τιὼ ἀρχιὼ ἦν ἀπολαύων, ὕστερον δὲ εἰς ὑπόνοιαν τῆς κατ' ἐκεῖνον ἐμπεσὼν σωφροσύνης, καὶ ἀναιρεθεὶς διὰ τοῦτο. Τότε γοῦν Οὐϊργίλιος τῷ πόθῳ τοσοῦτον ἥττων ἐτύγχανε γεγονὼς, ὥστε καὶ τῶν Γεωργικῶν τὸ τέταρτον, ἀφ' ἡμισείας εἰς πέρας, πρὸς ἔπαινον αὐτῷ ἐπαφοσιῶσαι· ἦν δὴ περιοχιὼ ἔπειτα, κελεύσαντος Αὐγούστου, εἰς τὸν Ἀριστέα μεταθεὶς μῦθον ἠμείψατο.

Καὶ δὴ, τὰ μὲν Γεωργικὰ ἐν Νεαπόλει δι' ἐπταετίας συνέταξε· τιὼ δ' Αἰνειάδα πῇ μὲν ἐν Σικελίᾳ, πῇ δὲ ἐν Καμπανίᾳ ἐποίησε διατρίβων, δι' ἐτῶν δυωκαίδεκα. Τὰ γεμιὼ τῶν Βουκολικῶν τοσοῦτον αὐτῷ ὤφθη εὐδοκιμήσαντα, ὥστε καὶ παρὰ τῶν ἐπὶ σκηνῆς αὐτὰ ἐκμελετᾶσθαι γοργότερον προσαδόμενα. Και γὰρ ποτε καὶ Κικέρωνα λόγος ἔχει, τῶν ἐπῶν ἐκείνων τινὰ ἐπανέσαντα, καὶ δριμέως πάνυ αὐτίκα μὴ ἐκ φλεβὸς αὐτὰ κοινοτέρας ἐκπηγάσαι σωέντα, πᾶσαν ἐξ ὑπαρχῆς, ἐπιτάξαι τιὼ Ἐκλογιὼ αὐτῷ ἐπαναγνωσθιῶναι· ἢ δὴ καὶ ἀτενῶς τὸν νοῦν ἐπισχήσαντα, τελευταῖον ἐπιφωνῆσαι τὸ· ΡΩΜΗΣ ΕΤΕΡΑ ΤΙΣ ΕΛΠΙΣ ΑΥΤΗ. Οἷον εἰ πρώτη μὲν αὐτὸς Κικέρων τῆς Λατινίδος φωνῆς ἐλπὶς γένοιτο, ὁ δέ τοι Μάρων μετ' αὐτὸν ἔσοιτο ἡ δευτέρα. Καὶ ταῦτα μὲν τὰ ῥήματα, φασὶν, ἐπὶ τῆς Αἰνειάδος ἔπειτα ὑπ' αὐτῷ παρεισενεχθῶναι. Φασὶ δὲ καὶ περὶ τῶν Γεωργικῶν, ὅτι δι' ἡμερῶν τεσσάρων καθεξῆς ὑπὸ Οὐϊργιλίου τῷ Καίσαρι πρὸς ἀναψυχιὼ ἐπακροωμένῳ ὑπανεγνώσθη, τὸ Μαικήνου ἐξ ἀμοιβῆς τιὼ ἀνάγνωσιν διαδεχομένου, ὁσάκις ἄν ἐκείνῳ συμβαίη τὰ τῆς φωνῆς ὑποχαυνωθῆναι. Ἦν δὲ προφέρειν ὁ Μάρων ἥδιστος, εἴπέρ τις ἄλλος, καὶ θελκτικώτατος· (16) ἔνθεντοι καὶ Σενέκας ἰσόρησεν,



(16) Οὐ κομιδῇ ταῦτα σιωπᾶσθαι ἔοικε τοῖς πρὸ μικροῦ εἰρημένοις. Πῶς γὰρ; εἰ βραδυλογώτατος ὑπῆρξε, καὶ τὸ φθέγμα μονονουχὶ ὀμοιος ἀπαιδεύτῳ, ὡς περὶ τούτου μαρτυρῶν ἀνωτέρω εἰσήνεκται Μέλισσος;

ρησεν, Ἰάλιον Μοντανὸν τὸν Ποιητὴν εἰωθότα λέγειν, ὡς ἔξιν ἄ τῶν Οὐϊργιλίε αὐτὸς ἂν ἐκπλέψειεν, εἰ τιὼ φωνιὼ εἶχε τιὼ ἐκείνε, καὶ τιὼ ὑπόκρισιν· τὰ γὰρ αὐτὰ ἔπη ἐκείνε προφέροντος καλὸν ἠχεῖν, ἐκείνε δ' ἄνευ ὑποκρίσεως εἶναι καὶ ἄναυδα.

Τῆς οὖ Αἰνειάδος ἄρτι πρῶτον εἰς φῶς προκυπτούσης, τοσοῦτον διερρύη τὸ κλέος, ὥσε Σέξον Προπέρτιον μηδὲν ἐνδοιάσαι ἐκεῖνο ἀνακηρύξαι.

Εἴκετε Ῥωμαίων, Ἑλλήνων τ' ἄκετε Μοῦσαι·
Ἔθ' ὅ, τι δὴ μεῖζον, τίκτεται Ἰλιάδος.

Αὔγουστος δὲ τὸ Ἰωικαῦτα πρὸς Καντάβρους στρατεύων, τῇ μὲν ὡς δῆθεν παρακαλῶν, τῇ δ' ὡς καὶ ἐν παιδιᾷ ἀπειλῶν, δι' ἐπιστολῆς ἐξητεῖτο, τὰ γοῦν πρῶτα τῆς Αἰνειάδος ἔπη (ὡς ἰῶ ἐκείνε τὰ ῥήματα), εἴ τε καὶ ἕν τι ὁποιονοῦν ἐξ αὐτῶν κῶλον, ἀντιγραφὲν αὐτῷ πεμφθῆναι· Οὐϊργίλιος δ' ὑδαμῶς ἐπειθάρχησεν ἐπινεύσας· εἰ καὶ μετ' ὀ πολὺ εἰς πέρας ἀγαγὼν τιὼ ὑπόθεσιν, τρία ἐξ ἁπάντων Βιβλία ἀναγνὺς αὐτῷ διελήλυθε· τό, τε δεύτερον δηλονότι, καὶ τὸ τέταρτον, καὶ τὸ ἕκτον (17) Ἰσῶ δὲ τὸ ἕκτον διῆλθε μάλισα χαριζόμενος Ὀκταουίᾳ, ᾗ τῇ ἀναγνώσει παρῆσα, πρὸς ἐκεῖνα δὴ τὰ περὶ τὸ ἧρε αὐτῆς ποιηθέντα ἔπη· Ἦ ΜΆΡΚΕΛΛΟΣ ΤΟΙΣ κ.τ.λ. λιποθυμήσαι ἰσόρηται· μόλις δ' ἐπαναψύξασα, ὑπὲρ ἑκάστε τῶν ἐπῶν κελεῦσαι Σηστέρτια ἐπιδοθῆναι τῷ Ποιητῇ δεκάκις. (18) Διεξῄρχετο δ' ἔτι καὶ ἄλλοις τῶν ἐπῶν τινα, ἀλλ' ὀ συχνὰ, ἐφ' οἷς δὲ καὶ μόνον ἀμφιβόλως ἰῶ ἔχων, ὡς ἂν ἐπ' αὐτοῖς ἀπόπειράν τινα λάβοι, καὶ τῆς ἐκ τῶν ἄλλων κρίσεως. Ἐρώτιω γοῦν τὸν αὐτῷ ὑπογραφέα καὶ ἀπελεύθερον, εἰς γῆρας ἑκατὸν ἤδη ἐλάσαντα εἰωθέναι λέγειν ἰσόρησαν, ὡς ἔξιν ὅτε, καὶ ἐπ' αὐτῆς τῆς ἀναγνώσεως ὁ Μάρων, ἡμιστίχια δύο ἐξ ὑπογυίε ἀναπληρώσειε· κ.τ.λ. τῷ μὲν· ΑΙΟΛΊΔΗΝ ΜΙΣΗ͂ΝΟΝ, ἐπιπροσθείη· ΟΤΩι ΟΥ̓ ΦΈΡΤΕΡΟΣ ΑΛΛΟΣ· Τῷ δὲ· ΧΑΛΚΩ͂ι ΚΙΝΕ͂ΙΝ ΑΝΔΡΑΣ, τὸ· ΑΟΙΔΗ͂ι ΑΡΗΝ Δ' ΕΞΆΠΤΕΙΝ. καὶ ὅτι αὐτῷ παραχρῆμα κελεύσειεν, ἑκάτερον ἐν τῷ Τεύχει προσαναγράψασθαι.

Τὰ μὲν οὖ Βουκολικὰ κ.τ.λ. τὰ Γεωργικὰ φθάσας ἐπιδιορθώσατο· ἔτος δὲ ἤδη ἄγων τὸ πεντηκοστὸν δεύτερον τὸ βίε, ἐφ' ᾧ χεῖρα τιὼ ἐλάττω κ.τ.λ. τῇ Αἰνειάδι προσεπιθέσθαι, ἀν' Ἑλλάδα τε κ.τ.λ. Ἀσίαν ἔγνω ἀποδημῆσαι, κ.τ.λ. διὰ τριετίας ὅλης σπουδῇ ποιήσασθαι, ὡς ἂν τὸ ἔργον πρὸς τὸ ἀκριβὲς ἀποξέσας τῇ Φιλοσο-

φίᾳ

---

(17) Ἃ καὶ τοῖς καθ' ἡμᾶς φιλολογοῦσι τῶν ἄλλων, (διὰ τοῦτο τυχὸν,) ἐγκρίνεσθαι εἴωθεν.

(18) Ταῦτα δὲ, κατὰ τιὼ προτεθεῖσαν Σημείωσιν, (13) εἰς μυριάδα ἀνάγεται.

φίᾳ τῷ ζῶ τὸ λοιπὸν ἐπιχολάσειεν. Ἐπεὶ δὲ Ἀθιώαξε ἀφικόμενος τῷ Αὐγούστῳ ἐκεῖ σωιώτησεν ἐξ Ἀναξολῶν εἰς Ῥώμιω ἐπανιόντι, ἐπανελθεῖν προείλετο ἡ αὐτὸς ἅμα τῷ Καίσαρι. Καὶ δὴ Μεγάραξε μεταβάινων καθ' ἱστορίαν τοῦ Ἄξεος, Ἀθιωῶν ὁ πόρρω ἀπέχοντος, χαυνώσει περιπέπτωκεν ἀτονήσας· ἧς, τοῦ πλοῦ μὴ διαλελοιπότος προσαυξηθείσης, καὶ ἐφ' ἡμέρας προϊούσης ἐπὶ τὸ χεῖρον, εἰς Βρεντήσιον τέως κατήχθη, ἔνθα μεθ' ἡμέρας ὀλίγας τὸ ζῶ ἐξεμέτρησε, Καλανδῶν Ὀκτωβρίων τῇ δεκάτῃ, Γαΐῳ τε Σεξτίῳ, καὶ Κοΐντῳ Λουκρητίῳ τιῶ ὑπατικιῶ τιωικαῦτα μετιόντων ἀρχιῶ.

Τῆς τοίνιω ἀθενείας ἐπιβαρυομένης αἰθόμενος, τὰς τῶν ἰδίων Συγγραμμάτων φωριαμὰς αὐτῷ, πλὴν ἢ ἅπαξ, ἀνενδότως ἠτεῖτο προσενεχθιῶαι, ὡς ἐξ αὐτῶν τιῶ Αἰνειάδα τῷ πυρὶ παραδῶναι προθέμενος· τῶν δ' ἀμφ' αὐτὸν προσενεγκεῖν ἀπαναμένων, ἐκ διαθήκης ἐκέλευσεν αὐτιῶ καυθιῶαι, ἀτελῆ τε ὄσαν καὶ ἐπιδιορθώσεως χρήζουσαν. Ἀλλὰ γὰρ Τύκκα τε καὶ Οὐάρῳ, ἥκιστα τοῦτο ἐπιτρέψειν Αὔγουστον ὑποτιθεμένοις, ἐπὶ τοιᾷ δε τούτοις σιωθήκῃ ἐπεκλήρωσε τὰ αὐτῷ συγγραφέντα, τοῦ μηδέν τι ὅλως τολμήσειν προσθεῖναι, τὸ μὴ παρ' αὐτοῦ προσαφθὲν· ὀχ ὅπως δε, ἀλλὰ ἡ τὰς ἀτελεσέρους ἐγκαταλειφθέντας τῶν σίχων, εἴ τινες εἶεν, ἡ αὐτὰς ἀπληράτους ὡς εἶχον, ὅτως ἐάσειν. Ἠξίωσε δὲ καὶ αὐτῷ τὰ ὀσέα ἐπὶ Νεαπόλεως ἀνακομιθιῶαι, ἔνθα ἐπὶ πολὺ καὶ ὡς ἥδισα βεβιωκὼς διετέλεσε. Πνέων δὲ τὰ τελευταῖα, ἐπιτάφιον αὐτὸς ἑαυτῷ ἐποίησε τόδε τὸ Δίσιχον:

Μάντυά μ' ἐκτέτοκεν· Καλαβροὶ δ' ἦραν· νῦν δ' ἔχει
Παρθενόπη. Ἦδον πάσεα, ἔργα, μάχας.

Τοιγαροῦν καὶ μετεκομίθη τὰ Οὐϊργιλίου ὁσᾶ εἰς Νεάπολιν ὡς διέθετο, Αὐγούσου ἐπικελεύσαντος· ἐντεταφίασαι δὲ κατὰ τιῶ Πουτεολάναν ὁδὸν, λίθου τοῦ δευτέρου ἐντὸς· τῷ δὲ τυμβώματι καὶ τὸ ποιηθὲν ὑπ' αὐτοῦ Δίσιχον ἐπεγράφη.

Καὶ κληρονόμους δὲ διετάξατο, ἀφ' ἡμίσους μὲν τῆς ὑπάρξεως Οὐαλέριον Πρόκλον, καὶ τὸν ἐκ πατρὸς ἕτερον ὁμώνυμον. Αὔγουσον δὲ ἐκ τοῦ τελάρτου. Μακηήναν δὲ ἐκ τοῦ δωδεκάτου· ἐκ δὲ τοῦ λοιποῦ, Λέκιόν τε, καὶ Οὔαρον, καὶ Πλώτιον Τύκκαν· οἵ καὶ τελευτήσαντος τιῶ Αἰνειάδα, ὡς ἠξίωσε, κελεύσει τοῦ Καίσαρος ἐπηνώρθωσαν. Οὐδὲ γὰρ ἐγένετότις, ὅτῳ ἄν δόξειεν ἡ Αἰνειὰς πυρὸς εἶναι ἀξία, περὶ ἃ σώξεται καὶ Σαλπικίου τοῦ Καρχηδονίου τὰ ἔπη.

Ταῦτ' ἐπέτελλ' ἔπεσα φλογὶ κηλέῃ ἐξαναλῶθαι
Βιργίλιος, Φρύγιον τοῖς ἐπάεισ' ἀγέλιω.
Τύκκας δ' Οὐάριός τ' ἀπέεργον· κ' οὐδὲ σὺ Καῖσαρ
Νεῦσας, φεισάμενος ἱστορίης Λατίου.

***

Διὶς

Δὶς μονονυχὶ βίῳ Ἡφαίστου Πέργαμ' ὑπέστη,
Δευτερίαις τε πυραῖς Ἴλιον αὖτ' ἐκάη.

Σώζεται δὲ καὶ Αὐγούστου περὶ τούτου πολλά τε καὶ κάλλιστα ἔπη, ὧν ἡ καταρχή:

Ἦ, τόσον ἐχατίοις ἀδόκιμος ῥήμασιν ἔτλη
Γῆρυς ἐπεντέλλεσθαι ὅ μὴ θέμις; ἦ, πυρὸς ἔργον
Θεσπεσίῃ θνήξει μεγάλοιο Μάρωνος Μοῦσα;

Καὶ μετὰ βραχέα:

Ἀλλὰ νόμους σώζεσθ' ἰοτῆς πυμάτῃ ἀλὶ ἔμπης,
Ὅτλι κελεύσειεν, πειθαρχεῖν πᾶσα ἀνάγκη·
Ἐρρήχθω πρότερον καὶ θεσμῶν πότνια κίκυς,
Ἠὲ τοσὸς δε πόνος, νύκτ' ἀθροισθέντας ἰδ' ἦμαρ,
Ἦμαρ ἓν ἐξαρύσῃ . . . . . .

Οὐδὲν δὲ ἄρα προσέθηκεν Οὔαρος, ἐπαπηγορευκότος καὶ Αυγούστου, καθὰ κἀ Μάρων προενετείλατο· ἀλλ' ἐπηνώρθωσέ πως ἀκροθιγῶς, ὥστε δὴ καὶ τὰ ἀτέλεστα τῶν ἐπῶν, ἅ τινα τοιαῦτα εὕρηται, ὡς εἶχε παραλιπέσθαι. Ταῦτα δέ τοι πολλοὶ τῶν ὕστερον ἀναβάσαντες ἐπαναπληρῶσαι, οὐδὲν ἤνυσαν διὰ τὴν ἀπαντῶσαν δυχέρειαν. Ἅπαντα καὶ γὰρ, μικρὰ δεῖν, τὰ παρ' ἐκείνῳ ἡμισίχια. (πλὴν τοῦ:

Ὃν σοι τάξατο ἄρτι γε Τροίη . . .

πλήρη τε καὶ αὐτοτελῆ τὴν διάνοιαν δοκοῦσι δηλοῦν·

Νῖσος μὲν οὖν ὁ Γραμματικὸς ἐξ ἀρχαιοτέρων ἔφασκε πυθέσθαι, ὡς Οὔαρος τὰς δύο μεταθείη τῶν βίβλων, τὴν δευτέραν εἰς τρίτην μετενεγκών, καὶ ὡς ἐπὶ τούτοις, καὶ τοῦ πρώτου Βιβλίου τὴν καταρχὴν ἐπανορθώσας, ἐπιπροθείη τὰ ἔπη τάδε:

Ὅς ποτε λεπταλέῳ καλάμῳ ἔπος ἔπνεον ἀοιδῶν,
Ὑλῶν δ' ἐκπροϊὼν τὰς ἄγχι ἄνωγα ἀρούρας
Ῥᾳδίως γεηπονέουθ' ὑποείκειν, καὶ τ' ἀκορέστῳ,
Ἡδύ τι ἀγροτέροισι μέλος· νῦν Ἄρεος αὖνὰ
Τεύχεα ἀείδω, ἄνδρα τε . . . .

Οὐϊργιλίῳ μὲν δὴ, οἱ ἐνδιαβάλλοντες ἔποτ' ἐνέλιπον· οὐδὲ γὰρ οὐδ' Ὁμήρῳ. Καὶ γὰρ τῶν Βουκολικῶν ἐκδοθέντων, Ἀνώνυμός τις συνέγραψεν Ἀντιβουκολικῶν ᾠδὰς δύο μόνας, ἀηδέστατα παρῳδήσας· ὧν τῆς πρώτης ἡ ἀρχὴ:

Τίτυρε, θαλπινὴ εἴ σοι χλαῖνα, τὶ τέγμαλι φηγῷ, κτλ:

τῆς δὲ δευτέρας:

Φράζε μοι, ὦ Δαμοῖτα τὸ πῶϋ τόδ', ἆρα Λαλῖνον;
Οὐκ', ἀλλ' Αἰγῶνος. τὼς ἡμῖν ἀγρόθι φαντὶ. κτ:

Ὁ δέ τις, ἐκεῖνο τὸ ἐκ τῶν Γεωργικῶν ὑπαναγινώσκοντος τοῦ Μάρωνος:

Γυμ-

Γυμνὸν σπείρειν, γυμνὸν ἀρῆν . . .
Ὑπολαβὼν ἀνεπλήρωσε·
. . . . . Ῥίγει δὲ πυρέσσειν.

Φέρεται καὶ κατὰ τῆς Αἰνειάδος Βιβλίον Καρβιλίε Πίκτορος, ᾧ ἐπιγραφὴ ΑΙΝΕΑΔΟΜΑΣΤΙΞ. Μάρκος δὲ Οὐιπράνιος Ἰὸν συγγράψαντα, Μακήνε ὑποβαλόντος, καινῆς κακοζηλίας εὑρετιῶ ἀπεκάλει· ἔφασκέ τε, μηδ' ὀγκηρὸν εἶναι τὸ πόνημα τιῶ Φράσιν, μηδὲ κάτιχνον, ἀλλ' ἐξ ὀνομάτων κοινοτέρων σωτεταγμένον. Καὶ Ἐρρένιος δὲ τὰ παρὰ Μάρωνι ἐλλείμματα σωῆξε μόνον, Περέλλιος δὲ Φαυστῖνος τὰ κλέμματα. Φέρεταί τινα καὶ Ὀκταουίε Ἀβίτε τεύχη, ἐν οἷς παραδείκνυται, ἅ τε, καὶ ὅθεν ὁ Μάρων τὰ ἔπη ὑφελόμενος φωραθείη. Ἀσκόνιος μέντοι ὁ Πεδιανὸς, ἐν τοῖς κατὰ τῶν Οὐιργίλιον διαβαλλόντων, βραχέα πάνυ παρέθετο αὐτῷ προσριβόμενα· πρὸ δὲ τῶν ἄλλων, τό, τε μὴ ὀρθῶς σωεξυφῆναι τιῶ ἱστορίαν, καὶ ὡς πολλὰ εἴη καὶ ἐκ τῶν Ὁμήρε „παρειληφὼς. Ἀλλ' ἐπὶ τῷ δε, φησὶ, Ἰῷ αἰτιάματι μίαν εἰωθέναι „ἀπολογίαν φέρεσθαι ταύτιω: τὶ μὴ διεπειράσαντο τὰς αὐτὰς κὴ „αὐτοὶ ἐπιτηδεῦσαι κλοπείας; ἦπε γὰρ ἄν ἔγνωσαν ῥᾴδιον ὂν „Ἡρακλέες τὸ Ῥόπαλον, ἢ Ὁμήρε ἔπος ἓν ὑφελέσθαι. Καίτοιγε „(προσίθησι) καὶ ὑποχωρῆσαι Μάρωνα προθέσθαι, ὡς ἄν ἐφ' „ἡσυχίας, πάντα περικόψας ὧν ἄν καθάψαιντο, καὶ τοῖς δυσ- „νοοῦσιν αὐτοῖς, ἅπως εἴη, ἐναρεσήσειεν.

Ἐπὶ τούτοις ὁ Πεδιανὸς περὶ τε Μάρωνος κἀκεῖνο διέξεισιν, ὅτι τοῖς χρησοῖς ἅπασι καὶ παιδείας ἐχομένοις ἐπιεικῶς εὐνοῶν διετέλει, καὶ τιμιῶ ἀπονέμων, καὶ αἰδῶ τιῶ προσήκουσαν· φθόνε δὲ καὶ βασκανίας κρείσσων ἦν ἐς τοσοῦτον, ὡς καὶ εἴ τι ποτὲ σοφῶς λεχθὲν ὑφ' ἑτέρε ἀκούσειεν, ἀδέν τι ἧττον, ἢ εἴπερ ὁ εἰπὼν αὐτὸς ἦν, περὶ αὐτὸ ἀσμενίζεσθαι καὶ μηδένα μὲν διαψέγειν, τὰς δὲ ἀγαθὰς ἐπαινεῖν· οὕτω δὲ διήνεγκε τρόπε ἐπιεικείᾳ τε καὶ χρησότητι, ὥςε παρὰ πάντων (εἰ μὴ τυχόν τις τῶν ἐξωλεσάτων ὑπάρχοι) οὐχ ὅπως φιλεῖσθαι, ἀλλὰ καὶ ἀγαπᾶσθαι. Ἴδιον δὲ μηδὲν ἑαυτῷ ἔχειν ἐδόκει. Βιβλιοθήκη δὲ ἡ αὐτῷ περιοῦσα, ἀδὲν ἔλαττον Ἰοῖς ἄλλοις Ἰῶν Φιλολογώνων ἀνέωκτο, ἢ ἐκείνῳ αὐτῷ· τὸ γὰρ ὑπὸ Εὐριπίδε εἰρημένον πάλαι σωεχῶς ἀνελάμβανεν ἐπιλέγων „τὰ τῶν Φίλων εἶναι κοινά. Ἔνθεν τοι καὶ τῶν Ποιητῶν τὰς συγχρόνας ἔτως αὐτῷ προσκειμένας ἦν ἔχων, ὡς καὶ πλεῖσα κατ' ἀλλήλων ὑποφλεγομένας τῇ βασκανίᾳ, τὰς πάντας κοινῇ αὐτὸν ἄσεσθαι. Ὄναρόν τε, φημὶ, κὴ Τύκκαν, καὶ Ὡράτιον, καὶ Γάλλον, καὶ Προπέρτιον. Ἄνσερ δὲ αὐτὸν μὴ διὰ τιμῆς ἄγειν ἰσόρηται, ὡς Ἀντωνίῳ συμφατριάζων. Καὶ

οὐδὲ Κορνίφικιος δὲ ἐπιεικῶς ἐτύγχανε φέρων αὐτὸν, ἐκ κακοηθείας γε καὶ φαυλότητος.

Ἀλλὰ καὶ τύφε καὶ κενοδοξίας κρείσσων ὑπῆρξεν ὁ Μάρων Καὶ γὰρ καὶ τῶν ἐπῶν τινα τῶν αὐτοῦ, ἐνίων, ὡς ἐυδοκιμοῦντα παρὰ τοῖς σοφοῖς, σφετεριζομένων, ὑ μόνον χαλεπῶς ἐκ ἔφερεν, ἀλλὰ καὶ σφόδρα ἐπὶ τῷ πράγματι ἤδετο. Δίστιχον ἔν ποτὲ ποιήσας, Αὐγούστε ἐυφημίαν περιέχον καὶ τύχῃ, καὶ τοῖς πυλῶσι τῶν Ἀνακτόρων αὐτὸ προσησάμενος ἀνεπίγραφον· ἦν δὲ τοιοῦτον:

Ζεὺς μὲν πάννυχος ὗσε, θέατρα δὲ αὖ ἐπανῆκε·
Ζεὺς ἄρα, καὶ Καίσαρ, ἄνδιχα κάρτος ἔλον.

Τοῦ δὲ Αὐγούστε ἐπὶ πολὺ ἐπιδίδοντος, ὅτινος ἆρ ἔη γὰ ἔπη, καὶ μὴ εὑρίσκοντος, Βαθύλλος γις τῶν περὶ γιὼ Ποίησιν μετριωτέρων, μηδενὸς φάσκοντος, ἑαυτῷ ἐπεγράψατο, ἀνθ' ὧν καὶ γιμῆς ἀπήλαυσε γῆς παρὰ τοῦ Καίσαρος. καὶ δώρων, ὅπερ δὴ Οὐιργίλιος μὴ φέρων (19) πρὸς τοῖς αὐτοῖς πυλῶσι τὸ κῶλον προέσησε, γράψας τετράκις:

Τῶς σφίσιν ἐχ ὑμεῖς : : . . :

Αὔγουστος δὲ τῶν στίχων ἐξητεῖτο τὰς ἀναπληρώσεις· ἅς μάτιω τινῶν διαπειρασαμένων ἀποδοῦναι, προτάξας τὸ Δίστιχον ὁ Μάρων, προσέθετο τὰ ἑξῆς:

Τεῦχον ἐγὼ τὰ ἔπη, ἄλλος δ' ἀπενέκατο δῶρα.
Τῶς σφίσιν ἐχ ὑμεῖς, ὄρνιθες ἐκτέκετε.
Τῶς σφίσιν ἐχ ὑμεῖς, οἷς ἔρι ἐκφέρετε.
Τῶς σφίσιν ἐχ ὑμεῖς, σίμβλα μέλισσ' ἔχετε.
Τῶς σφίσιν ἐχ ὑμεῖς, βοῦς τὰ ἄροτρ' ἄγετε.

Τοῦ δὲ πράγματος διαδοθέντος, Βαθύλλος μὲν ἐφ' ἡμέραις, ὁ Ρώμης μῦθος ἐγένετο, Μάρωνος δὲ τὸ κλέος προϊὸν ἐπῄρετο.

Οὗτος καὶ τεῦχος Ἐννίε σὺ χερσὶ ποτὲ ἔχων, πρὸς τὸν πυ-
„θόμενον, ὅ, τι ἄρα γυγχάνοι ποιῶν; „Χρυσὸν (ἀπεκρίνατο) ἐκ
„τῆς Ἐννίου κόπρε συλλέγω· πολλὰ γὰρ Ἔννιος γνωμολογεῖ καὶ
„καλὰ, ἐν ὀ καλοῖς τοῖς ὀνόμασι. Καὶ τοῦ Αὐγούστε δέ ποτε διερω-
„τήσαντος, πῶς ἂν ἄριστα πόλις ἄγοιτο; ἐὰν (ἔφη) οἱ μὲν σωφέσει
„διαφέροντες τῶν ὁιάκων ἔχοιντο, οἱ δ' ἀγαθοὶ τῶν φαύλων
„προτάσσοιντο· καὶ τοῖς μὲν ἀρίστοις τὰ γέρα νέμοιτο, μηδὲν δὲ τοῖς
„λοιποῖς ἐπιτρέποιτο πράττειν παρὰ τὸ δίκαιον. Καὶ τοῦ Μαικήνε
„δὲ διαπυθομένε: τί δήποτ' ἐστὶν, ὦ Μάρον, τὸ κόρον ἀνθρώποις
ἧκιστα

---

(19) Μή ποτε δὲ τοῦτο, πρὸς τὸ ἔγγιστα περὶ τοῦ Ποιητοῦ προειρημένον ἀντίζοιτο Φέρεται;

ἥκιστα ἐμποιεῖν; παντὸς (ὑπολαβὼν ἔφη) πράγματος ἐγγίνεται „κόρος, παρά τε ὁμοιότητα καὶ διὰ περίσσειαν, παρεκτὸς τῦ φρο„νεῖν τε καὶ σωιέναι· προσεπερωτήσαντος δὲ καὶ τῦτο„ πῶς ἄντις διασώζειν ἔχοι τύχῳ ὑψηλῷ καὶ εὐδαίμονα; ὁ Μάρων: ἔπερ „ὁπόσῳ ἄν τῶν ἄλλων δόξῃ διαφέρῃ, τοσύτῳ καὶ ἐλευθεριότητι „διαφέρειν καὶ δικαιωσώνῃ σπεδάσειε. Καὶκεῖνο δ' ἔτι λέγειν εἰώθει: „Μηδεμίαν ἀνθρώποις ἀρετῷ ἄλλῳ ὠφελιμωτέραν εἶναι τῆς ἀ„νοχῆς. μηδὲ τύχῳ εἶναι ἕτω τραχεῖαν, ἧς ὁ μὴ κρέσσων γέ„νοιτο ἐμβριθὴς ἀνὴρ καὶ γενναῖος, διὰ σωέσεως. Ἥνπερ δὴ „γνώμῳ καὶν τῷ πέμπτῳ τῆς Αἰνειάδος παρενυπέθετο.

Παῖ σὺ Θεῆς, ἢ Μοῖραι ἄγωσ' ἀπάγωσιν τ' ἔκειν.
Εἴτι δ' ἔοι γε, τύχῳ πᾶσαν νικᾶν σ' ἀνατλάντα.

Τῶν δὲ φίλων τινὸς, τὰς Κορνιφικίυ πρὸς αὐτὸν λοιδορίας „τε καὶ ἀπεχθείας ἀπαγγέλλοντος „Τίνα ποτὲ τάυτης (ἔφη) τῆς „δυσμενείας τιῶ αἰτίαν εἶναι αὐτὸς ὑπέληφας; οὐδὲ γὰρ μικρόν „τι ὅλως Κορνιφικίῳ ἐγὼ προσέκρυσα πώποτε, ἀλλὰ καὶ φιλίως „ἀεὶ τυγχάνω πρὸς αὐτὸν διακείμενος. Ἢ οὐχ Ἡσιόδου, ἔφη, „τῆς ῥήσεως μέμνησαι, ἔνθα τέκτονι τέκτονα φθονεῖν λέγει, καὶ „ἀοιδὸν ἀοιδῷ; Καὶ τυτὶ μέν τοι περὶ τῶν φαύλων (προσέθετο) ὑπειληφέναι τὸν Ἕλληνα· οἱ γὰρ ἀγαθοὶ φιλῦσι τὺς εὖ παιδεύσει προέχοντας· Ἀλλ' ἀμέλει· ἐγὼ σοι γὰρ σῶ ἐπαίνῳ πολλῷ κὴ „δόξῃ σὺν χερσὶ φέρω τιῶ ἄμιλλαν. Σπεδαιότερον γὰρ ἐπιμελήσο„μαι ἀρετῆς· ὅσῳ δ' ἄν ἐγὼ κομψότερος γένωμαι, τοσύτῳ μᾶλλον „ἐκεῖνος ὑπὸ βασκανίας διαῤῥαγήσεται.

Ἦν δέ τις Αὐγύστῳ σωήθης, ὄνομα Φίλιξος, τιῶ μὲν ἐπαγγελίαν Ῥήτωρ, τιῶ δὲ Ποίησιν ἀφελής. Οὗτος παντοῖος τε ὢν κὴ ποικίλος τιῶ φύσιν, πᾶν τὸ ὑφ' ὁτυῦν εἰρημένον ἐλέγχειν ἰταμῶς παρενέπιπτεν· οὐχ ὡς ἄν τ' ἀληθὲς ἐπιγνῶναι ἔχοι, ὅ Σωκράτης εἰώθει ποιεῖν· ἀλλ' ἵνα τις εἶναι δόξῃ τῶν ἄλλων σοφώτερος. Αὐτὸς ἔν καὶ τὸν Μάρωνα, ὁποίποτ' ἂν σωτυχεῖν αὐτῷ γένοιτο, σκώμμασί τε καὶ ὀνείδεσιν ἔκοπτεν· ὁ δὲ, ἤτοι σιγῶν ὑπανεχώρει, ἢ αἰδύμενος ὑπεσίγα· ἐπὰ δέ ποτε, Αὐγύστυ ἐπακροωμένυ, κὴ ἄγλωσσον αὐλὸν ὁ Φίλιξος προσεῖπε, κἂν εἰ γλῶσσαν ἔχοι, μηδὲν „ἀπολογηθῆναι δώσεθαι· „Οὐ σιγήσεις, ἔφη, ἀγορᾶς περίτριμμα; Ἢ „γὰρ ἐμὴ σιγὴ αὕτη, Αὔγυστόν μοι αὐτὸν, καὶ Μαικήναν προμ„νησέυεται σωηγόρυς. Καὶ αὐτὸς μὲν σὺν σάλπιγγι, ἐπὰν ἐθέλω, „ἦχῶ τηλικαύτῃ, ἥτις ἁπανταχῆ τε καὶ εἰς μακρὸν ἀκυσθήσε„ται· σὺ δὲ διὰ τῆς σῆς ἀδολεχίας ὄκ ἀνθρώπων μόνον τὰ ὦλα „ῥήγνυς, ἀλλὰ καὶ τοίχυς„ Φιλίξῳ δὲ καὶ Αὔγυστος βαρὺ προσβλέψας ἐπενεβριμήσατο. Ὁ δὲ δὴ Μάρων αὐτίκα: ἔ γε καιρὸν ἔτος (ἔφη) τὸν τῦ σιγᾶν ἤδει, ὦ Καῖσαρ, ὀλίγισα ἄν ἐφθέγγελο.

* * * *

Ἔσι

„Ἔστι γὰρ ἀεὶ σιγητέον, πλὴν ἢ ὅτε τὸ σιγᾶν φέρει ζημίαν, ἢ „ἄλλως, τὸ λέγειν ὠφέλειαν. τὸν γὰρ προσεπιδιατεινόμενον, καὶ „εἰ τὸ τῆς ἀντιλογίας πέρας σωτελὲν ἐστὶν ἀγνοοῦντα, συγκατα„λεκτέον οἴονται τοῖς ἄφροσιν οἱ νῦν ἔχοντες.

Αὐγούστῳ δὲ ἤδη εἰς ἀκρότητα δωμάμεως προεληλυθότι, καὶ πάντων κρατήσαντι, διασκέψασθαί ποτε κατὰ νῦν ἐπῆλθεν, εἰ σωοίσει τέως αὐτὸν ἀποθέσθαι τὼ Τυραννίδα, τοῖς κατ' ἐνιαυτὸν τὼ Ὕπατον ἀρχὼ μετιοῦσι, καὶ τῇ Συγκλήτῳ Βουλῇ τὸ κράτος ἅπαν ἐπεγχειρίσαντα; Περὶ οὗ Μαικήνας τε καὶ Ἀγρίππας ταῖς ψήφοις ἀντιφρονοῦντες, διάφορα σωεβούλευον αὐτῷ. Ἀγρίππας μὲν γὰρ, σωτελέσειν οἱ, κἂν ἄλλως μὴ καλὸν ἔσοιτο, τὼ Τυραννίδα ἀποσκευάσασθαι, λόγοις μακροῖς διετείνετο, Μαικήνας δὲ πάθειν ἠγωνίζετο τοὐναντίον· οὗ χάριν Αὔγουστος ἀμφιῤῥεπῶς εἶχε τῷ γνώμῳ ταλαντευόμενος, τῆς τῶν ψήφων διαφορᾶς παντοίοις λόγοις ἑκατέρωθεν ἐπισηριζομένης. Τοιγαροῦν καὶ τὰ Μάρωνος διεπωθάνετο, εἰ ἀνδρὶ σωέφερεν ἰδιωτεύοντι, Τύραννον ἐπὶ τὰ πολιτεύματος ἑαυτὸν ἀποκαθιζᾶν. Ὁ δέ τοι Μάρων πρὸς ταῦτα: „Ἅπασι μονονοχὶ, καὶ τοῖς ἐπὶ τῶν δημοσίων καθεζῶσιν αὐλοῖς, „καθάπερ καὶ τοῖς ἐν τῷ πολιτεύματι ἰδιοπραγοῦσι πολίταις, „ὀχληρὸν ἡ Τυραννὶς καὶ ἀχθηρὸν ἔοικε χρῆμα· ἦν γὰρ ἐπά„ναγκες, διὰ τὰς τῶν ὑπὸ χεῖρα ἀπεχθείας, ἢ τὰς αὐτῶν ἀδι„κίας, οὐ ὑπονοίαις μεγάλαις, καὶ φόβοις οὐδέν ἧττοσι ζιῶ. Ἀλλ' „εἴ τινα οἱ πολῖται Ἄνδρα ἐπιγνοῖεν, δίκαιόν τε αὐτὸν ὄντα καὶ „διαφερόντως ἐράσμιον, πολυωφελέστατον αὐτοῖς τε εἴη καὶ τῷ „πολιτεύματι, εἰ παρὰ τοῦτῳ καὶ μόνῳ τὸ Κράτος ἅπαν σαλεύοι„το. Ἐὰν οὖν, (ὅπερ ἤδη ποιεῖς) καὶ ἐς τοὔπιὸν ἐπίσης ἅπασι τὰ „δίκαια πρυτανεύων ἔσῃ ἀδιαφόρως, τόγε σὲ ἄρχειν καὶ σοὶ σωοί„σει, καὶ τῷ παντὶ· τοσαύτης γὰρ ἀπολάυων τυγχάνεις τῆς πα„ρὰ πάντων εὐνοίας, ὥστε οἷα Θεὸν σε κοινῇ καὶ σεβάζεσθαι καὶ „νομίζεσθαι. Ταύτῃ τῇ βουλῇ στοιχήσας ὁ Καίσαρ, τὸ Κράτος πα„ρακατέχεν.

Ὁ μὲν οὖν Μάρων παρὰ Σκίρωνος (ἢ ἄλλως Σύρωνος.) τῶν Ἐπικούρου διήκουσε διδαγμάτων, οὐ οἷς καὶ Οὔαρον ἔχε συμμαθητεύοντα. Διαφόρων δὲ καί τοι Φιλοσόφων ἦς περὶ ψυχῆς μάλισα δοξασίας ἐν οἷς αὐτὸς Συγγράμμασι παρενσπείρας, ἀλλ' Ἀκαδημαϊκὸς αὐτὸς τὼ αἵρεσιν ὑπῆρχεν, ὡς δὴ τὰ δόγματα δῆλος ὢν πρὸ τῶν ἄλλων τιθέναι τὰ Πλάτωνος. (20)

Ταῦτα

(20) Διὸ καὶ Αὐγούστος αὐτὸν ὡς Πλάτωνα ἐν Ποιηταῖς ἄντικρυς ὄντα, ἐξυμνῶν προσηγόρευσεν.

Ταῦτα περὶ τῦ Συγγράψαντος σιωοπτικώτερον διεληλυθόσι, καὶ περὶ τῦ Ποιήματος ἤδη διαληπτέον εἶναι δοκεῖ. Περὶ ἃ δισσά τινα πραγματεύεσθαι εἰώθασι, τὰ μὲν πρὸ τῦ ἔργυ, τὰ δ' ἐν αὐτῷ τῷ ἔργῳ ἐνθεωρύμενα. Κἀκεῖνα μὲν ἐστὶν, ἥτε Ἐπιγραφὴ, καὶ τὸ Ἐνδόσιμον τὸ πρὸς τὸ ἔργον, καὶ ὁ Σκοπὸς· ὧν ἡ μὲν, ὅτινος τὸ πόνημα ἐστὶ προσημαίνει· τὸ δὲ, τίς ποτε ἡ πρὸς τιὼ τοιάνδε ἐπιχείρησιν γενομένη τῷ Ποιητῇ αἰτία τε καὶ παρόρμησις, ἀναπτύσσει· ὁ δέ, τὸ τέλος πρὸς ὅ, τι μάλιστα ἀφορᾷν ὁ Ποιητὴς ἔοικε· Ταῦτα δὲ, τὰ ἐν αὐτῷ ἐστὶ θεωρύμενα τῷ ποιήματι· ὁ Ἀριθμὸς, ἡ Τάξις, ἡ Ἔκθεσις. (21)

Πολλῶν τοίνιω φερομένων ψευδεπιγράφων· τυτέσιν ἐκ ἐν τῷ ἀληθεῖ κὴ γνησίῳ, ὑπὸ δὲ ἀλλοτρίῳ ὀνόματι προβαλλομένων Συγγραμμάτων, ὡς ἡ Θυέστ Τραγῳδία ἡ τῦ Ὀυϊργιλίυ, ιὼ ὡς ἰδίαν αὐτῦ ἐξέδοτο Οὔαρος, (22) κὴ ἕτερα τοιαῦτα· Ὅτι τὰ Βυκολικὰ ἐπιδήλως Ὀυϊργιλίυ ἐστὶν, ἐνδοιάζειν ἐ χρὴ· ὁπότε αὐτὸς μάλιστα ὁ ποιήσας, ὥσπερ ὑφορώμενος τιὼ ὑποβολιὼ, ἐν προοιμίοις τῦ ποιήματος, κὴ τῆς Αἰνειάδος δὲ καταρχόμενος, καὶ ἐν ἄλλοις δὲ ἔτι, οἰκεῖον εἶναι τὸ Φιλοπόνημα ἐπιμαρτυρεῖ λέγων:

Ὅς ποτε λεπταλέῳ καλάμῳ ἔπνεον ἄδων, κλ:

Καὶ:

Ὅς τ' ἐπιθαρσήσας, νέος ἄρτι, νομήϊα παῦξα,
Τίτυρε, καὶ σὲ δ' ἅμα σκιερῇ φηγῷ ὑπὸ ἧσα· κτ:

Τὰ δέτοι Βυκολικὰ, ὀρθῶς αὐτὰ καὶ προσηκόντως καλεῖσθαι, λόγος ἐστὶν ἀποχρῶν, ὅτι ὑπὸ τοιῷδε ὀνόματι καὶ παρὰ Θεοκρίτυ ἐπισεσήμανται. Ἀλλ' αὐτὸ δῆ τῦτο κατασκευασέον καὶ ἄλλως. Τριττὴ γὰρ ἡ τῶν Νομέων τάξις· τύτων ἐλάχιστοι, οἱ κατὰ μὲν Ἕλληνας Αἰπόλοι, καθ' ἡμᾶς δὲ τὰς Λατίνας, Καπράριοι, Caprarii· τιμιώτεροι δ' Αἰπόλων οἱ Προβατεῖς, Opiliones· τύτων δὲ ὑπερέχοντες ἑκατέρων, ὅς Βυκόλυς καλῦσι, Bubulcos. Πόθεν οὖ εἰκὸς ιὼ μᾶλλον τῷ ποιμενικῷ ποιήματι τιὼ προσηγορίαν ἐπιτεθεῖναι, ἢ ἐκ τῦ βαθμῦ, ὅς παρὰ τοῖς Νομαδικοῖς τῶν ἄλλων προτέτακται;

Τὸ δὲ Ἐνδόσιμον, δισσόθεν φιλεῖ θεωρεῖσθαι· ἤτοι γὰρ ὡς ἀπὸ τῆς ἀρχῆς, ἀφ' ἧς τὸ πρῶτον ἐν χρήσει γίγνεσθαι τὸ τοιόν-



(21) Σημείωσαι, ὅτι ταῦτα ἐφεξῆς, ἐπὶ τῶν Βυκολικῶν μάλιστα ὁ Βιογράφος ὧδε ἡμῖν ἀναπτύσσει· ἀλλ' ἐπιφιλοκρινεῖσθαι δυάται τὰ αὐτὰ, καὶ ἐπὶ τῶν ἄλλων τῦ Ὀϊργιλίυ Ποιήσεων.

(22) Ὀυχὶ πόνον σφετερισάμενος τὸν ἀλλότριον, κατὰ τὸν Βαθύλλυν ἐκεῖνον· ἀλλὰ τῦ Μάρωνος ἐνδεδωκότος αὐτῷ, συγγενεῖ τε ὄντι (φασὶ) καὶ συμμαθητεύσαντι.

δε τὸ Ποιήματος κατήρξατο εἶδος, ἢ ἐξ αὐτῆς τῆς τὸ Ποιητὸ προθέσεως. Ἀρχὼ οὖ τὸ τοιότο ἔπος πρωτίςω ἄλλω ἄλλοι γενέθαι λέγοσιν· οἱ μὲν γὰρ ὑπὸ τῶν Λακωνικῶν ποιμένων τὸ καῖ ἀρχὰς Ἀρτέμιδι ἀνατεθεῖθαι φασὶ τὸ ἔπος, ἧ Περσικὸ πρὸς Ἕλλωας κινηθέντος πολέμο, μὴ ἄλλως ἐξὸν τιωικαῦτα παῤ ἐκείνοις τὰ ἱερὰ τῇ Θεαίνῃ διὰ τῶν παρθένων, ὡς ἦν τὸ ἔθος, προσάγεθαι· οἱ δὲ, ὑπὸ Ὀρέςο περὶ Σικελίαν ἠλάσκοντος, τὸ τοιόνδε ἔπος Ἀρτέμιδι ἀποδοθῶαι· δι αὐτῶν δ' ἐΦεξῆς καὶ ὑπὸ τῶν ποιμένων, ὅτε ἀπὸ Σκυθῶν Φυγὰς Ὀρέςης ἐπανῆλθε σωάμα Πυλάδῃ, κλέψας ἐκεῖθεν τὸ τῆς Θεᾶ βρέτας, καὶ ὑπὸ ξύλων Φακέλλῳ κρύψας· ἐξ ὃ καὶ Φακελλίδα, ἢ Φακελλίτιδα, Fascelidem: τιὼ Ἄρτεμιν προσειρῆθαι· πρὸς ἧς τῷ Βωμῷ, διὰ Ἰφιγενείας ἧς ἱερείας καὶ αὐτῷ κασιγνήτης, Ὀρέςης τὸ τῆς Μητροκτονίας ἀΦωσίωται ἄγος. Οἱ δὲ, τῷ Ἀπόλλωνι, Φασὶν, οἷα Θεῷ δηλονότι νομίῳ, ὠῖκα τὰς βᾶς ποιμαίνων ἰῷ τὰς Ἀδμήτο, τὸ εἶδος προσάδεθαι· οἱ δὲ τῷ Διονύσῳ, ὡς Νυμφῶν τε καὶ Σατύρων, καὶ τῶν ἄλλων ἧ τοιότο γένος Θεῶν ἐξάρχονῖι, οἷς ἰὸ ἀγροικικὸν τετὶ μέλος ἡδύ τε μάλα καὶ καταθύμιον· οἱ δὲ Ἑρμῇ τῷ πατρὶ ΔάΦνιδος, ὡς τῶν Νομέων ἡγεμονέυοντι, κατά τε Θεόκριτον, καὶ αὐτὸν Μάρωνα· οἱ δὲ, εἰς τιμιὼ Πανὸς ὑπειλήΦασιν, ὡς Θεᾶ ποιμενικᾶ κατ' ἐξοχιὼ ὄντος· καὶ Σειλιωᾶ δὲ, καὶ Συλβανᾶ, καὶ τῶν Φάυνων. Ἀλλὰ τότων ἔτω παντοδαπῶς λεγομένων, ἐκεῖνο μάλιςα ἂν ἐγκριθείη πρὸ πάντων ῥηθὲν, τὸ ἐκ χρόνων δηλονότι ὠγυγίων τὸ ποιμενικὸν τόδε εἰωθέναι μέλπεθαι ἄσμα, καθ' ὃς καὶ ὁ Νομαδικὸς ἤσκητο βίος· ἐξ οὗ καὶ τιὼ τὸ χρυσᾶ αἰῶνος ἰδέαν, ἐπὶ τῆς τῶν ἔτω βιότων ἀΦελείας τε καὶ ἁπλότητος παρεξεικαθιῶαι. Καὶ τὸν Μάρωνα γᾶν εἰκὸς, οἷα δὴ καὶ ἐπὶ τὰ ἄλλα τῶν ποιημάτων εἴδη ἑξῆς προϊέναι μέλλοντα, μὴ ἄλλοθεν ἀναβαλέθαι, εἰμὴ ἀπὸ τὸ βίο, ὅς ἐπὶ γῆς ἐγένετο πρώτιςος ἐναρξάμενον, ἐντεῦθεν ἔπειτα καὶ ἐπὶ τὸς ἀγρονόμος μεταβιῶαι, κὴ τελευταῖον πρὸς τὰς, ἐπὶ κατακυριεύσει τῶν ἐκ γεωργίας καρποΦόρων ἀναδειχθέντων ἀγρῶν, κινηθέισας δήρεις καὶ μάχας ἐκπροελθεῖν. Ὡς δῆλον εἶναι καὶ τὸν Ποιητιὼ ἐκεῖνο δὴ προθέσθαι καὶ διὰ τῆς τῶν ἰδίων Ποιημάτων ἐκτάξεως· πρώτος μὲν τὸς Νομευτικὸς ἅσαντα, ἔπειτα δὲ τὸς Γεωργικὸς, ἕχατον δὲ τὸς Πολεμικὰς καὶ μαχίμος.

Λέπεται δὴ πρὸς ἅπασιν εἰρημένοις, καὶ ἅπιὼ ἧ Ποιητᾶ πρόθεσιν προσεξεἰάσαι, ἅπιὼ ἁ Βικολικὰ ἅσαι κινήσασαν. Ἦτοι γὰρ ἁ Θεοκρίτο μέλη θαυμάσας, καὶ τῇ ἐκείνων ἡδύτηῖι καλαθελχθεὶς· ἢ ἅπιὼ ἐπὶ τὸ ἀνθρωπίνο βίο τάξιν τῶν χρόνων, ὡς εἴρηται, παραμείψας· ἢ καὶ ἣν εἶχε δώαμιν περὶ ἁ ἅρισσα ἧς φράσεως

σεως εἴδη, (οὓς τὸ λόγο χαρακτῆρας Ἑλλήνων παῖδες καλοῦσι·) τὸ ἰχνὸν, τὸ ἀδρὸν, τὸ μέσον, ἐνσησάμενος ἐπιδείξασθαι, πρῶτον μὲν τὰ Βουκολικὰ σωτάξαι προέθετο, δεύτερον δὲ τὰ Γεωργικὰ, καὶ τρίτον τὴν Αἰνειάδα.

Ἤρξατο τοίνυν ἀπὸ τῶν Βουκολικῶν, ἵνα καὶ διὰ τοῦ τοιούτου ἔπους, ὡς μᾶλλον ἐλευθεριάζοντος τὸ ἦθος, καὶ τὴν φράσιν εὐτονωτέραν, ῥᾷον δυνηθείη τὴν τοῦ Καίσαρος εὐμένειαν πρὸς ἑαυτὸν ἐφελκύσασθαι, καὶ τὸν ἀγρὸν ὅτως ἐπανακτήσαιτο, ὅπερ ἐξήρητο. Τῇ γὰρ τρίτῃ τῶν Μαρτίων Εἰδῶν Γαΐου Καίσαρος ἀναιρεθέντος, καὶ τοῦ Αὐγούστου εἰσέτι μείρακος, ὑπὸ τοῦ παλαιτέρου στρατιωτικοῦ, καὶ τῆς Συγκλήτου Βουλῆς σωνεπευδοκούσης, ἐπὶ τῆς ἡγεμονίας καταστάθέντος, ἐπειδὴ πόλεμος περὶ τοῦτο Ῥωμαίοις ἐμφύλιος σωεβράγη, οἱ ἀπὸ Κρεμώνης τοῖς ἀπὸ τῆς ἐναντίας μοίρας τῷ Αὐγούστῳ ἀντικαθισαμένοις, σύμφρονές τε καὶ σύμμαχοι ἀνεδείχθησαν. Διόπερ Αὔγουστος καθυπερτερήσας ἐπὶ τῆς μάχης, τοῖς σωαραμένοις αὐτῷ τῇ νίκῃ παλαιτέροις στρατιώταις ἐκέλευσε τοὺς τῶν Κρεμωνίων ἀγροὺς διανεμηθῆναι· τῶν δὲ ἀγρῶν πρὸς τὴν διανέμησιν μὴ ἐξαρκούντων, προσέθηκέ τινας καὶ ἐκ τῶν Μαντυανικῶν. ἐν οἷς καὶ Οὐϊργιλίῳ σωέβαινε τῶν ἰδίων ἐκπεσεῖν, ὡς τοῖς Κρεμωνικοῖς ἀγχιλερμόνων. Οὐϊργίλιος ἓν τῇ τε τοῦ Αὐγούστου εὐνόιᾳ, καὶ τοῖς ἑαυτοῦ ἐπιθαῤῥῶν ἔπεσιν, Ἀτίῳ ἐπετόλμησεν ἀντισταῖναι· (23) ὁ δ' ἅμα, οἷα δὴ στρατιωτικὸς ἀνὴρ, χεῖρα τε προσῆγε τῷ ξίφει, καὶ διώκων φεύγοντα τὸν Ποιητὴν ἐκ ἀνήει, ἄχρις ἓ εἰς τὸν ποταμὸν (24) ὅτος εἰσήλατο· Ἀλλὰ γὰρ ὕστερον, Μαικήνα αὐτῷ, καὶ Πολλίωνος, καὶ αὐτοῦ δὲ Αὐγούστου ἐπαμώντων, τὸν ἀγρὸν ὁ Ποιητὴς ἐπανέληφεν.

Τοιγαροῦν καὶ ὁ τοῦ Βουκολικοῦ ποιήματος Σκοπὸς, πρός τε ξῆλον ἀφορᾷ Θεοκρίτου τοῦ Σικελοῦ καὶ Συρακουσίου, ἀπευθύεται δ' ἅμα καὶ πρὸς ἔπαινον Καίσαρός τε καὶ τῶν λοιπῶν, δι' ὧν ἐπὶ τὰς οἰκείας ἕδρας ἐπανελήλυθεν. Μεμεθώδευται δὲ κατὰ τοὺς Κανόνας τὸ Σύγγραμμα, σωάμα τῷ ἐπωφελεῖ σωανακραθέντος ἐν αὐτῷ καὶ τοῦ τέρποντος.

Ζητεῖσθαι δὲ καὶ τόδ' εἴωθε· τί ὅτι ἐχὶ τῶν δέκα πλείονας Ἐκλογὰς ὁ Ποιητὴς σωεγράψατο; Ἀλλὰ γὰρ ἀπορεῖν περὶ τούτου πεπάυσεται, ὅς ἂν ἐπισήσειεν, ὅτι ὁ καθ' ὃν αἱ τοιαίδε σκιαὶ

***** παρί-

(23) Ἢ ἄλλ: Ἀρίῳ· Ἦν δ' ὅτος Ἑκατονταρχίαν ἄγων ἐπὶ τοῦ πεζικοῦ τεταγμένος.

(24) Ἦν δ' ὅτος ὁ Μίγκιος, περὶ ὃ τι εἴρηται. Λίν: Βιβλ: I. Στίχ. 17. 18. ᾗ ἐν τῇ Σημειώσει.

παρίξαντο χρόνος, ἐπέκεινα τῶν δέκα προαχθῆναι αὐτὰς οὐκ ἐπέτρεπεν· ὁπότε καὶ τὸ Θεοκρίτου πολλῷ περισκεπτότερον ὁ Ποιητὴς ἔτος τὸ τοιόνδε εἶδος μετῆει· ὡς δῆλον ἐξ ὧν ὅμοιος φαίνεται διευλαβουμένῳ, μήπως ἡ ἐπιγραφεῖσα Ἐκλογὴ τῷ Πολλίωνι ἧττον ἀγροικώδης πεφυκυῖα δόξειεν· ἣν ἔτω πως διὰ τοῦτο οἰκονομῶν προδιασκευάζει.

Σικελίδες Μοῦσαι, μελψώμεθα δή τινα μείζω.

Οὐ καὶν δυσὶν ἄλλαις φαίνεται ποιεῖν τὸ αὐτό. Ἐκεῖνο δὲ ἐν τοῖς τοῦ Μάρωνος Βουκολικοῖς παρατηρητέον, τὸ μήτε μηδαμῇ μήτ' οὐ ἅπασι κατὰ χῆμα, (ὅπερ ἐξὶν ἀλληγορικῶς·) ὑπ' αὐτοῦ τι λέγεσθαι. Μόλις γὰρ οὐ τῷ τοῦ Καίσαρος ἐπαίνῳ, καὶ ἐφ' οἷς τῶν ἀγρῶν ἐξερεῖτο, ἐπέτρεψεν ἑαυτῷ τὸ τοιοῦτον, ἅτε δὴ Θεόκριτον ζηλώσας προθέμενος ἐνταῦθα σπουδῇ τῇ πάσῃ, τὸν ἐν ἀφελείᾳ καὶ ἁπλότητι γράφοντα. Καὶ τὰ μὲν πρὸ τοῦ ἔργου ταῦτα.

Ἃ δὲ οὐ αὐτῷ τῷ Ποιήματι ἐπιθεωρεῖσθαι φιλεῖ, τάδ' ἐξὶν· ὁ τῶν Ἐκλογῶν Ἀριθμὸς, καὶ ἡ Τάξις, καὶ ἡ Ἔκθεσις. Καὶ ὁ μὲν Ἀριθμὸς ἔκδηλος, ὅτι δέκα εἰσὶν αἱ πᾶσαι, ὧν Βουκολικαὶ κυρίως εἰσὶν ἑπτά. Οὐ γὰρ τοιαύτας τὰς τρεῖς τελευταίας ἡγητέον, τὸν Πολλίωνα δηλαδὴ, καὶ τὸν Σιληνὸν, καὶ τὸν Γάλλον· Ἡ μὲν οὖν πρώτη τῶν Ἐκλογῶν, ἔξι μὲν ὅ, τι μεμψιμοιρίας κοινῆς περιέχει, ἔξι δ' ὅ, τι καὶ ἠθους οὐ τῷ μέρει, περὶ τῆς τοῦ Ἀγροῦ ἀπολήψεως· καὶ λέγεται ΤΙΤΥΡΟΣ. Ἡ δὲ δευτέρα Παιδὸς ἔρον, καὶ λέγεται ΑΛΕΞΙΣ. Ἡ δὲ τρίτη ποιμένων Ἀγῶνα, καὶ λέγεται ΠΑΛΑΙΜΩΝ. Ἡ δὲ τετάρτη Γενεθλιακὸν, καὶ λέγεται ΠΟΛΛΙΩΝ. Ἡ δὲ πέμπτη Ἐπιτάφιον, ἢ λέγεται ΔΑΦΝΙΣ Ἡ δὲ ἕκτη Μεταμόρφωσιν, καὶ λέγεται ΟΥΑΡΙΟΣ, καὶ ΣΕΙΛΗΝΟΣ. Ἡ δὲ ἑβδόμη ἑτεροφυεῖς ἔρωτας, καὶ λέγεται ΚΟΡΥΔΩΝ. Ἡ δὲ ὀγδόη ἐπιλέγεται ΦΑΡΜΑΚΕΥΤΡΙΑ, ἢ ΔΑΜΩΝ. Ἡ δὲ ἐννάτη τοῦ Ποιητοῦ περιέχει ὑπὲρ τοῦ ἀγροῦ Μεμψιμοιρίαν, καὶ λέγεται ΜΟΙΡΙΣ. Ἡ δὲ δεκάτη τὸν Γάλλου πόθον, καὶ λέγεται ΓΑΛΛΟΣ.

Ὅσα δ' ἐπὶ μὲν τῇ Τάξει ἀνήκει, ἰσέον ὅτι μὲν τῇ πρώτῃ μόνῃ καὶ τῇ ἑκάτῃ τῶν Ἐκλογῶν ὁ Ποιητὴς τάξιν ἀποδοῦναι ἐφρόντισε. Τούτων γὰρ ἐπὶ μὲν τῆς ἑτέρας πιὼ ἀρχιὼ ἔταξεν, ὡς οὐ τοῖς Γεωργικοῖς, ἔνθα ἔφη·

Τίτυρε, καὶ σὲ δ' ἄμα σκιερῇ φηγῷ ὑπάειρα.

Ἐν θατέρᾳ δὲ παρέδειξε πιὼ τελευτιῶ.

Ἕξατον, ὦ Ἀρέθουσ' ἐμοὶ ἔργον πιοῦτ' ἐπιτρέψαις.

Ἀλλ' ἐν πιοῖς Ἐκλογαῖς ἔμπης μηδεμίαν ὡρισμένιω ἐνδιασώζεσθαι τάξιν, αὐτόθεν ἐξὶ κατάδηλον. Εἰσὶ δὲ καὶ οἱ ὑπειληφότες πιὼ

τοῦ

τῦ Βυκολικῦ Ποιήματος καταρχὼ μηδαμῶς ἐκείνω εἶναι λὼ; ΤΙΤΥΡΕ κτ:, ἀλλὰ τάυτιω:

Πρώτη δὴ σὺ ἔπει Συρακυσίῳ ἤρξατο παῦξαι:

Λοιπὸν ἤδη εἰπεῖν περὶ τῆς Ἐκθέσεως· περὶ ἧς ἐκεῖνο φαίημεν ἄν προλαβόντες, ὅτι τὸ Βυκολικὸν ἔπος ἰχνὸν εἶναι θέλει, καὶ τοσῦτον τῦ Ἡρωϊκῦ χαρακτῆρος ἀπέχειν, ὅσῳ καὶ τὰ σὺ αὐτῷ ἔπη, ἴδι ἄτλα κόμματα φιλεῖ οἰκειῦθαι, καὶ σὺ ὅροις τισὶ προσήκουσιν ἐμπεριγράφεθαι. Τοῦ γὰρ ἔπους σὺ τρισὶ κατορθυμένυ λύτοις, κόμματι, καὶ μέτρῳ, καὶ ῥυθμῷ, Βυκολικὸν ὐκ ἔσαι, εἰ μὴ ἕ ὁ μὲν πρῶτος λῶν ποδῶν εἰς μέρος λόγυ ἐσὶν ἀπολήγων· ὁ δὲ τρίτος τροχαῖος σὺ κόμματι· ὁ δὲ τέταρτος μᾶλλον δάκτυλος ἢ σπονδεῖος, λόγυ μέρος καὶ ἕτος περαίνων· καὶ ὁ πέμπτος δὲ, καὶ ὁ ἕκτος ἐξ ὁλοχερῶν ἐκπεραννύμενος λέξεων· ὅπερ, ὑπὸ Θεοκρίτυ παρατηρηθὲν, τὰ πλεῖσα ὑπερεῖδεν ὁ Μάρων διὰ δυχέρειαν. Μόνον γὰρ ἀρχόμενος ταῖς τοιαῖς δε προσέχε διατμήσεσι, καὶ τῦτο ἄδηλον εἶπερ ἐπίτηδες, ἢ ἐκ τύχης. Καὶ γάρτοι, τὸ μὲν Tityre (Τίτυρε), εἰς μέρος λόγυ ἀποτελευτᾷ· τὸ δὲ, tu patu-læ recu - (Σὺ ἀνα - πεπταμέ -) σὺ δακτύλῳ λὸν λρίτον, καί τοι σὺ διατομῇ λέξεως, σωέκλεισε. Καὶ τόν λε λέταρλον, Bans - Sub (νῃ ὑπὸ) σπονδεῖον ἀντὶ δακλύλυ ἔθελο· προθεὶς δὲ: tegmine fagi· (τέγματι φηγῦ) ἐν ὁλοκλήροις τῦ λόγυ μέρεσι, τὸ ὅλον κόμμα ἐπλήρωσεν. Ὅπερ ἴν σὺ ἅπασι τοῖς Θεοκρίτυ ἔπεσιν ἐπιμελῶς παρατετηρῆθαι εἰκότως ἄν τις θαυμάσειεν.

Ἐκ γοῦ λῶν εἰρημένων, τῷ μελὰ ἐπιμελείας ἀκριβῶς ἐπισήσαντι ῥᾴδιον σωιδεῖν· καὶ ἐπὶ τῶν Γεωργικῶν καὶ τῆς Αἰνειάδος, ὡσαύτως, ὁποῖος ἄρα ὁ σκοπὸς ἐσὶ καὶ ἡ πρόθεσις.

Τὰ δέ τοι γένη τῆς τῦ Ποιήματος ἀγωγῆς λρία. Ἤλοι γὰρ Μιμητικὸν ἐσὶ τὸ Ποίημα, ὅ τοῖς Ἕλλησι καλεῖται Δραματικὸν· ἐν ᾧ ἔσὶν ἄτλα προσδιαλεγόμενα εἰσάγελαι πρόσωπα, ἄνευ τῆς παρὰ λῦ Ποιητῦ μεταξυλογίας, οἷαι αἱ Τραγῳδίαι, ἢ αἱ Κωμῳδίαι· τὸ γὰρ δρᾷν, πράτλειν ἐσὶ καθ' Ἑλλάδα φωνιὼ. Καὶ λοιόνδε τὸ τῆς Συγγραφῆς γένος ἐσὶ λῆς πρώτης τῶν Ἐκλογῶν: ΤΙΤΥΡΕ· καὶ τὸ λῆς ἐννάτης: ΠΑ Σ Ω ΜΟΙΡΙ ΠΟΔΕΣ; Ἡ Διηγηματικὸν, ἐν ᾧ, ἄνευ παρεμπλώσεως ἄλλυ προσώπυ, ὁ Ποιητὴς αὐτὸς ἐσὶν ὁ Φθεγγόμενος, καὶ τοιάδε τὰ τῶν Γεωργικῶν Βιβλία τρία, τὰ πρῶτα· ὁμόιως δὲ καὶ τὰ ἔπη τὰ Λυκρητίυ. Ἡ Κοινὸν, τυλέσι Μικλὸν, ὅτε καὶ ὁ Ποιητὴς μεταξύ τι φθέγγελαι, καὶ λὰ παρεισαγόμενα πρόσωπα, οἷα περ τυγχάνει ἡ λῦ ΜΑΡΩΝΟΣ ΑΙΝΕΙΑΣ.

---

Ἐκ πολλῶν, τῶν καὶ πεζῷ τῷ λόγῳ, καὶ ἐμμέτρῳ, τιὼ τὸ Μάρωνος Μῶσαν ἐκτεθειακότων, προκείσθω ὧδε δύο μόνα Ἐπιγράμματα ταῦτα, ὡς παράθεσίν τινα Οὐϊργιλίου πρὸς Ὅμηρον περιέχοντα· τὸ μὲν Λατινιστὶ Ἀλκίμου:

Maeonio vati qui par aut proximus eſſet,
Conſultus Paean riſit, & hæc cecinit:
Si potuit naſci quem tu ſequereris, Homere,
Naſcetur qui te poſſit, Homere ſequi.

Ὅπερ εἰς τόδε φέρει:

Φοῖβον ἐπήρετό τις· μῶν τις τῷ Μαίονι ἶσος;
Τῷ δ' ὅττω Φοῖβος μειδιάσας ἐπέχρα.
Εἰ τῷ κεν παρέποιο Ὅμηρε, ἔχεσκε γενέσθαι,
Ἦ ῥὰ γενήσεθ' ὁμῶς, χ' ὅς σοι ἕπεσθ' ἂν ἔχοι.

Τὸ δὲ Ἑλλιωιστὶ ἐκ τῆς Ἀνθολοσίας τῶν Ἐπιγραμμάτων. Βιβλ. Ε.

Καὶ Φίλος Αὐσονίοισι λιγύθροος ἔπρεπε Κύκνος
Πνείων ἐυεπίης Βιργίλλιος, ὃν ποτὲ Ῥώμης
Θυμβριὰς ἄλλον Ὅμηρον ἀνέτρεφε πάτριος ἠχώ.

# P. VIRGILII MARONIS AENEIDOS

## LIBER I.

# Π. ΟΥΙΡΓΙΛΙΟΥ ΜΑΡΩΝΟΣ ΑΙΝΕΙΑΔΟΣ

## ΒΙΒΛΙΟΝ Α΄.

ΤΗΣ

# ΠΟΥΒΛΙΟΥ ΟΥΙΡΓΙΛΙΟΥ ΜΑΡΩΝΟΣ

# ΑΙΝΕΙΑΔΟΣ

## ΤΟΥ ΠΡΩΤΟΥ ΒΙΒΛΙΟΥ ΥΠΟΘΕΣΙΣ

Αἰνείας ὁ Ἀγχίσε ἐξ Ἀφροδίτης, Τροίης αὐτῷ τῆς Πατρίδος ἁλόσης, πλέων μετὰ τῶ πατρὸς, ϗ Ἀσκανίε τῦ Φῦντος, ϗ συχνῶν ἄλλων, ἐπὶ χώρας ἀναζητήσει, ἔνθα Θεὸς τε δὴ τὰς πατρίδας, ϗ ἔτι ἐκ τῦ Τρωϊκῦ περιῶ ἔτι ὀλέθρε λέψανον, ἐγκαταξήσειεν· ἐπειδὰν μετὰ ἑπταετῆ πλάνιν, ἀπὸ τῆς Σικελικῆς Νήσε ἐς Ἰταλίαν διὰ τῦ Τυῤῥιωικῦ ἐπεραιῶτο πελάγες, κλύδωνι περιτυχὼν σφοδροτάτῳ, Αἰόλε τινὸς καταιγίδα ὑποθήκας Ἥρας κινήσαντος, σὺν ἑπτά ναυσὶν ἐξ ἁπασῶν αἷς ἐξέλετο, μόναις τε καὶ μόγις, ἐπὶ Λιβύης περιεγένετο. Ἀφροδίτη οὖν ὑπὲρ τῦ Τέκους ἀχάλεσα τῷ πατρὶ Διὶ ποτνιᾶται, ϗ τινὰ Ἥραν ἐπαιτιᾶται ὡς ἁπάντων αὐτινὰ τῶν δεινῶν, ὅσα Τρωσὶν ἐπισυμβεβήκει, γενομένινα ἀρχέκακον· Ζεὺς δέ τινὰ θυγατέρα παραμυθέμενος, τὰ τῶν Μοιρῶν αὐτῇ προαναφαίνει, ἅπερ ἐξῆς Αἰνείᾳ τε ϗ τοῖς Ἐπιγόνοις παναίσια πέπρωτο. Εἶτα Ζεὺς μὲν αὐτὸς, διὰ Ἑρμῦ τῦ διάκτορος, τινὰ παρὰ Διδοῖ ξενίαν Αἰνείᾳ προευτρεπίζεται. Ἀφροδίτη δὲ τότῳ, τῆς νεὼς ἀποβάντι καθ' ἱσορίαν τῆς χώρας οὗ ἦ καθώρμιτο, καὶ εἰς θήραν ἐλάφων τὸ μεταξὺ ἐξιόντι, ἐν χήματι καὶ αὐτὴ θηρατρείας ἐπισᾶσα, τὰ ἐκεῖ διαπωθανομένῳ, ἅττα τε εἴη, καὶ ὑφ' ὧν ἄρχοιτο, ἀναδιδάσκει· Ἐπιμαντέυεται δ' αὐτῷ καὶ περὶ τῶν λοιπῶν νεῶν, ὡς ἄρα καὶ τότων οἱ περισωθεῖεν αἱ πλεῖσαι· ἐφ' οἷς καὶ πρὸς τινὰ Ἄνασσαν ἀφικέσθαι προτρέπεται. Αἰνείας τοιγαροῦν σὺν Ἀχάτῃ τῷ ὀπάονι, ὑπὸ νεφέλῃ τῇ περιχύσῃ λαθόντες, τινὰ πόλιν εἰσίασιν. Ἔνθα καὶ τινας τῶν ἐκ τῶν ἄλλων νηῶν κατειληφότες ἑταίρων, ἱκέται τῇ Βασιλίδι παρίστανται, ἐπὶ τὸν ἐν τῇ ἀρτίως οἰκοδομεμένῃ πόλει Ναὸν προελθόσῃ, καὶ φιλόφρονος δεξιώσεως

δεξιώσεως. Ἐπὶ δ' Αἰνείας κὴ τὸν ἰὸν Ἀσκάνιον παρεῖναι ποθῶν, τὰς ἐκ τῶν νεῶν ἀπέστειλεν ἄξοντας· δείσασα περὶ τῷ παιδὶ Ἀφροδίτη, μήτιγε δὶ ἐπιβουλῆς Ἥρας σκιὰν αὐτῷ ἐπιτυρευθείη, ἔντινι τῶν ἐν Κύπρῳ ἄλσει κατευνάσασα κοιμίζει· ἀντ' αὐτοῦ δὲ γόνον ἀνθυποβάλλει τὸν αὐτῆ ἴδιον, ἤτοι τὸν Ἔρον, εἰς τὸ ἀκριβὲς τῷ Ἀσκανίῳ παραμορφώσασα· ἐναλίγκιον φαίνεσθαι, ὡς ἂν ὑπὸ τούτου δεινῷ τινι κὴ ἀμάχῳ τῷ πρὸς Αἰνείαν πόθῳ Διδὼ τρωθεῖσα, μηδὲν αὐτῷ, κὴ τοῖς ἀμφ' αὐτὸν Τρωσὶ δυχερὲς, κατ' ἐπιβουλὴν ἄνθις Ἥρας, ἐναπεργάσηται.

## ΕΠΙΓΡΑΦΗ.

Τῆς Α'. Μάρ. Ῥαψ.

Αἴολος ἐς Λιβύην Αἰνείαο νῆας ἀπέλσεν.



# P. VIRGILII MARONIS
## AENEIDOS
### *LIBER I.*

Ille ego, qui quondam gracili modulatus avena
Carmen; et egressus silvis, vicina coëgi,
Ut, quamvis avido, parerent arva colono;
Gratum opus agricolis: at nunc horrentia Martis
Arma, virumque cano, Trojæ qui primus ab oris
Italiam, fato profugus, Lavinaque venit
Littora: multum ille et terris jactatus, et alto,

Vi

❀ ❀ ❀

Στίχ: 1-4. ΟΣ ΠΟΤΕ ΛΕΠΤΑΛΕΩι κτ: Τῆς Λίνειάδος ὁ Μάρων ἀρχόμενος, τρία τῶν αὐτῷ ποιημάτων τὰ ἐπισημότατα καταλέγει ταῦτα· Α. τὰ Βυκολικὰ, ἃ κατὰ ζῆλον Θεοκρίτου, ἐν Εἰδυλλίοις ἤυλησε δέκα· ἃς Ἐκλογὰς γράφειν εἰώθασιν. Β. Τὰ Γεωργικὰ ἐν Βιβλίοις τέσσαρσι, κατὰ μίμησιν Ἡσιόδου, τῷ τὰ Ἔργα καὶ τὰς Ἡμέρας ποιήσαντος. Γ. Τὴν Λίνειάδα, ἣν ἐπὶ τοῦ παρόντος ῥαψῳδεῖν ἀναβάλλεται Ὁμήρου παρακολουθῶν, καὶ τούτου τὰς ποιήσεις ἀμφοτέρας, (Ἰλιάδα τε καὶ Ὀδύσσειαν,) οἷον εἰς τύπον ἑαυτῷ προσησάμενος. (Ὅρα τὰ ὑπὸ τοῖς Γεωργ. ἡμῖν σημειωθ. Βιβλ: Γ. Στίχ. 17. καὶ 50. Καὶ Βιβλ; Δ. Στίχ. 677.) Τοῖς οὖν ὑποκειμένοις πράγμασι τὴν τοῦ λόγου ἰδέαν ὁ Ποιητὴς συναρμόσας, τῷ μὲν ἀφελεῖ καὶ ἀνειμένῳ ἐν τοῖς Βυκολικοῖς προσεχρήσατο, ὡς ἐπὶ ἀθύρμασιν, ἔτως εἰπεῖν, καλαμίζων· τῷ δὲ σωτονωτέρῳ καὶ τῆς μεσότητος ἐχομένῳ, ἐν τοῖς Γεωργικοῖς, ὡς ἐπὶ σπουδαιοτέροις τοῖς ἔργοις δὲ αὐλεῖ αὐστηρέᾳ Φυσῶν· τῷ δὲ ὄγκον ἔχοντι καὶ ὕψος, ἐπὶ τῆς Λινειάδος· τοῖς φραζομένοις τὴν φράσιν καὶ αὐτὸς σωφρονίζων, καὶ Τυρρηνικῇ τινι τῇ σάλπιγγι ἐξηχῶν ἐπὶ ταῖς Ἡρωικαῖς πράξεσιν.

Στίχ: 5.



# ΠΟΥΒΛΙΟΥ ΟΥΙΡΓΙΛΙΟΥ ΜΑΡΩΝΟΣ

## ΤΗΣ ΑΙΝΕΙΑΔΟΣ

### ΒΙΒΛΙΟΝ: Α'.

Ὅς ποτε λεπταλέῳ καλάμῳ ἔπος ἔπνεον ἄδων,
Ὑλῶν δ' ἐκπροϊὼν τὰς ἄγχι ἄνωγα ἀρούρας,
Ῥᾷξα γεηπονέον θ' ὑποείκειν, καί τ' ἀκορέξῳ·
Ἡδύτι ἀγροτέροισι μέλος· νῦν Ἄρεος ἀνὰ
Τεύχε' ἀείδω, Ἄνδρα τε, ὅς πρῶτος δὴ Τροίης
Ἔξορος Ἰταλίηνδ' ὑπὸ Μοιρῶν ἦλθεν, ἰδ' ἀκτὰς
Λαβινίης, ἀνὰ γῆν τ' ἀνὰ πόντον πολλ' ἐπαληθείς,

Α 2 Δαι-

❋ ❋ ❋

Στίχ: 5. ΤΕΥΧΕ' ΑΕΙΔΩ, ΑΝΔΡΑ ΤΕ). Τὰ ὅπλα καὶ τὸν ἄνδρα ᾄσαι ὁ Ποιητὴς ἐνησάμενος, τὸν μὲν, ἐν τοῖς ἓξ προτέροις τῶν δυωκαίδεκα Βιβλίων τετέσιν, ἃς Αἰνείας ὑπέσῃ πλάνας, καθιστορήσει· τὰ δὲ, ἤτοι οὓς ἐν ὅπλοις αὐτὸς διεπράξατο πολέμους, ἐν τοῖς ἓξ ὑστέροις διεξελεύσεται. ἀντιστρόφως Ὁμήρῳ ἀντιραψῳδήσας. ἐκεῖσε γὰρ ἡ τοῦ ἀνδρὸς πλάνη μετὰ τοὺς πολέμους σωέβη, ὧδε δ' ἀνάπαλιν.

Στίχ: 7. ΛΑΒΙΝΙΟΥΣ . . . Καὶ πάλαι μὲν τὴν χώραν ἔτως ἀπὸ Λαβίνε κεκλῆσθαι φασὶ· καθὰ καὶ Λάυρετον τὴν αὐτὴν, ἢ Λαύρεντον, ἀπὸ τοῦ Δαφνῶνος, ᾧ Λατῖνος περιτυχὼν ὁ ἀδελφὸς μετὰ τὸν Λαβίνε θάνατον τὸ ἄσυ ἐδέσματο· (ὡς Σέρβιος ἱστόρησεν ὁ Οὐϊργ. Σχολιαστής.) ἀλλ' εἰ γὰρ ἀπὸ Λαβινίας τῆς τοῦ Βασιλέως Θυγατρός, ἣν Αἰνείας ὕστερον ἠγάγετο, καὶ τὴν πόλιν ἔκτισε, λαβεῖν δέον τὄνομα, ὡς Ἰόβας ἐν πρώτῳ (παρὰ Στεφ. Βυζαντ.) καὶ ὡς αὐτῷ Οὐϊργιλίῳ, (ἐν τῷ ΙΒ, τῆς Αἰν' Στίχ. 203) εἰρήσεται δῆλον ὡς ὁ Ποιητὴς ἐνταῦθα, κατὰ τὴν λεγομένην Πρόληψιν, Λαβινίας, ἐξωνόμασε τὰς ἀκτὰς, μήπω κατ' ἐκεῖνο ἔτως αὐτὰς καλουμένας· Ἐπιτρέπεται.

Vi ſuperûm, ſævae memorem Junonis ob iram.
Multa quoque et bello paſſus, dum conderet urbem,
Inferretque Deos Latio: genus unde Latinum,
Albanique patres, atque altæ moenia Romæ.
Muſa mihi cauſas memora, quo numine læſo,
Quid ve dolens Regina Deûm tot volvere caſus
Inſignem pietate virum, tot adire labores
Impulerit: tantæ ne animis cœleſtibus iræ?
Urbs antiqua fuit (Tyrii tenuere coloni)
Carthago, Italiam contra, Tiberinaque longè
Oſtia, dives opum, ſtudiisque aſperrima belli:
Quam Juno fertur terris magis omnibus unam
Poſthabitâ coluiſſe Samo: hîc illius arma,
Hîc currus fuit: Hoc regnum Dea gentibus eſſe,

Si

❀ ❀ ❀

πεται δὲ ἡ χρῆσις τῆς τοιᾶσδε Προλήψεως ποιηταῖς, καὶ ἄλλοις συγγραφεῦσιν, ὁσάκις ὡς ἐξ ἑαυτῶν φθέγγονται, ἐχ ὡς ἐκ τῶν περιεῖναι τῷ βίῳ ὑποτιθεμένων ἐπὶ τῶν πραγμάτων αὐτῶν, περὶ ὧν ὁ λόγος· Διὸ καὶ Ὀυελλέϊος ὁ Πατέρκλος (ἐπὶ τῆς Ἰσερ. Ἐπιτομ. Κεφ. Γ.) τὲς Τρωγικὲς ἐυλόγως κακίζει, ὅσοι, ἀπὸ τῦ Θεσπρωτῦ Θετταλῦ ὄνομα νεανίσκε, Θέτταλὲς ἔλαθον ὀνομάζειν τὲς πάλαι Μυρμιδόνας ἀκέοντας, ἢ τοι μὴ ἐξ ἰδίε αὐτῶν προσώπε, ἀλλ' ὡς ἐκ τῶν κατ' ἐκεῖνο περιόντων φθεγγόμενοι. Nihil enim ex perſona Poëtæ, ſed omnia ſub eorum qui illo tempore vixerunt, dixerunt.

Στίχ: 8. . . . . ΔΙΑ' Θ''ΗΡΗΣ ΜΝΗ'ΜΟΝΑ ΜΗ''ΝΙΝ· Ἤρα γὰρ Τρωσὶν ἐμίσησε, διὰ τὸ ἀποψηφισθὲν αὐτῇ καλλιστεῖον ὑπὸ τῦ Τρωὸς Πάριδος. (Ὅρα κατωτ: Στίχ: 20. 31. 32.)

Στίχ: 9. . . . . ΚΤΙ'ΖΕΝ''ΟΤ''ΑΣΤΥ Προχρονισμὸς. Οὐ γὰρ ἐπ' αὐτῆς τῆς τῦ Αἰνείε κτίσεως Αἰνείας τὰ πολλὰ ἔτλη, μετὰ δὲ τὲς πολλὲς ἀγῶνας ἐγκρατὴς γεγονὼς τῆς χώρας, τὸ Λαβίνιον ἔκτιζε. Νοητέον τοίνυν τό (ὅτε κτ:) ἀντὶ τῦ, ὥσε κτίσαι τὸ Ἄσυ. κτ:

Στίχ: 10. ΈΝ Δ' ΕΙ'ΣΗ''ΓΕ ΘΕΟΥ'Σ ΛΑΤΙ'Ω, κτ: Τὲς Ἐφεσίες τε καὶ Πατρίες, ἃς ἐκ Τροίας ἤδη ἁλόντης ἀραμένος εἰσιὼν ἔγκεν εἰς τὸ Λάτιον. Λάτιον δὲ ἡ χώρα ἐκλήθη, παρὰ τὸ ἐν αὐτῇ τὸν Κρόνον λαθεῖν ὑπὸ τῦ Διὸς ἐλαυνόμενον. Ἢ ὅτι πάλαι τὸ ἐκεῖ ἔθνος ἐν σπηλαίοις καὶ ὑπογείοις κευθμῶσι, κατὰ τὲς Ἐρεμβὲς καὶ Τρωγλοδύτας, δέει τῶν ἐπὶ τῆς χώρας θηρίων, ἀγρίας ἔτι ἔσης, ἐκρύπτετο. Ἐντεῦθεν γὰρ, φασὶ, Λατῖνοι ἤκεσαν, οἱ τὸ πρὶν (Ἀβοριγῖνες) „Aborigenes, ἤτοι Αὐτόχθονες. Μέχρις ἓν τῦ Τρωϊκῦ πολέμε, τὶν ἀρχαίαν „τῶν Ἀβοριγίνων ὀνομασίαν διέσωζον· Λατίνε δὲ βασιλεύσαντος, ἕτω προσηγο„ρεύθησαν. (Στέφ. Βυζ. ἐξ Ἰόβα, καὶ Χάρακος) Ὅρα καὶ Διον. Ἁλικαρν. ἐν Α'. Ῥωμ. Ἀρχαιολ.)

Στίχ: 11. ΑΛΒΑ'ΝΙΟΙ ΤΕ ΠΑ'ΤΡΕΣ. . . . . οἱ ἕτω κληθέντες ἀπὸ Ἄλβας πόλεως, ἣν ὁ τῦ Αἰνείε Ἀσκάνιος ἵδρυσεν. ἢ, (ὡς Στέφ. ὁ Βυζ.) ἀορίσως· ἦν ἔκτισαν οἱ „ἀπὸ Λαβινίε Λατῖνοι, Τρῶες ὄντες. ἔσι δὲ ἡ Ἄλβα καθ' ἑλκάδα Φωνίῳ λευκὴ. „Καθάπερ ἓν ἀπὸ Ἄλβας Ἀλβάνοι, οὕτως ὕσερον Ῥωμαῖοι ἀπὸ τῆς Ῥώμης, οἱ αὐτοί. Καὶ ἄριστα ὁ Ποιητὴς ὧδε τὲς χρόνες διέσειλε, τῷ Λατίῳ πρῶτον μιηθεὶς, εἶτα τῆς Ἄλβας, τελευταῖον δὲ τῆς Ῥώμης, συμφώνως τοῖς πράγμασιν.

Στίχ: 12.

Δαιμονίῃ τε βίῃ, διὰ θ' Ἥρης μνήμονα μῆνιν
Νηλεέος· πολέμῳ πολλὰ τλὰς κτίσεν ὅτ' ἄστυ,
Ἐν δ' εἰσῆγε Θεὰς Λατίῳ, γένος ἔνθα Λατίνων;
Ἀλβάνιοί τε πάτρες, καὶ γ' αἰπῆς Τάχεα Ῥώμης.
Μῶσα, ἔφ' οἷς μοι μνῆσον· ὅτε δ' ἄρα Δαίμονος ἄτῃ,
Τίπτε δ' ἐπαχθομένη κρείσσα Θεῶν, τόσ' ἐλίτταιν
Δεινὰ τὸν εὐσεβίῃ περίσημον, τόσσα τ' ἀνατλᾷν
Θήκατο; ἦ τόσος ἔσι χόλος φρεσὶν οὐρανίοισιν;
Ἦν πόλις ἀρχαίη Καρχηδών· (Τύριοι ἔχον.)
Αντίω Ἰταλίης, στομάτων ἔκαθεν Τιβερίνων·
Ἀφνειὸς μάλα, ἠδ' ἐπὶ δηΐα ἔκδοτος ἔργα·
Τὴν δ' Ἥρη φέρται πασῶν προτέρην γαιάων,
Καὶ γ' αὐτῆς τε Σάμοιο ἄγειν· Ἔνθ' εἶο ῥα τεύχη,
Ἔνθα τ' ὄχημα ἔην· τὴν δ' ἔθνεσιν ἐμβασιλεύσειν,

Εἰ

❁ ❁ ❁

Στίχ: 12 . . . . . Ο ΤΟΥ ΔΑΙΜΟΝΟΣ ΑΤΗ, Ὡς ἀγνοῶν πωθάνεται, περὶ ὧν
13 ΤΙΠΤΕ Δ' ΕΠΑΧΘΟΜΕΝΗ κτ: αὐτὸς ἐχομένως διεξέρχεται. Οὕτω καὶ Ὅμηρος ἐχημάτισεν. ἀπορήσας γὰρ πρῶτον ἐν καταρχῇ τῆς Ἰλιάδος Α' Στίχ. 8. „(Τίς τ' ἄρ σφῶε Θεῶν ἔριδι ξυνέηκε μάχεσθαι; ) εἶτα ἐξ ὑπογύου ἀπήντησεν, ἅμα καὶ τὴν αἰτίαν ὑποσυνάψας. „(Λητῦς καὶ Διὸς υἱὸς· Ὁ γὰρ κτ:) τῆς Μούσης οἷον αὐτῷ πρὸς τὸ ἐς ὑπενηχησάσης· Ἃ γὰρ οἱ ποιηταὶ καθ' ἑαυτὰς ἀγνοοῦσι, πρὸς τῶν Μουσῶν ταῦτα διδάσκονται. Μοῦσαν δ' ἐνταῦθα ἐπικαλεῖται ὁ Μάρων, ἣν καὶ Ὅμηρος ὑπὸ τῷ ὀνόματι τῆς Θεᾶς ἁπλῶς, τὴν Καλλιόπην, τὴν ἐκ τῶν ἐννέα ἐπὶ τῆς Ἡρωϊκῆς ποιήσεως τεταγμένην.

Στίχ: 14 . . . . ΤΟΝ ΕΥΣΕΒΙΗ, ΠΕΡΙΣΗΜΟΝ . . . . Αὐτόθεν ἡ Αἰνείᾳ εὐσέβεια πρόδηλος, ἥτε περὶ τὰς Θεὰς, οὓς διασῶσαι ἐπιμελὲς ἔθετο, καὶ ἡ περὶ τὸν γενέτην, ὃν ὑπὸ γήρως κεκμηκότα ἐπωμάδιον ἄρας, τῆς πατρίδος πορθουμένης, ἐξείλετο. Καθόλου δ' εἰπεῖν, ἡ τε ἀνδρὸς ἀρετὴ λαμπρῶς ἐν ἅπασι διαδείκνυται. Καὶ ἔσι καταγέλαστος ἐπιεικῶς ὁ τῶν ἐν Νεωτέροις βωμολοχήσαντος σαρκασμὸς, ὅτι Μοναχῷ ἀντικρυς ἡμῖν ὁ Μάρων τὸν αὐτῷ Ἥρωα ἐναπέφηνεν· ὡς εἴπερ ἄρα ἕτερόν τι τῷ Ἡρωϊκῷ ποίησιν ἐχρῆν εἶναι, ἢ ἀρετῆς ἀνακήρυξιν.

Στίχ: 15. . . . . Ἦ ΤΟΣΟΣ ἘΣΤΙ ΧΟΛΟΣ κτ: Ὡς προσφυὲς ὧδε τὸ, ἐν ἐρωτήσεως τρόπῳ, θαυμασικὸν ἐπιφώνημα.

Στίχ: 16. ΗΝ ΠΟΛΙΣ ΑΡΧΑΙΗ . . . . . Ἦπε δὲ ἐπὶ Ουἰργιλίᾳ ἡ Καρχηδὼν πόλις εἶχε ῥηθῆναι ἀρχαιοτάτη. Ουἰργίλιος γὰρ ἐραψῴδει ἐπὶ Αυγέστε, τῷ ἀπὸ μὲν καταβολῆς Ῥώμης Ετ: 720. ἀπὸ δὲ τῆς τῷ παντὸς 3920, τῶν πραγμάτων κρατήσαντος· τὴν δὲ Καρχηδόνα ὑπὸ Τυρίων ἀποικισθῆναι ὀλίγοις ἔτεσι πρὸ τῆς Ῥώμης ἱσορηται. ὅθεν σαφὴς καὶ ὁ παραχρονισμὸς, ἐφ' οὗ πᾶσα ἡ τῆς Αἰνειάδος πλοκὴ ἐφέδρασαι.

Στίχ: 19. ΤΗΝ Δ' ΗΡΗ ΦΕΡΤΑΙ ΠΑΣΩΝ ΠΡΟΤΕΡΗΝ ΓΑΙΑΩΝ, Ὁ Ιταλις!
2. ΚΑΙ Γ' ΑΥΤΗΣ ΤΕ ΣΑΜΟΙΟ ΑΓΕΙΝ . . . . . τὸν Μάρωνα ἑρμηνεύσας Ἀννίβας ὁ Κάρος πρὶς τῇ Σάμῳ καὶ τὸ Ἄργος προσέθετο:

. . . . . A Giunon cara
Si, che le fur men care, ed Argo, e Samo.

πότερον δὴ; ἵν' εὐρυθμότερον ἡμῖν ἀποδῷ τὸ ἔπος; ἢ ἵνα σύμφωνον, ἐν μέρει γᾶν, τὸν Μάρωνα δείξῃ Ὁμήρῳ, (Ἰλ: Δ. Στίχ. 51. 52.) τῷ οὕτω τὴν Ἥραν ἀποτεινομένῃ ποιοῦντι πρὸς τὸν ἐμαίμονα καὶ ὁμόλεκτρον;

„Τρεῖς μέν ἐμοὶ πολὺ φίλτατοι εἰσὶ πόληες·
„Ἄργος τε, Σπάρτητε, καὶ εὐρυάγυια Μυκήνη.

Τῷ ὄντι δὲ, οὕτις ὧδε Σάμῃ παρ' Ὁμήρῳ γίνεται μνεία. ἀλλά καὶ ἔτως ἔμπης, πολλῇ τῇ Ἥρᾳ καὶ τὴν Σάμον τιμᾶσθαι εἰκὸς γε ἦν, ὅτι καὶ γεννηθῆναι ἄδεται ἐπ' αὐτῆς, καὶ Ναὸς ἐκεῖ ἵδρυτο περιώνυμος τῇ Θεῷ· οὗ καὶ ἐφ'

 ἡμῶν

Si quà fata ſinant, jàm tum tenditque, fovet que.
Progeniem ſed enim Trojano à ſangvine duci
Audierat, Tyrias olim quæ verteret arces.
Hinc populum latè regem, belloque ſuperbum
Venturum excidio Libyæ: ſic volvere Parcas:
Id metuens, veteris que memor Saturnia belli,
Prima quod ad Trojam pro charis geſſerat Argis;
Nec dum etiam cauſæ irarum, ſævique dolores
Exciderant animo: manet altâ mente repoſtum
Judicium Paridis,, ſpretæque injuria formæ,
Et genus inviſum, et rapti Ganymedis honores.
His accenſa ſuper, jactatos æquora toto
Troas, reliquias Danaum, atque immitis Achillei
Arcebat longè Latio, multosque per annos
Errabant acti fatis maria omnia circùm.
Tantae molis erat Romanam condere gentem!
Vix è conſpectu Siculæ telluris in altum
Vela dabant laeti, et ſpumas ſalis ære ruebant,
Cùm Juno æternum ſervans ſub pectore vulnus,

Hæc

❁ ❁ ❁

ἡμῶν εἰσέτι ἐρείπια τινα διασώζεται. Ἡδέτοι Νῆσος, μία τῶν ἐν τῷ Ἰκαριῳ πελάγει ἐστὶν ἐπιφανὴς, ἐν ὄροις Ἰωνίας, Ἐφέσῳ ἀντικρὺ, καὶ τῇ Μυκάλης ἀκρωτηρίῳ πορθμῷ διεργομένη ἐ πάνυ εὐρεῖ. σαδίων δὲ εἶναι λέγεται ὡσεὶ ἑπτακοσίων καὶ εἴκοσι τὸν περίμετρον.

Στίχ. 23. ΑΛΛΑ ΤΙΝ ΕΚΠΥΘΕΤΟ κτ: Τὸν Σκιπίωνα ἐν τούτοις ὁ Ποιητὴς ἡμῶν ὑποσημήναθαι ἔοικεν. ἢ ἓν τὸ Ῥωμαῖον ἔθνος ἁπλῶς, τὸ ὑπὸ Σκιπίωνι στρατηγοῦντι, ἓν Καρχηδόνα διαπέρσαντι. ὃ, περὶ τὸ 200. πρὸ τῆς Σωτηρίᾳ οἰκονομίας συμβῆναι ἱστόρηται.

Στίχ. 25. . . . . ΕΥΡΥΜΕΔΟΝΤΑ ΛΕΩΝ κτ: Εὐρυκρεόντα καθ' Ὅμηρον εἰπεῖν· (πολλαχοῦ.) παρ' ὅσον, ὁ μὲν: (Ἰλ: Β. Στίχ: 205) τῷ ἑνὶ: . .

„. . . . Ὧι ἔδωκε Κρόνου παῖς ἀγκυλομήτεω
„Σκῆπτρον ἠδὲ Θέμιστας, ἵν' ἄλλοις ἐμβασιλεύῃ·

Ὁδὲ Μάρων τῷ λεῷ τὸ ὑπερέχον ἐκοίνωσε τοῦ ὀνόματος, χαριζόμενος, οἶμαι, τῇ Ῥωμαίων Συγκλήτῳ, καὶ τῷ δήμῳ, παρ' οἷς ἀρτιφανὴς ἔτι τῆς Μοναρχίας καθισαμένης, ἔπω τέλεον ἐκλελοίπει ἐλευθερίας ἐπιθυμία, δι' ἣν καὶ Βασιλεὺς ὁ Λαὸς, Le Peuple Roi, πάλαι τε καὶ καθ' ἡμᾶς παρ' ἐνίοις προσεφέρηται.

Στίχ: 26. ΕΣΣΕΣΘ' ΑΜΦ' ΟΛΕΘΡΩι ΛΙΒΥΗΣ. Πλατυκώτερον ἀντὶ τοῦ Καρχηδονικῆ κράτες, (Λιβύης) εἶπεν, ἧς ἐκεῖνο μέρος ἦν πολλοστόν· Λιβύα δὲ τῆς Ἀφρικῆς τὰ τετραμμένα πρὸς Ἄρκτον. οὐ παρὰ τὸ ἐκεῖθεν τὸν (Λίβα) ἄνεμον πνεῖν· εἰκὸς γὰρ μᾶλλον, ἀπὸ τῆς χώρας ἔτω παρωνομάθαι τὸν Ἀφρικὸν ἄνεμον· Ὑυάρων δὲ τὸν Λιβύαν ἐτυμολογῶν, (Λιπυίαν) ἔλεγεν, (οἱονεὶ Λειψυδρεῖσαν) διὰ τὸ αὐχμώδες καὶ ἄνυδρον. Ἄλλος γέτις αντιφρασικῶς παίζων, ἐκ τοῦ Λίβω ἂν ἐτυμολογήσειεν, ὅπερ ἐστὶ Στάζω· ἐξ οὗ καὶ (Λιβὰς) ἡ σαγὼν, καὶ ἡ κρωὴ ἓν (Λιβάδιον), ὁ τόπος ὁ ἔνυδρος, καὶ τὸ χωρίον τὸ βοτανῶδες.

Στίχ: 28. ΤΗΝ ΚΑΤΑ ΤΡΟΗΣ ΕΣΧΕ κτ: Ὅπερ αὐτὴ περὶ ἑαυτῆς Ἥρα, Διὶ ποτνιωμένη, δηλοῖ παρ' Ὁμήρῳ. (Ἰλ: Δ. Στίχ, 26-28.)

„Πῶς ἐθέλεις ἄλιον θεῖναι πόνον, ἠδ' ἀτέλεστον
„Ἰδρῶθ', ἓν ἵδρωσα μόγῳ· καμέτῳ δὲ μοι ἵπποι
„Λαὸν ἀγειρέσθῃ, Πριάμῳ κακὰ, τοῖο τε παισὶν.

Στιχ: 30.

Ἐι Μοῖραι δοῖεν, πέρι μέμβλετο, καὶ πέρι θάλπεν·
Ἀλλὰ τιν' ἐκ πύθετο, Τρωὸς γόνον αἵματος ἧξειν,
Ὅς ποτ' ἀνατρέψει Τυρίων πάντ' Ἄρεα ἄρδιν·
Ἔνθεν δ' ἐυρυμέδοντα λεὼν, πολέμοις τ' ἀγέρωχον,
Ἔσσεθ' ἁμφ' ὀλέθρῳ Λιβύης. Τὸ δὲ, μόρσιμον ἔμμεν.
Τὼς Κρονιὰς δεδίει, τῆς πρόσθεν μνῆτο δὲ δήρης.
Τιὼ κατὰ Τροίης ἔχε, χαριζομένη Δαναοῖσιν.
Ὀργαὶ δ' ἔπω λῆγον· ἀπηλεγέας δ' ἄρ' ἀνίας
Οὗτοι θυμὸς ἀπῶσο· φρεσὶν δ' ἐμβυσσοδομεῦτο
Καὶ γε δίκη Πάριδος, καὶ ταχθὲν δεύτερον εἶδος,
Κ'ἀπεχθὲς γένος, ἠδ' ὃς ἀνήρεπται Γανυμήδης.
Τοῖς δ' ὑποπιμπραμένη, Τρῶας παντὸς διὰ πόντε
Βαλλομένους, Δαναῶν, καὶ ἀπιῶσ λεῖμμ' Ἀχιλῆος,
Τῆλ' εἶργεν Λατίου· Τὼς γὰρ μακροῖς ἐτέεσσιν
Ἠλάσκειν εἵμαρτο, πρόπαν κατὰ λαῖτμα θαλάσσης.
Τοσσόν δ' ἔργον ἔλω, Ῥωμήϊον ἔθνος ἐδρᾶσσαι.
Ἀυτίκα Σικελίης φαιδροὶ μάλα ἀντία γαίης
Ἴσια ἦραν, ἁλὸς δὲ δι' ἀφρῶν χαλκὸς ἐρώει,
Εὖ τε πλησσομένη σήθεσφιν ναλεμὲς Ἥρη,



❁ ❁ ❁

Στίχ: 30. . . . . ΦΡΕΣΙ'Ν Δ' ΈΜΒΫΣΣΟΔΟΜΕΫΤΟ
ΚΑΙ' ΓΕ ΔΙ'ΚΗ ΠΑ'ΡΙΔΟΣ, Τὰ μὲν τῆς δίκης, Λεκιανὸς διεσκεύασεν ἐν τῷ Διαλόγῳ. Περὶ δὲ τὰ ἐμβυσσοδομευομένα ἔχθες, μέτιθι Ὅμ: περὶ Ἥρας λέγοντα, καὶ Ποσειδῶνος, καὶ Ἀθηνᾶς, (Ἰλιάδ. Ω Στίχ: 27—30.)
„ . . . . . Ὡς σφὶν πρῶτον ἀπήχθετο Ἴλιος ἱρή,
„Καὶ Πρίαμος, καὶ λαὸς, Ἀλεξάνδρε ἕνεκ' ἄτης,
„Ὅς νείκεσσε Θεὰς, ὅτε οἱ μέσσαυλον ἵκοντο.
Στιχ: 32. Κ' ΑΠΕΧΘΕ'Σ ΓΕ'ΝΟΣ κξ: Διὰ Δάρδανον τὸν ἐξ Ἠλέκτρας τῆς Ἄτλαντος καὶ Διὸς, εἰς ὃν τὸ Τρώων ἀναφέρεται γένος. (Ἀπολλόδ. Βιβλιοθ. Βιβλ. Γ. Κεφ: ΙΒ.)
Στίχ: αὐτ: . . . . . ΗΔ' ΌΣ ΆΝΗ'ΡΕΙΠΤΑΙ ΓΑΝΥΜΗ'ΔΗΣ. Ἦν δὲ Γανυμήδης Τρωὸς παῖς, ὡς Ὅμηρος γενεαλογεῖ (Ἰλ Υ. Στίχ: 231—235.)
Τρωὸς δ' ἂν τρεῖς παῖδες ἀμύμονες ἐξεγένοντο·
„Ἶλος τ', Ἀσσάρακός τε, καὶ ἀντίθεος Γανυμήδης·
„Ὃς δὴ κάλλιστος γένετο θνητῶν ἀνθρώπων·
„Τὸν καὶ ἀνηρείψαντο Θεοὶ Διῒ οἰνοχοεύειν,
„Κάλλεος εἵνεκα οἷο, ἵν' ἀθανάτοισι μετείη.
Ἀπήχθετο τοίνυν τῷ Γανυμήδῃ ζηλοτυπήσασα Ἥρα, ὅτι οἰνοχοεῖν τῷ Διῒ ἐτάχθη ἀντὶ Ἥβης τῆς θυγατρὸς αὐτῆς. Τιὼ δ' ἐκείνῃ ἁρπαγὴν γλαφυρῶς ὁ Μάρων ἐν Ε'. τῆς Λινειάδος ἡμῖν περιγράψει. Ἀλλὰ ζητήσειέ τις περὶ αὐτῆς, πότε ἄρα ἐγένετο; εἰ γὰρ μετὰ τὴν Τροίας ἅλωσιν, πῶς τὴν καὶ τῷ βίῳ περιὼν Γανυμήδης, παῖς ἦν ἔτι τὴν ἡλικίαν, ὁ τῆ Τρωὸς; Τρὼς γὰρ Ἶλον ἔτεκεν, ὡς εἴρηται. Ἶλος δὲ Λαομέδοντα Λαομέδων δὲ Ποδάρκην, τὸν ὕστερον Πρίαμον κληθέντα· (Ἀπολλόδ ἔνθ ἀνωτ:) ἐφ οὗ τὸ Ἴλιον ἑάλω. Εἰ δὲ πρὸ τῆς ἁλώσεως ἁρπαγεὶς Γανυμήδης οἰνοχοεῖν ἐτάχθη ἀντὶ τῆς Ἥβης, πῶς αὐτὴ ἔπειτα Ἥβη τῇ Τρωϊκῇ ἐκτὸς ἐτῶν πολέμῳ ὠνοχόει, ἐπειδὰν οἱ Θεοὶ, παρ' Ζηνὶ καθήμενοι ἠγορόωντο; (Ἰλ: Σ. 1.)
Στίχ: 38. ΑΥΤΙ'ΚΑ ΣΙΚΕΛΙ'ΗΣ κτ: Τὸ βδόμον ἤδη Λινείᾳ, ἀπὸ τῆς ἐκ Τροίης ἀναγωγῆς, τῷ πλῷ διαπεραίνετο ἔτος, ἐξ οὗ ὁ Μάρων τὰ τῆς ῥαψῳδίας κατάρχεται, τὰ πρὸ τούτου ὕστερον ἀποταμεύσας διεξελεύσεσθαι, κατὰ ζῆλον Ὁμήρου, ὃν Ἀριστ. ἐν τοῖς Ποιητ: ἐπαινεῖ „(τῷ μηδὲ τὸν πόλεμον, καίπερ
„ἔχοντα

Hæc ſecum: Mene incepto deſiſtere victam?
Nec poſſe Italiâ Teucrorum avertere regem?
Quippe vetor fatis. Pallas ne exurere claſſem
Argivûm, atque ipſos potuit ſubmergere Ponto,
Unius ob noxam, et furias Ajacis Oïlei?
Ipſa Iovis rapidum jaculata è nubibus ignem,
Diſjecit rates, evertitque æquora ventis:
Illum expirantem tranſfixo pectore flammas
Turbine corripuit, ſcopuloque infixit acuto.
Aſt ego, quae Divûm incedo regina, Jovisque
Et ſoror et conjux, unâ cum gente tot annos
Bella gero; et quisquam numen Junonis adoret
Prætereà, aut ſupplex aris imponat honorem?
Talia flammato ſecum Dea corde volutans,
Nimborum in patriam, loca fæta furentibus Auſtris,
Aeoliam venit; hîc vaſto rex Aeolus antro
Luctantes ventos, tempeſtates que ſonoras
Imperio premit, ac vinclis et carcere frænat.
Illi indignantes, magno cum murmure montis,

Circum

❁ ❁ ❁

„ἔχοντα ἀρχὴν καὶ τέλος, ἐπιχειρῆσαι ποιεῖν ὅλον, μέρος δέ τι ἀπολα-„βόντα, καὶ τοῖς λοιποῖς ἐπεισοδίοις χρησάμενον. Ὁ κἀπὶ τῆς Ὀδυσσείας ὡσαύτως ἐμεθοδεύσατο, ὡς καὶ Εὐσάθ· παρεσημειῶτο ἐν ταῖς Παρεκβο-„λαῖς„ (Οὐδὲ γὰρ ἐνταῦθα τὴν ἀρχὴν τῆς τῦ Ὀδυσσέως πλάνης ἀρχὴν „τῆς ἑαυτῦ ποιήσεως τίθεται . . . . . ἀλλ' ἀπό τῶν ἐγγὺς τῦ τέλους „ἄρχεται). Τῷ γὰρ ὄντι, τῦ Ἰσοριαν ἁπλῶς συγγράφοντος ἐστὶ, τὸ παρα-κολουθεῖν ἐν ταξει τοῖς χρόνοις, ὧν ἀναβάλλεται τὴν διήγησιν· ἀρετὴ δὲ „ποιήσεως, καὶ κατὰ τὸν Ὁμήρε Σχολιαςὴν, τὸ ἀπὸ τῶν μέσων ἄρξασθαι· „προιόντα δὲ, καὶ τὴν ἀρχὴν διηγεῖσθαι κατὰ μέρος.

Στίχ: 46-50 ΟΪΛΙΑΔΕΩ ΑΪΑΝΤΟΣ κτ: Αἴαντα τὸν Οἰλέως, Τροίης ἐκπορθεμένης, ἔνδον τῦ τῆς Παλλάδος Ναῦ, τὴν Πριάμε Κασσάνδραν, ἐκβιασάμενον, ὑπὸ Ἀθηνᾶς κατὰ τὸν νόςον πλέοντα κεραυνωθῆναι, Οὐϊργίλιος ἱςορεῖ. Ὅμηρος δὲ περὶ αὐτῦ προσίθησιν (Ὀδ. Δ. 509.) „ὡς, ὅτε μετὰ νηυσὶν ἐδάμη δολιχη-„ρέτμῃσι, δι' ἕτέραν ἄυδις ἀταθαλίην ἀπώλετο. Καὶ γὰρ:

„Γυρῆσιν μὲν πρῶτα Ποσειδάων ἐπέλασσε,
„Πέτρῃσιν μεγάλῃσι, καὶ ἐξεσάωσε θαλάσσης·
„Καὶ νύκεν ἔκφυγε κῆρα, καὶ ἐχθόμενός περ Ἀθηίῃ,
„Εἰμὴ ὑπερφίαλον ἔπος ἔκβαλε, καὶ μέγ' ἀάσθη·
„Φῆ ῥ' ἀέκητι Θεῶν, φυγέειν μέγα κῦμα θαλάσσης.

Ἀλλὰ γὰρ ἄλλως Τίμαιος ὁ Σικελὸς (Ἱςορ. Βιβλ: Β. παρὰ Σαμβήλ Κλαρκ. ἐν τοῖς εἰς τὰ Ὁμήρ. Σημ.) ἱςορήσας φέρεται „ὅτι μετὰ τὴν Τροίας „ἅλωσιν πολλοὶ τῶν Λοκρῶν περὶ τὰς Γυρὰς ναυαγήσαντες ἀνῃρέθησαν· „οἱ δὲ λοιποὶ σωὶ Αἴαντι μόλις εἰς Λοκρίδα διεσώθησαν. Φθορᾶς δὲ τὴν λοι-„μῆ τὴν χώραν αὐτῶν μετὰ τὸ τρίτον ἔτος ἐχόντων, διὰ τὴν μῖξιν τὴν ἀθέμιτον Αἴαντος τῆ Κασσάνδρα, ἔχρησεν ὁ Θεὸς εἰς ἔτη χίλια τὴν Ἀθηνᾶν „τὴν ἐν Ἰλίῳ ἱλάσκεσθαι, πέμποντας δύο παρθένες ἐπὶ κλήρῳ· Ἡ, (ὡς „Λυκέας Πλακίδος παρὰ τῷ Σχολιας. Σερβίῳ) ἐχὶ δύο, ἀλλὰ μίαν, καὶ ταύτην ἰδίως, ἐξ αὐτῆς οὖσαν τῆς φυλῆς Αἴαντος.

Στίχ: 51-

Ὄν προτὶ θυμὸν ἔφη· ἦσσων ὢν ἤγγμαι ὑφήσω;
Οὐδ' ἄπο Ἰταλίης τρέψω ἡγήτορα Τεύκρων;
Ἦ μάλα δή Μοίρησιν ἐέργομαι· ἀλλ' ἄρα Παλλὰς,
Νῆας ἀχαιῶν ἔχ' ἐνιπρῆσαι, τὰς δὲ τε πόντῳ
Ὦσαθαι βυθίας, δι' ἑνὸς μανίην τε καὶ ἄτην, 45
Οἰλιάδεω Αἴαντος· ἐπεί Ζηὸς γε ἑλοῦσα,
Ἐκ νεφέων ψολόεντα κεραυνὸν, ἀτὰρ προϊεῖσα,
Ναῦς τε κέδασσε, τάραξε δὲ πόντον ἀήτας·
Τὸν δ' ἐκ τρωθέντων στέρνων φλόγας ἐκπνείοντα,
Λαίλαπι ἁρπάξας ὀξεῖ σκοπέλῳ ἐνιπέιρεν. 50
Ἡ δ' ἦτις βασίλεια μετ' ἀθανάτοισι βιβάθω,
Αὐτοκασιγνήτη τε Ζηνὸς ἐοῦσ', ἄλοχός τε,
Μάψ πολεμησείω ἤδη δηρὸν πρὸς ἕν ἔθνος·
Τίς δ' ἄρ' ἔπειτα πρόφρων Θεὸν ὡς αἰδέσσεται Ἥρην;
Ἦ βωμοῖσιν ἐμοῖς ἱκέτης τιμὰς προσανοίσει; 55
Τοῖα κατ' αἰθόμενον κῆρ ἡ Δαίμων σκοφόωσα,
Εἰς νεφέων πάτρην, μανικὰς πνείουσαν ἀήτας
Ἵκετο Αἰολίην· ὄθι εὐρεῖ Αἰολος ἄντρῳ,
Δυσπαλέας τ' ἀνέμους, ἠχεῦντα τε κύματα λάβρον,
60 Κοιρανέων

❁ ❁ ❁

Στιχ: 51 - 55. Ἡ Δ' ΗΤΙΣ ΒΑΣΙΛΕΙΑ κτ: Ἀδελφὰ ταῦτα, οἷς Ἥρα καὶ παρ' Ὁμήρῳ μεμψιμοιρεῖσα τῷ Διῒ ἀποτείνεται· Ἰλ: Σ. 364.
„Πῶς δὴ ἔγωγ', ἢ φημὶ Θεάων ἔμμεν' ἀρίστη,
„Ἀμφότερον, γενεῇ τε, καὶ εὕνεκα Σὴ παράκοιτις
„Κέκλημαι, σὺ δὲ πᾶσι μετ' ἀθανάτοισιν ἀνάσσεις·
„Οὐκ ὄφελεν Τρώεσσι κοτεσσαμένη κακὰ ῥάψαι;

Στίχ: 57. ΕΙΣ ΝΕΦΕΩΝ ΠΑΤΡΗΝ κτ: Nimborum in patriam· Ἐρμηνεύσειε δ' ἄντις, καὶ τὸ μέτρον σωζομένου: (εἰς ὄμβρων πάτριον) Nimbus γὰρ παρὰ Λατίνοις, ἄνεμόν τε σημαίνει, καὶ νέφος, καὶ ὑετὸν· ἃ δὴ πάντα ἐπὶ τῷ ὄμβρῳ δοκεῖ συνέχεσθαι, ὑετῷ τινι ὄντι ῥαγδαίῳ τε καὶ ζαλόεντι. ὅθεν (ὄμβριμος,) ὁ σφοδρός τε καὶ βίαιος, καὶ ῥώμῃ διαφέρων καὶ κρατιότητι· ὃ καὶ ἀφαιρέσει δὲ τοῦ μ, (ὄβριμος.)

Στίχ: 58. ΙΚΕΤΟ ΑΙΟΛΙΗΝ· ΟΘΙ . . . ΑΙΟΛΟΣ . . . Ὅμηρος μὲν, ὡς μίαν ἀναφέρει· (Ὀδυσ. Κ. Στίχ. 1) „(Αἰολίην δ' ἐς νῆσον ἀφικόμεθ'. Νῆσον τινὰ (κατὰ „τὸν Σχολ:) ταύτῃ λέγων ἄλλῃ ἐκτετοπισμένῃ. ἀλλ' ἦν τυχὸν αὐτὴ, ἡ ἐπὶ τῶν πλειόνων πρωτεύσα, καὶ τὸ κοινὸν ὄνομα ἐξιδιοποιεμένη. Οἱ γὰρ πλεῖστοι, ἄθροισμα νήσων τὴν Αἰολίαν εἶπον, ἐγγὺς Σικελίας κειμένων, ἐν τῷ πελάγει τῷ Τυρρηνικῷ. (Στράβ. Γεωγρ. Βιβλ: Β. καὶ ς': Καὶ Πλίν. ἐν Γ- ΚεΦ: Η. Καὶ Μέλας ἐν Β. ΚεΦ: Ζ.) Οὗτω δ' ἐξωνομάσθαι ἐξ Αἰόλου τοῦ Σικελῶν βασιλέυοντος, ὑπὸ Ἱπποτάδου τοῦ Μίμαντος. Τὰ δὲ νησίδια ταῦτα, οἱ μὲν εἰς ἐννέα ἠριθμησαν· οἱ δὲ, (τὰ δύο ἴσως διὰ σμικρότητα παριδόντες·) εἰς ἑπτά· τιὼ τε κατὰ τὸν πορθμὸν Στρογγύλλω, καὶ τὰς ἑξῆς ἑξ, Διδύμῃ, Ἱερᾶν, Ἱκεσίαν, Λιπάραν, Ἐρικώδη, Φοινικώδη. Τὰς αὐτὰς δὲ Νήσους καὶ Ἡφαιστιάδας ἐκάλουν οἱ πάλαι, διὰ τὸ πῦρ ἐξ αὐτῶν, ἐκ τῶν ἐν αὐταῖς Κρατήρων, ἐκπνεῖν· Καὶ Λιπάρεις δὲ Νήσους ἀκούομεν αὐτὰς νυῦ, εἴτε τῇ τῆς μιᾶς ὀνόματος κοινοποιεμένας, εἴτε καὶ παρὰ τὸ, δι' ἃς ἐξερεύγονται φλόγας, τιὼ ἐπ' αὐταῖς γιῶ ἐκλιπαίνεσθαι, ὃ μάλιστα τῇ ἰδίως Λιπάρᾳ συμβαίνει, καὶ τῇ Στρογγύλῃ δὲ, ἧς αἱ φλόγες ἀναδίδοσθαι ἰσόρροπωτεραι καθαρώτεραι. Φασὶ δὲ τὰς ἐν αὐταῖς οἰκοῦντας, ἐκ τοῦ καπνοῦ, τοῦ ἀπὸ τῶν Κρατήρων ἐκθρώσκοντος, προσημαίνεσθαι τὰς ἀνέμους, τὰς μετὰ τρίτην ἡμέραν πνεύσοντας. Ἐντεῦθεν συμβάλλει Πλίνιος (Φυσ. Ἱστορ. Βιβλ:

Circum clauſtra fremunt; celsà ſedet Aeolus arce
Sceptra tenens, mollitque animos, et temperat iras.
Ni faciat, maria, ac terras, coelumque profundum
Quippe ferant rapidi ſecum, verrantque per auras.
Sed pater omnipotens ſpeluncis abdidit atris,
Hoc metuens: molemque et montes inſuper altos
Impoſuit, regemque dedit, qui foedere certo
Et premere, et laxas ſciret dare juſſus habenas.
Ad quem tum Juno ſupplex his vocibus uſa eſt:
Aeole (namque tibi Divûm pater, atque hominum rex
Et mulcere dedit fluctus, et tollere ventos)
Gens inimica mihi Tyrrhenum navigat æquor,
Ilium in Italiam portans, victosque penates.
Incute vim ventis, ſubmerſasque obrue puppes:
Aut age diverſas, et disjice corpora ponto.
Sunt mihi bis ſeptem praeſtanti corpore Nymphae,
Quarum quæ formâ pulcherrima Deiopeam
Connubio jungam ſtabili, propriamque dicabo:
Omnes ut tecum meritis pro talibus annos
Exigat, et pulchrâ faciat te prole parentem.
Aeolus haec contra: Tuus, ô regina, quid optes
Explorare labor, mihi juſſa capeſſere fas eſt.
Tu mihi, quodcunque hoc regni, Tu ſceptra, Jovemque
Concilias, tu das epulis accumbere Divûm,
Nimborumque facis, tempeſtatumque potentem.
Hæc ubi dicta, cavum converſâ cuſpide montem

Impu-

❀ ❀ ❀

Γ'. Κεφ. Θ'.) τὰς Ποιητὰς Αἴολον τοῖς ἀνέμοις ἔφορον ἐπιστῆσαι, καὶ τῷ Αἰολίαν νῆσον τοὺς ἀνέμους ὑποθέσθαι, οἳ μανικοὶ καὶ βίαιοι πνέοντες, τά τε νέφη πανταχόθεν σωαγείρασι, καὶ εἰς ὑετῶν καὶ ὄμβρων ῥαγδαίων συμβάλλουσι γένεσιν.

Στίχ: 60. ΚΟΙΡΑΝΕΩΝ ΣΥΝΕΧΕΙ . . . . . Καὶ γὰρ καὶ καθ' Ὅμηρον, Ὀδυσ. Κ. 21.

„Κεῖνον (τὸν Αἴολον) ταμίην ἀνέμων ποίησε Κρονίων,
„Ἠμὲν παυέμεναι, ἠδ' ὀρνύμεν, ὅν κ' ἐθέλῃσιν.

Στίχ: 67. . . . . ΒΡΙΘΕΙΣ Δ' ΕΠΙ ΘΗΚΑΤ ΟΡΟΓΚΟΥΣ. Ὁ δὲ Μάρων αὐτὸ δὴ τοῦτο: Molemque et montes. Ἐν διὰ δυοῖν.

Στίχ: 78 ΕΙΣΙ ΔΙΣ ΕΠΤΑ' ΜΟΙ . . . . . Παραπλήσια δὲ καὶ Ἥρα παρ' Ὁμήρῳ καθυπισχνεῖτο τῷ Ὕπνῳ, ὡς ἂν ἀπελθὼν αὐτῇ δαμάσῃ τὸν Δία, Ἰλιάδ. Ξ. 267.

„Ἀλλ' ἴθ', ἐγὼ δέ κέτοι Χαρίτων μίαν ὁπλοτεράων
„Δώσω ὀπυιέμεναι, καὶ σὸν κεκλῆσθαι ἄκοιτιν,
„Πασιθέην, ἧς αἰὲν ἐέλδεαι ἤματα πάντα.

Δώροις δὲ καὶ Ἀγαμέμνων τιμᾷ Ἀχιλλέως μῆνιν πειρώμενος ὑποκαλᾶν, πρός γε τοὺς ἄλλους πρεσβάλλετο καὶ τι τοιοῦτον: Ἰλ. Ι. 144.

„Τρεῖς δέμοι εἰσὶ θυγατέρες ἐνὶ μεγάρῳ εὐπήκτῳ,
„Χρυσόθεμις, καὶ Λαοδίκη, καὶ Ἰφιάνασσα,
„Τάων ἥν κ' ἐθέλῃσι, φίλῳ ἀνάεδνον ἀγέσθω.

Στίχ: 83.

Κοιρανέων συνέχει, σειρῇς δ' ἐρητῇς τε χαλέπτει.
Οἱ δὲ μέγ' ὀχθήσαντες περὶ ῥέος ἄντρα βρομεῦσιν.
Αἴολος αἰπεινῆς δ' ἀπὸ πέτρης σκῆπτρα χερείων,
Τῶν ῥὰ μαλάσσει μὲν θυμὸς, ὀργὰς δ' ἀνίησι·
Πόντον ἐπὶ ἄλλως, καὶ γῆν τε, καὶ ἠρανὸν εὐρὺν
Ῥάγδα κεν ὀρνύμενοι φέρον, εἰς αὖρας δὲ κέδασσαν.
Ἀλλὰ πατὴρ πάντων ὀρφνοῖς τὰς αἰσήσι κεῦσε,
Τητὶ προοσσόμενος, βριθὰς δ' ἔπι θῆκατ' ὀρόγκας.
Δῶκε δὲ τοῖσιν ἄνακτα, ὅς ἄρ θεσμοῖς ἀτρεκέσσιν,
Ἠμὲν ἐπίσχειν, ἠδὲ τ' ἀνέμεναι ὠΐα εἰδή.
Τόφρα ῥὰ τὸν δ' ἱκέτις τοῖα προσφθέγξατο Ἥρη·
Αἶολε, (σοὶ γὰρ δῶκε πατὴρ ἀνδρῶν τε Θεῶν τε
Κύματ' ἐπευνάζειν, ἠδ' ὀρνύμεναὶ τε ἀήτας·)
Ἔθνος ἐμοὶ δύσνουν, Τυρρήνων λαὸν ἐπιπλώει,
Ἴλιον Ἰταλίωδε, θεὰς πατρίας τ' ἐπενάξων,
Ἡττηθέντας· ὁ δ' ἀλλ' ἔντεινε βίῃ· σὺν ἐμοῖσι,
Ναῦς τε ὑποβρυχίας καταδύμεν· ἔπειξον πάντῃ,
Ἠὲ κέδασσον, ἀταρ πόντῳ διὰ σώματα ῥίψον.
Εἰσὶ δὶς ἑπτά μοι, ἔξοχ' ἔχουσαι κάλλεϊ Νύμφαι.
Τῶνδε μίαν, τιὼ εἶδος ἀρίζηλον Δηΐοπειαν,
Ἐν σταθεροῖσι γάμοισι τεῷ ἐμεῦ ἐξοσιώσω,
Ἥ χάριτός σοι ἔοι γέρας ἔμβιον ἤματα πάντα,
Καὶ σὲ δὲ ἀγλαέων ἀναδείξαι φώτορα παίδων.
Αἴολος ὣς δ' ἐπάμειπτο· Σὸν ὦ Βασίλεια, ὅ βέλει,
Γνωρίσαι ἔργον, ἐμὸν δ' οἷς περ κέλευαι πεπιθέσθαι.
Τόδε γὰρ, (οἷον ἔνι·) κράτεος, Σύμοι αἴτιος ἐσσι.



❋ ❋ ❋

Στίχ: 83. . . . . ΣΟΝ Ὦ ΒΑΣΙΛΕΙΑ Ὅ ΒΟΥΛΕΙ. Καὶ Ὅμηρ. δὲ, τῇ Ἥρᾳ αἰτησαμένῃ τὸν κεστὸν οἱ χρῆσαι, τιὼ Ἀφροδίτην ἔτως ἐπαμειβομένῳ εἰσάγει. Ἰλ: Ξ. 195,

„Αὖδα ὅ, τι φρονέεις· τελέσαι δὲ με θυμὸς ἄνωγε·
„Εἰ δυνάμαι τελέσαι γε, καὶ εἰ τετελεσμένον ἐστίν.

Καὶ Ἥφαιστος δὲ Θέτιδι, ὅπλα τῷ υἱῷ αὐτῆς κατασκευάσαι δεομένῃ, ἐπινεύσας ὁμοίως ἀπλώτησεν Ἰλ: Σ. 425·

„Αὖδα ὅ, τι φρονέεις κτ·

Ὁμὴν σαῶ Σκαλιγερος τὰ Ὁμήρου ταῦτα κακίζει, ὡς χυδαιολογίας ἀποζοντα. Plebeja fane omnia. (Ποιητ: Βιβλ: Ε. Κεφ. Γ.) Ἀλλά γὰρ, ὡς καὶ τὸ ὑπο Κωντιλιανῆ εἰρημένον, ὧδε παρελθεῖν: Homerum nemo in magnis sublimitate, in parvis proprietate superaverit. (Βιβλ: Γ: Κεφ: Α': ) (Οὐδεὶς ἂν Ὅμηρον, ὅτ' ἐν μεγάλοις ὑψηγορῶντα, ὅτ' ἐν μικροῖς κυριολεκτοῦντα ὑπέρχη. Πῶς τιὼ τὸ μυκτῆρος δριμύτητα τῷ Σκαλιγέρῳ, τὸ θωπευτικὸν ὃ διέκνισε τῆς Αἰόλῳ πρὸς τιὼ Ἥραν ἀπαντήσεως, τῷ Βασίλειαν ἐχ ὅπως αὐτιὼ πρεσειπεῖν ἀρμοσθέντος, ἀλλὰ καὶ προσάτιν ἑαυτῷ, καὶ εὐεργέτιδα, καὶ πρὸς τοῖς ἄλλοις ἀγαθοῖς πᾶσι, καὶ τῷ παρασιτεῖν ἐπὶ τῆς Διὸς τραπέζης αὐτῷ πρόξενον; Ταῦτα γὰρ Ὅμηρος, ἔτε Ἡφαίσῳ πρὸς Θέτιν, ἔτ' Ἀφροδίτῃ πρὸς Ἥραν ἐφαρμόσαι ἠξίωσεν· Ἀλλὰ τιὼ Θέτιν ὁ μὲν, διὰ χρόνε αὐτῷ φοιτήσασαν, (αἰδοίῳ τε φίλῳ τε) προσεῖπεν, ὥς γε εικος. Ἀφροδίτη δὲ τιὼ Ἥραν, Πρέσβαν θεῶν ἐκάλεσε μέγαν, γέρας αὐτῇ τόδε προσῃ-

Impulit in latus: ac venti, velut agmine facto,
Quà data porta ruunt, et terras turbine perflant.
Incubuere mari, totumque à ſedibus imis
Una Euruſque Notuſque ruunt, creberque procellis
Africus, et vaſtos volvunt ad Littora fluctus.
Inſequitur clamorque virûm, ſtridorque rudentum.
Eripiunt ſubitò nubes coelumque diemque
Teucrorum ex oculis: ponto nox incubat atra.
Intonuere poli, et crebris micat ignibus aether,
Praeſentemque viris intentant omnia mortem.
Extemplo Aeneæ ſolvuntur frigore membra,
Ingemit, et duplices tendens ad ſidera palmas,
Talia voce refert: O terque quaterque beati,
Queis ante ora patrum, Trojae ſub moenibus altis,
Contigit oppetere: O Danaûm fortiſſime gentis
Tydeide, mene Iliacis occumbere campis
Non potuiſſe, tuâque animam hanc effundere dextrâ,
Sævus ubi Aeacidæ telo jacet Hector, ubi ingens
Sarpedon, ubi tot Simois correpta ſub undis
Scuta virûm, galeasque et fortia corpora volvit?
Talia jactanti, ſtridens Aquilone procella
Velum adverſa ferit, fluctus que ad ſidera tollit.

Frangun-

❀ ❀ ❀

προσῆκον ἀποδιδῶσα, καὶ δίκαιον· ὅτι θυγάτηρ ἰῶ μεγάλοιο Κρόνοιο· καὶ ὅτι Ζηνὸς ἐν ἀγκοίνῃσιν ἰῶ ἰάυσσα.

Στίχ: 88. ὡΣ ΕἿΠΩΝ ΑἿΧΜΗ͂Ν ΣΤΡΈΨΕΝ· κτ: ἢ παρ' Ὁμήρῳ Ποσειδὼν αὐτὸς, ὅτε τὸν κλύδωνα κατὰ Ὀδυσσέως διήγειρεν· Ὀδυσ. Ε. 291.

„Ὡς εἰπὼν, σιώαγεν νεφέλας, ἐτάραξε δὲ πόντον,
„Χερσὶ Τρίαιναν ἑλὼν· πάσας δ' ὀρόθυνεν ἀέλλας,
„Παντοίων ἀνέμων· σιὼ δὲ νεφέεσσι κάλυψε
„Γαῖαν ὁμῦ καὶ Πόντον. ὀρώρει δ' ἐρανόθεν νύξ.
„Σιὼ δ' Εὖρός τε, Νότος τ' ἔπεσε, Ζέφυρός τε δυσαὴς,
„Καὶ Βορέης αἰθρηγενέτης μέγα κῦμα κυλίνδων.

Ὁ μὲν οὖν Αἴολος, τὸν κενεῶνα τῦ ὄρες τῇ αἰχμῇ τύψας, τὲς ἀνέμες ἐξάγει· ὁ δὲ Ποσειδὼν ἀμέσως ἐτάραξε τὸν Πόντον· οἷα τορμύλιν τινὰ, τὸ τῦ Λεκιανῦ φᾶναι, τὶν Τρίαιναν ἐμβαλὼν, καὶ πάσας ἐκ τῦ ἀκολέθε ὠρόθυνε τὰς Θυέλλας, ἑτοίμους ἔχων καὶ τὲς ἀμφὶ τὸν Αἴολον ἀνέμες ἐπεξιόντας, ὡς ὑποδεξομένους. Ἐνθ' αὖθις Σκαλιγερος (Αὐτόθι) τὶν Μάρωνος περιγραφὶν τῆς καθ' Ὅμηρον ἐυρίσκει προτέραν, μηδὲν τῇ ἐμφαινομένῃ ὑπεροχῇ προσέχων τὸ Ἐνοσίχθονος. Ἀλλ' ὅτι γοιῶ πρὸς τὸ Ὁμήρε ἀπιδὼν παράδειγμα τὶν καθ' αὐτὸν εἰκόνα Οὐϊργίλιος ἄριστα διετύπωσεν, ἐδεὶς ἀντερεῖ·

Στίχ: 98. Ἄξων οὐρά́νιος βράχεν κτ: Ἀντὶ τῶν παρὰ τῷ Ποιητῇ πόλων· Intonuere poli: ὑπεθέμην τὸν ἄξονα, οὗπερ ἐκεῖνοι τὰ πέρατα εἰσὶν. Ἀλλ' ἔσαι βελομένοις καὶ ἅτως ἀποδέναι τὸ ἔπος.

„Βρόντεον εἰνὰ πόλοι, θαμὰ δ' αἰθὴρ ἐκπελάγιζεν.

Στίχ: 101. καὶ ῥ' ὰ βαρυστενάχων κτ: Οὕτω καὶ Ἀχιλλεὺς παρ' Ὁμήρῳ, ἐπειδὰν ἐνθορὼν τῷ Σκαμάνδρῳ ἐπὶ τῆς κατὰ Τρώων διώξεως, ὑποβρύχιος γενέθαι εἰς πρᾶπτον ἦλθε τὸν κίνδυνον. Ἰλ: Φ. 272.

„Πηλεί-

Σὺ Ζηνὶ ξωάγεις, μετὰ δαῖτα Θεῶν σὺ δὲ μ' ἴζεις.
Ἠδ' ὄμβρων ποιεῖς, ἰδὲ χειμώνων με διωάζεις.
Ὡς εἰπὼν αἰχμὴν σρέψεν, κενεῶνα δὲ ἔρευς
Τύψε πλευρόθεν· αἶψα φαλαγγηδὸν δὲ ἀῆται,
Χόδονθ' ὅι σφιν ἀνῶκται, ἀεῖσι δὲ γαῖαν ἀέλλαις.
Ἴφι δ' ἐπιβρίθουσι θαλάσσῃ. Τιὼ δ' ἀπὸ βένθους
Παμπήδιω κυκάουσιν ὀρούντες κελαδεινοὶ·
Ξιὼ γ' Εὖρος τε, Νότος τε, ἀελλοφόρος τ' ἐπὶ τοῖς Λίψ,
Κύματα ἠϊόναςδε πελώρια προπροκυλίνδων.
Αἶψ' ἀνδρῶν κραυγή τε, σύριγμά τε ὦρθ' ὑπεράων·
Ἀυτίκα δ' ἄρ νεφέλαι Τεύκροισι πόλον τε,
Εἶλον ἀπ' ὄσσοιν· νύξ δ' ὀρφναίη χεῦτ' ἀνὰ πόντον.
Ἄξων οὐράνιος βράχεν· αἰθὴρ δ' ἐκσελάγιζε.
Πάντα πλοϊζομένοισιν ἄλυκτον ἀπείλεεν οἶτον·
Ῥίγει δ' ἐξαπίνης Αἰνείᾳ λύετο γυῖα,
Καὶ ῥὰ βαρυξενάχων, χεῖρας τ' ἐπὶ τείρε ἀνίχων,
Ὦ μάκαρες, φώνησε, τρὶς αὐτοὶ, τετταράκις τε,
Τοῖς γενετῶν ἄντιω, αἰποῖς ὑπὸ τείχεσι Τροίης
Πέπρωτ' ἐνθανέειν! Ὦ φέρτατε ἐν Δαναοῖσι
Τυδείδη, αὐτὸν μ' ἄρα Ἰλιακοῖς πεδίοισιν
Οὐκ ἐνέιω πεσέμεν; μηδ' ἰφθίμοισι δαμέντα
Χερσὶν ὑπαὶ σῆσιν, τιὼ δε ψυχιὼ ἀποχεῦσαι;

Ἔνθα

❁ ❁ ❁

Πηλείδης δ' ὤμωξεν, ἰδὼν ἐς ἠρανὸν ἐυριὼ . . . . . .
„Ὡς μ' ὄφελ' Ἕκτωρ κτεῖναι, ὅς ἐνθάδε τέτραφ' ἄριςος·
„Τῷ κἀγαθὸν μὲν ἔπεφν', ἀγαθὸς δὲ κεν ἐξενάριζεν.

Στίχ: 102. Ὦ ΜΑΚΑΡΕΣ κτ: Ὁμοίως Ὀδυσσ: Ε. 306
„Τρὶς μάκαρες Δαναοὶ, καὶ τετράκις, οἵ τότ' ὄλεντο,
„Τροίῃ ἐν εὐρείῃ . . . . . .
„Ὡς δὴ ἔγωγ' ὄφελον θανέειν, καὶ πότμον ἐπισπεῖν.

Στίχ: 104. . . . . Ὦ ΦΕΡΤΑΤ' ΕΝ ΔΑΝΑΟΙΣΙ Ἀχιλεὺς μὲν, τὸν ὑφ'
105. ΤΥΔΕΙΔΗ . . . . . οὗ ἂν ἀναιρεθείη, εὔχε-
το Ἕκτορα ἐπαινῶν, ὅς ἐνθάδε, φησὶ, τέτραφ' ἄριςος. (οὔθα: ἀνωτ:)
Αἰνείας δὲ Τυδείδιω ὧδε ὁμοίως, ὑφ' οὗ προέλοιτο ἂν πεσεῖν, φέρτατον ἀποκαλεῖ. Ἦν δὲ Διομήδης Τυδέως τε καὶ Δηϊφίλης θυγατρὸς Ἀδράςε, ἐν Δαναοῖς φέρτατος, εἰ καὶ μὴ τῶν Δαναῶν ἁπάντων, ὡς πολλὰ ὑπὸ τὸ Ἴλιον ἀνδραγαθίσας, καὶ ἐχ ὅπως θνητοῖς, ἀλλὰ καὶ Θεοῖς πολεμεῖν ἐπιτολμήσας τοῖς ἀθανάτοις, οἷον Ἀφροδίτῃ (Ἰλ: Ε. 335.) καὶ Ἄρεϊ αὐτῷ (Ἰλ: Ε. 855.) Οὐ ψυχρὸν δ' ἴσως εἰπεῖν, ὅτι καὶ Τυδείδιω ὧδε πρὸ τῶν ἄλλων ἔθετο Αἰνείας Ἑλλήνων, τὸ ἐκ τῆς ἥττης αἶχος προσριβὲν αὐτῷ ὀπωσοῦν θεραπεύων, ὡς ὑπὸ τοιούτε ἀνδρὸς κινδυνούσας, εἰμὴ Ἀφροδίτη αὐτὸν ἡ μήτηρ ὑπεξέφερεν ἐκ πολέμοιο. (Ὅρα Ἰλ: Ε. 300 - 318.)

Στίχ: 107. . . . . ΤΗΝ ΔΕ' ΨΥΧΗΝ ΑΠΟΧΕΥΣΑΙ; Κατὰ δόξαν (φησὶ Σέρβιος) τῶν ἐν τῷ αἵματι κεῖθαι, ἤτοι αὐτὸ εἶναι τὸ αἷμα, τιὼ ψυχιὼ ὑποτιθεμένων· καίτοι ἐν ἄλλοις πνεῦμα αὐτιὼ ἀποφαίνεται.

Franguntur remi; tùm prora avertit, et undis
Dat latus: inſequitur cumulo praeruptus aquæ mons.
Hi ſummo in fluctu pendent: his unda dehiſcens
Terram inter fluctus aperit: furit æſtus arenis.
Tres Notus abreptas in ſaxa latentia torquet,
(Saxa vocant Itali medijs quæ in fluctibus, Aras)
Dorſum immane, mari ſummo: tres Eurus ab alto
In brevia, et Syrtes urget (miſerabile viſu)
Illiditque vadis, atque aggere cingit arenæ.
Unam quæ Lycios, fidumque vehebat Orontem,
Ipſius ante oculos, ingens à vertice Pontus
In puppim ferit: excutitur, pronusque magiſter
Volvitur in caput, aſt illam ter fluctus ibidem
Torquet agens circùm, et rapidus vorat æquore vortex.
Apparent rari nantes in gurgite vaſto,
Arma virûm, tabulæque, et Troja gaza per undas.
Jam validam Ilionei navem, jam fortis Achatæ,
Et quâ vectus Abas, et quâ grandaevus Alethes,
Vicit

❀ ❀ ❀

Στίχ: 108. ΈΝΘΑ ΄ΡΑ᾽ ΑΙ᾽ΑΚΙ᾽ΔΟΥ ΔΟΡΙ᾽ ΑΙ᾽ΝΟ᾽Σ ΚΑ᾽ΠΠΕΣΕΝ ΕΚΤΩΡ· Τετέχι τῷ Ἀχιλλέως δόρατι, ὃς Αἰακίδης ἀπὸ τῦ πάππε παρωνυμῆτο· Ἐκ γὰρ Αἰακῦ καὶ Ἐνδηίδος τῆς Χειρωνος Πηλεὺς· Ἐκ Πηλέως δὲ καὶ Θέτιδος ὁ Ἀχιλλεύς. Αἰακὸς δ᾽ ἰσόρηται ἀνδρῶν ἁπάντων γενέθαι Θεοσεβέστατος, διὸ καὶ παρὰ Πλάτωνι, τὰς ἄδε κλεῖς φυλάσσειν πεπίσθται. (Ἀπολλόδ. Βιβλ. Γ. Κεφ: ΙΒ·) Ἄγριος δὲ, καὶ θηριώδης ὁ Ἕκτωρ προσέρηται, ὡς χαλεπὸς ὢν ἐν μάχαις, καὶ δυσάντητος· οὕτω γάρτοι καὶ Ἀχιλλεὺς παρὰ Ὁμήρω, ἐπειδὰν τὸν Ἕκτορα ἀποκτενῶν ὥρμητο, μένεος ἐμπλήσατο θυμὸν ἀγρίε, (Ἰλ: Χ· 310.) Οὐδ᾽ ἀγριότητος ἢ θηριωδίας τῦτο, ἀλλ᾽ ἀρετῆς τινὸς ἐυψυχίας, καὶ ἀτέγκτε φρονήματος. Σεσημειώθω δὲ τὸ τρὶς ἐπαναληφθέν, (Ἔνθα.) καθ᾽ ὁμοιότητα τῦ καὶ παρὰ Ὁμήρω χήματος: (Ὀδυσ. Γ. 108.)

„ . . . . . ἔνθα δ᾽ ἔπειτα κατέκταθεν . . . . .
„Ἔνθα μὲν Αἴας κεῖται ἀρήϊος, ἔνθα δ᾽ Ἀχιλλεὺς,
„Ἔνθα δὲ Πάτροκλος, θεόφιν μήτιος ἀτάλαντος.
„Ἔνθα δ᾽ ἐμὸς φίλος υἱὸς, ἄμα πρατερὸς καὶ ἀμύμων.

Στίχ: 109. . . . . ΣΑΡΠΗΔΩ᾽Ν . . . . . ΣΙΜΩ᾽ΕΙΣ, Ὁμὴν Σαρπηδὼν ὑπὸ Πατρόκλε ἀναιρεθεὶς, (Ἰλ: Π. 482.)

„Ἦριπεν, ὡς ὅτε τις δρῦς ἤριπεν, ἢ ἀχερωΐς,
„Ἢέ πίτυς ϐλωθρὴ κτ: . . . . . : . .

Ἦν δ᾽ ἀγὸς Λυκίων ὁ Σαρπηδὼν, υἱὸς Διὸς ἐξ Εὐρώπης τῆς Ἀγλαόρος· ἢ, καθ᾽ Ὅμηρον, ἐκ Διός, καὶ Λαοδαμείας τῆς Βελλεροφόντε, (ὡς Ἀπολλόδωρος φησὶ Βιβλ: Γ. Κεφ: α·) Οὗ δὲ Σιμόεις, καθὰ καὶ ὁ Σκάμανδρος, ὁ καὶ Ξάνθος καλέμενος, ποταμοὶ εἰσὶν οἱ διὰ τῦ πεδίε ῥέοντες τῦ Τρωϊκῦ, εἰς δὲ ῥοὴν ἕνα τέως ἀλλήλοις συμϐάλλοντες. ἐνταῦθα δὲ, τῦ Σιμόεντος ἰδιαίτερον, φασὶν, ὁ Μάρων ἐποίησε τὸν Αἰνείαν μνηθιῶαι, ὅτι παρὰ τότε ταῖς ὄχθαις γεννηθέντα ἐξ Ἀφροδίτης, εἰκὸς ἦν καὶ αὐτόσε ἂν προελέθαι ἐκπνεῦσαι, ἔνθα τὸν ζωτικὸν αἶρα τὸ πρῶτον ἐπάσατο.

Στίχ: 110. } ΄ΑΝΔΡΩ᾽Ν ΔΗ᾽ ΤΟ᾽ΤΕ ΠΟΛΛΑ᾽ ΒΟΑ᾽ΤΡΙΑ ΚΑΙ᾽ ΤΡΥΦΑΛΕΙ᾽ΑΣ
111. } ΄ΡΕΥ᾽ΜΑΣ᾽ ΄ΥΦΑΡΠΑ᾽ΞΑΣ, ΄ΙΦΘΙΜΑ᾽ΤΕ ΣΩ᾽ΜΑΤ᾽ ΕΔΙ᾽ΝΟΥ. Τῶ τοιαύδε τῶν ἀνδρῶν ἅμα καὶ τῶν ὅπλων ὑπὸ τῶν ποταμίων ῥευμάτων συναρπαγῶ ἐχ ἅπαξ Ὅμηρος ὑπετύπωσεν, ὡς ἐν εἰκόνι ϛήσας ὁπτάνεθαι.

ἐχ

Ἔνθα ῥὰ Αἰακίδᾳ δορὶ αἰνός κάππεσεν Ἕκτωρ;
Ἔνθ' ἤρειπε μέγας Σαρπηδὼν; ἔνθα Σιμώεις,
Ἀνδρῶν δὴ τότε πολλὰ βοάγρια καὶ τρυφαλείας
Ῥεύμασ' ὑφαρπάξας, ἴφθιμά τε σώματ' ἐδίνα;
Τοῖ' ἀπερευγομένη ῥοχθῶσα ϑύελλα βορῆϑεν
Ἰσοῖς ἀντιπνεῦσεν, ἀὴ δ' αἰϑέρα κύματα δ' ἦρεν.
Αἶψ' ἐάγη δ' ἐρετμὰ· πρώρη δ' ἀνὰ ἄψ τετραπυῖα,
Πλευρὰν κύμασι δῶκεν· ἐφέσπετο δ' ἶσος ὄρει ῥοῦς
Σωρηδόν· χ' οἱ μὲν ῥὰ μετήορoι ἠώρηντο
Κῦμα ἐπ' ἄκρον· τοῖς δὲ τὸ ὕδωρ ἀμφυποχαῖνον,
Γῆν διὰ ῥηγνυμένων ῥοϑίων νέρϑ' ἐξεκάλυπτε.
Ζεῖε δὲ ἄμμος· ἄφαρ δ' ὑφάλης Νότος ἀμφὶ γε πέτρας,
Τρεῖς συφέλιξε νέας· (Πέτρας δ' ἄρα Ἰταλιῶται
Βωμὸς κικλήσκουσι μέσας ἐνὶ κύμασ' ἐόντας,
Νῶτα τάδ' αἰνοπέλωρα, ἁλὸς προϊόντα ἀπ' ἄκρης.)
Τρεῖς δ' αὖ ποντόϑεν Εὖρος ἀνὰ Βραχέα ξυνέωσεν,
Ἀμφὶ τε Σύρτεις (οἰκτρὸν ἰδέσϑαι.) καὶ τεναγώδη
Ἀμφεπέδησε, ξῶσε δὲ σωροῖσι ψαμάϑοιο.



❁ ❁ ❁

ἐχ ὅπως δὲ, ἀλλὰ καὶ ὡσὶν ἐξακέεϑαι. Οἷοι ἐν τῇ ὑπὸ Ἀχιλλέως διώξει, Ἰλ. Φ. 8.

„Ἐς ποταμὸν εἰλεῦντο βαϑύῤῥοον ἀργυροδίνην· (οἱ Τρῶες·)
„Ἐν δ' ἔπεσον μεγάλῳ πατάγῳ· βράχε δ' αἰπὰ ῥέεϑρα.
„Ὄχϑαι δ' ἀμφὶ περὶ μεγάλ' ἴαχον· οἱ δ' ἀλαλητῷ
Ἔινεον ἔνϑα καὶ ἔνϑα, ἑλισσόμενοι κατὰ δίνας.

Καὶ τῇ τῶν ποταμῶν δ' ἐπικλύσει τῶν ἐξ Ἰδαίων ὀρέων συῤῥυέντων ἅμα, ὥστε τὸ Θεῶν αἰεκητι τυχϑὲν τεῖχος τοῖς Ἀχαιοῖς ἀμαλδῦναι, σὺν τοῖς λοιποῖς εἰσάγεται. (Ἰλ: Μ. 22.)

„Καὶ Σιμόεις, ὅϑι πολλὰ βοάγρια καὶ τρυφάλειαι
„Κάππεσον ἐν κονίῃσι, καὶ ἡμιϑέων γένος ἀνδρῶν.

Καὶνταῦϑα δ' ἡμῖν Σκαλίγερος (Ποιητ: Ε. Κεφ. γ.) τὸ κάππεσεν ἐν κονίῃσιν ἐπισκώπτει: Quid (λέγων) ad fluvios, si in pulverem illa cecidere: Τί πρὸς τὰς ποταμὰς, εἴπερ ἐκεῖνα κάππεσον ἐν κονίῃσιν; Ὡς εἴπερ ἀδιωάτως εἶχεν ἡ παρὰ τῶν ποταμῶν πλημμυρέντων τῆς κονιορτώδους χώρας ἐπίκλυσις· καϑάπερ ἄρισα πρὸς τὶν Σκαλιγέρα σωμυλίαν ἀπίϑητα Σαμεὴλ ὁ Κλαρκιος. (ἐν ταῖς εἰς τὰ Ὁμήρ. Σημειώσ.)

Στίχ: 115. . . . . ἘΦΈΣΠΕΤΟ Δ' ΊΣΟΣ ΌΡΕΙ ΡΟΥ̃Σ·
116. ΣΩΡΗΔΟΝ . . . . Ἄχρις αἰϑέρος Οὐιργίλιος ἡμῖν ἀνακορϑύσας τὸ κῦμα, κατὰ τῆς ἀναπαύσεως ἐπὶ πλευρὰν πρώρας, εἰς ὄρους ὄγκον αὐτὸ κατεσώρευσε. Τηλικαῦτα δὲ τὰ ἐπὶ τῆς Τρικυμίας: καὶ παρ' Ὁμήρῳ, (Ἰλ: Γ. 390.)

„Κύματά τε τροφόεντα, πελώρια, ἴσα ὄρεσφι·

Ἐπαινεῖ σὺν εἰκότως τόδε τὸ Οὐιργιλίου τὸ ἔπος Σκαλίγερος (Βιβλ: Γ. Κεφ: μη.) ὅτι διὰ τῆ μονοσυλλάβου ὀνόματος, μετὰ βρίϑος τὸ ὕδωρ ἐν αὐτῷ ἐπικαταῤῥεῖ: præruptus aquae mons. Διὸ καὶ αὐτὸς τὶν μονοσυλλαβίαν ἐν τῇ καταλήξει τῶν ἐπῶν διετηρήσαμεν: (Ἶσος ὄρει ῥοῦς.)

Στίχ: 121. ΒΩΜΟΥ̃Σ ΚΙΚΛΉΣΚΟΥΣΙ κτ: Ἐννέα τέτας εἶναι σκοπέλους, Ἀφρικῆς τε μέσον καὶ τῆς Νήσου Σαρδοῦς κειμένους, κατ' ἐκεῖνο δὴ τῆς ϑαλάσσης, ἔνϑα Καρχηδονίους ὑπὸ Ῥωμαίων καταναυμαχηϑῆναι συμβῆ, καὶ ἕτω πέρας ἐπιτεϑῆναι τῷ πρώτῳ Καρχηδονικῷ πολέμῳ, ἀρξαμένῳ μὲν Ἔτ: 488. ἀπὸ καταβολῆς Ῥώμης, κατὰ δὲ τὸ 512. λήξαντι.

Στίχ: 126.

Vicit hyems: laxis laterum compagibus omnes
Accipiunt inimicum imbrem, rimisque fatiſcunt.
Interea magno miſceri murmure Pontum,
Emiſſamque hyemen ſenſit Neptunus, et imis
Stagna refuſa vadis: graviter commotus. et alto
Proſpiciens, ſummâ placidum caput extulit undâ.
Disjectam Æneæ toto videt æquore claſſem,
Fluctibus oppreſſos Troas, coelique ruinâ.
Nec latuere doli fratrem Junonis, et iræ.
Eurum ad ſe, Zephyrumque vocat; dehinc talia fatur:
Tantane vos generis tenuit fiducia veſtri?
Jam cœlum terramque meo ſine numine, venti,
Miſcere, et tantas audetis tollere moles?
Quos ego . . . . ſed motos praeſtat componere fluctus.
Poſt mihi non ſimili pœnâ commiſſa luetis:
Maturate fugam, regique hæc dicite veſtro;
Non illi imperium pelagi, ſævumquo tridentem,
Sed mihi ſorte datum: tenet ille immania Saxa,
Veſtras, Eure, domos: illâ ſe jactet in aulâ
Aeolus, et clauſo ventorum carcere regnet.
Sic ait: et dicto citiùs tumida æquora placat,
Collectasque fugat nubes, Solemque reducit.

Cymothoë

❁ ❁ ❁

Στίχ. 126. . . . . ΛΥΚΙΌΥΣ . , . . . ΠΙΣΤΌΝ ΤΕ ᾽ΟΡΌΝΤΗΝ. Οἱ γάρ ἐκ Λυκίας συνεξράτευσαν ἐπίκυροι τοῖς Τρωσὶ· τέτων δὲ τὲ ἡγεμόνος Παν-δάρε (ἢ ἧ τὲ Σαρπηδόνος κατ᾽ ἄλλες) πεσόντος ἐν τῷ πολέμῳ, οἱ λοι-ποὶ μετὰ τὶῳ Τροίας ἅλωσιν, Αἰνείᾳ συνεξέπλευσαν, ὑπ᾽ ἀρχηγῷ Ὀρόντῃ, ᾧ καὶ τὸ πιςὸν ἐπιμαρτυρεῖ, τὸ τοῖς Τρωσὶ καὶ ἀτυχήσασι συνεξελθεῖν ἑλέσθαι, καὶ συμπαρακολεθῆσαι συνέκδημον. Διὸ δὲ τῳ Γάλλῳ πειτέον τὲ Μάρωνος Ἑρμῆνευτῆ γράψαντι, τὸν Ποιητὴν ἐπίτηδες ἐνταῦθα Λυκίες τε καὶ Ὀρόντιν πεποικέναι ἄρδιν ἀπολωλότας, ὡς ἂν μὴ τοῖς Ῥωμαίων προ-γόνοις οἱ ἐκ Λυκίας καταγόμενοι ὑπολειφθεῖεν ἀνάμικτοι Virgile les fait perir ici, pour ne pas les confondre, avec les ancêtres des Romains. Οὐ γὰρ ἂν ποτε τῆς Ῥωμαίων συγγενείας Οὐιργίλιος ἀναξίες θείη τὲς Πανδάρε τε καὶ Σαρπηδόνος ἑταίρες, οἷς αὐτὸς ἅλλως καὶ τὸ πιςὸν τὲ τρόπε ἡδέως προσεμαρτύρησεν.

Στίχ: 128. . . . . ΚΥΒΕΡΝΗΤΉΡΑ ΣΌΒΗΣΕ· Λέυκασπιν ὄνομα, οὗ μνείαν ὁ Ποιητὴς ἐφεξῆς ἐν τῇ Νεκυίᾳ ποιήσεται. (Βιβλ: τῆς Αἰν. ϛ΄. 372.)

Στίχ: 131. ΠΑΎΡΟΙ ᾽ΑΠΕΙΡΕΣΊΗ, Δ᾽ ᾽ΕΝ ΔΙΝΗι . . . . . Ἐν τέτοις, ἐπὶ τῆς ἐνικῶς ἐκφερομένης δίνης, τὸ τῆς ταπεινώσεως, ἢ ὑφέσεως καλέμενον χῆ-μα συνωρακέναι ἔδοξεν ὁ Σχολιαςὴς Σέρβιος τὸ γεμιὼ (ἀπειρεσίῃ) προ-σεπιτεθὲν εἰς μέγεθος ἀπέραντον ὅσον ἐξῆρε τὶῳ δίνῳ. Ἅλλως τε δὲ, ᾗ ἡ μία δίνη, διανεμητικῶς, ἥπερ οἱ Διαλεκτικοὶ λέγειν εἰώθασιν, ἐκληφθεῖ-σα, τὰς πολλὰς ὑπεμφαίνει ἐκ διαδοχῆς ἐπιέσας· ὥσπερ καὶ τὸ πολύ κῦ-μα, ὃ φιλεῖ λέγεσθαι, τὰ πολλὰ κύματα δηλῶν, καὶ τὶῳ καλεμένῳ τρι-κυμίαν. Πῶς δ᾽ σὺ ὁράωντο φαινόμενοι, κατὰ τὸν Ποιητὴν, (apparent,) παῦ-ροι νέοντες, ὁπότε νὺξ ὀρφναίη χεῦτ᾽ ἀνὰ πόντον, ὡς εἴρηται; (ἀνω: 97) ἢ, ὅτι τῷ Αἰνεία πρὸ ὀφθαλμῶν ἐγγὺς ὑπῆρχον· (Σέρβ.) ἢ ὅτι ὁ αἰθὴρ αἰνόντι σελαγιζων ἐπέσιλβεν. (᾽Ανωτ. 98)

Στίχ: 132. ΚΑΔΔ᾽ ᾽ΥΔΑΤΩΝ ῞ΟΠΛΑ . . . ΠΊΝΑΚΕΣ . . . ΓΆΖΑ . . . . ῞Οπλα καλεῖται ἐ μόνον τὰ ἐν μάχαις συμβαλλόμενα, ἀλλὰ καὶ ὅσ᾽ ἅλλα ἐν χρήσει-

Τῆς δ' ἥτις Λυκίης ἦγεν, πιφὸν τε Ὀρόντιω,
Αὐτῷ δερκομένοιο, κορυχθὲν πάμμεγα κῦμα,
Πρυμνόθεν ἐμβαλὸν, ἐκ δὰ κυβερνητῆρα σόβησε·
Κατ' κὰρ ὅς πρηνὴς πέσε· τὸν δὲ ῥόθιον τρὶς
Στρόμβησεν δινῆσαν, ἀγάρρους δρόχθεε δ' ὅλκος. 130
Παῦροι ἀπειρεσίῃ δ' ἐν δίνῃ ὀρώντο νέοντες.
Καδ δ' ὑδάτων ὅπλα, κὴ πίνακες, κὴ γάζα δὲ Τρώων.
Καὶ δὴ Ἰλιονῆος, ἐὴσης κὴ κρατερῆς περ·
Νηὸς, ἐφ' ἧς τ' ἔπλει ἥρως μεγάθυμος Ἀχάτης,
Ἧς τ' ἐπὶ βαῖνεν Ἄβας, κὰφ' ἧς γηραιὸς Ἀλήθης, 135
Χειμὼν ἦν κρείσσων· πᾶσαν δ' ἁρμῶν ἀνεθέντων,
Ῥωξὶ κεχανδυῖαν, πολὺ ἧρυον ἁλοὸν ὕδωρ.
Τετάκι δὴ βρομέοντα Ποσειδὼν ἦθετο πόντον
Κινεῖσθαι, χειμῶνά τ' ἐπόρνυσθαι ξαλόεντα,
Κύματα πυθμενόθεν δὲ θαλάσσης ἀμφαναχεῖσθαι. 140
Ὀσσετο δ' αἰνὰ φέρων, ὑπὲρ ὕδατα κρᾶτα δ' ἀνέχεν
Ἀμβρόσιον· νῆας τὰς δ' Αἰνείαο νόησε,
Πάσας κιδναμένας πάντῃ κατὰ λαῖτμα θαλάσσης,
Καὶ Τρῶας πόντῳ τε πόλῃ τε βίηφι δαμέντας.
Οὐδ' ἔ κασιγνήτης ὀργὴ λάθον, ἀδὲ δολώσεις· 145
Εὖρον δὲ, Ζέφυρόν τε καλέσσας, ὡς προτιηύδα.
Ἦ ῥὰ γένος σφετέρῳ θράσος ἔπλετο τόσσον ἀῆται;
Ὦσε

❁ ❁ ❁

χρήσειγίνεται ἐπὶ ἔργοις παντοῖα. Οὕτως Ἡφαιστος ἔφασκε πὰρ Ὁμήρῳ Ἰλ: Σ. 409.

„Ὄφρ' ἂν ἐγὼ φύσας ἀποθείομαι, ὅπλατε πάντα. Καὶ, 412. ἐφεξῆς: „Φύσας μὲν ῥ' ἀπάνευθε τίθει πυρὸς, ὅπλατε πάντα,

Καὶ Ὀδ. Ζ. 268.

„Ἔνθα δὲ νηῶν ὅπλα μελαινάων ἀλέγουσι. τὰ δὲ (κατὰ τὸν, Σχολιαστὴν) εἶναι εἴρηται τὰ Σκευία. Πίνακες δὲ, τίποτ' ἂν εἶεν ἄλλο, ἢ αἱ ἐπὶ τῶν ἀνατετραμμένων πλοίων, καὶ τὰ ἐξ αὐτῶν ἀποσκεδασθέντα ὑπὸ τῆς ζάλης ξυλικὰ ἀποσπάσματα; Ἡ δὲ γάζα Περσικὴ, τὸν ἐν ταῖς ναυσὶν ἀποκείμενον Θησαυρὸν σημαίνει, καὶ τὸν ἄλλον πλοῦτον, ὅνπερ εἰκὸς ἦν πρὸς ἀναπλεῖσμὸν καὶ ἀποφορτίσασθαι κινδυνεύοντας.

Στίχ: 141. . . . . ΚΡΑΤΑ Δ' ΑΝΕΣΧΕΝ Caput placitum, ὃ τῷ ἐπὶ λέξεως
142. ΑΜΒΡΟΣΙΟΝ . . . . . , ἑρμηνεύσοντι ἔξαι (κρὰς ἦμερον,) καὶ πραὺ, καὶ γαλιωνῶδες. Πῶς, δ' εἴπερ αἰνὰ φέρων, ὡς λέλεκται, καὶ χαλεπαίνων σαφῶς: graviter commotus: Ἀλλὰ τὸ μὲν, ἀπαντῶντες τῷ ἀπορήματι, φασὶ, τοῖς Τρωσὶ τὸ δὲ τοῖς ἀνέμοις. Ἢ, γαλιωνῶδες μᾶλλον εἴρηται, ὡς γαλιώνης ἦκον ποιητικὸν, καὶ τῆς ἐγερθείσης τρικυμίας καὶ ζάλης κατευναστικὸν, ὡς ἐκ τῶ ἑπομένω ἀποφαίνεσθαι. Ἀλλ' ἀμβρόσιον αὐτοὶ ὀνομάσαντες, τῆς τοιᾶς δὲ ἀντιλογικῆς παραιχῆς ἀπηλλάγμεθα.

Στίχ: 146 ΕΥΡΟΝ ΔΕ, ΖΕΦΥΡΟΝ ΤΕ: Τοῖς δυσὶ τούτοις ἀνέμοις, ἐκ τῶν τεσσάρων ἔσι κυριωτέρων, ὡς τῷ μὲν ἐξ ἀνατολῶν πνέοντι, τῷ δὲ ἀπὸ δυσμῶν, καὶ τὰς λοιπὰς, φασὶ, πάντας συνεξεδέξατο.

Στίχ: 308. ΟΙΚΟΣ ΟΤ' ΑΣΣΑΡΑΚΟΥ, ΦΘΙΗ, ΕΥΚΛΕΕΣΙΝ ΤΕ ΜΥΚΗΝΑΙΣ. Περὶ μὲν τῆ οἴκυ Ἀσσαράκυ, ὅρα τὰς ἀνωτ: Σημειώσ: Στίχ: 32, Καὶ 253.) Ἡ δὲ Φθία Θεσσαλίας ἦν πόλις, καὶ μοιρῶν ἡ μία τῶν τεσσάρων, εἰς ἃς ἡ Θετταλία διῄρητο: Φθιῶτιν, Ἐσιαιῶτιν, Θετταλιῶτιν, Πελασγιῶτιν. (Στέφαν. Βυζ. κατὰ Στραβ.) Ἡ γάρτοι περὶ τὸν Πελασγικὸν, καὶ τὸν Μαλιακὸν τοὺς Κόλπες, ἄχρι Θερμοπυλῶν πρὸς Μεσημβρίαν περατεμένη χώρα, Φθιῶτις ἡ πᾶσα ἐλέγετο. αἱ δὲ Μυκῆναι, πόλις ἐν τῇ κατὰ Πελοπόννησον Ἀργολίδι ἐπίσημος, περὶ ἧς τῆ ὀνόματος ποικίλαι αἱ δόξαι. (Στεφ. Βυζ.) Αὐτη δὲ ἀγχιτέρμων ἔσα τῷ Ἄργει, ὑπὸ τῶν Ἀργείων τέως κατιχυσάντων ἀρδίω καθῄρηται, ὡς μηδ' ὅπυ τὸ πρότερον ἰῶ ἀκριβῶς, ἐπὶ τῶν Ἀυγέυ χρόνων, ἔχειν σημαίεσθαι. Σεσημειώσθω δὲ, ὅτι ἡ μὲν Φθία πατρὶς ἰῶ Ἀχιλλέως, αἱ δὲ Μυκῆναι Ἀγαμέμνονος, ἀνδρῶν ἐν Ἕλλησιν ἐπὶ τῆ Ἰρωϊκῆ πολέμῳ ὑπερφερόντων· ὥστε διὰ τῶν δύο εἰρημένων Πόλεων. ὡς ὑπὸ Ῥωμαίοις γενησομένων, ἡ παντελὴς τῆς Ἑλλάδος ἀνατροπή σαφῶς ὑπὸ τῆ Διὸς προηγγέλετο· ἦν οἱ μὲν Μαμμίῳ ἀπονέμεσι τῷ Ἀχαΐαν καθελόντι· οἱ δὲ Παύλῳ τῷ Αἰμιλίῳ. οἱ δὲ Τιβερίῳ, ἢ τῷ Νέρωνι, ἢ Δρύσῳ τῷ Αυγέυ προγόνῳ, τῷ τελευταίῳ τὶῳ Ἑλλάδα πᾶσαν δαμάσαντι.

Στίχ. 210. ΤΡΩΪΟΣ ΈΚ ΦΥΤΛΗΣ . . . . ΚΑΪΣΑΡ· Τοῦτον γὰρ τῆ μεγάλυ ἐκκατιόντα Ἰέλυ (ὡς ἐφεξῆς λέγεται) ἐς τὶῳ Ἰυλίαν ἀνάγεσιν οἰκίαν, Διονὺσ. ὁ Ἁλικαρν. ἐν Α. τῆς Ῥωμ. Ἀρχαιολ. Καὶ Ὀυεμμεῖος Πατέρκλος ἐν Β'. τῆς Ἐπιτομ. καὶ Ἀππιαν. ἐν Β. τῶν Ἐμφυλ. Πολέμ. (ὅρα καὶν τοῖς Γεωργ. ἡμῶν, τὶῳ ἐν τῷ Α'. Βιβλ: Στίχ. 28. Σημειώσιν.) Καίσαρα δὲ τὸν Ἰέλιον φασὶ προσειρῆσθαι, ἤτοι ἀπὸ τῆ Λατινικῆ ῥήματος caedo (καίδω·) ὅπερ ἐσὶ κόπτω· ὡς ἐκ τῆς μητρὸς, τὶῳ γαστρὸς ἀνατμηθέισης, εἰς τὸν

Explorare novos, quas vento acceſſerit oras,
Qui teneant (nam inculta videt) homines ne, ferae ne,
Quærere conſtituit, ſociisque exacta referre.
Claſſem in convexo nemorum, ſub rupe cavatâ,
Arboribus clauſam circum, atque horrentibus umbris,
Occulit: ipſe uno graditur comitatus Achate,
Bina manu lato criſpans haſtilia ferro.
Cui mater mediâ ſeſe tulit obvia ſylvâ,
Uirginis os, habitumque gerens, et virginis arma
Spartanae: vel qualis equos Threiſſa fatigat
Harpalice, volucremque fugâ prævertitur Hebrum.
Namque humeris de more habilem ſuſpenderat arcum
Venatrix, dederatque comas diffundere ventis:
Nuda genu, nodoque ſinus collecta fluentes.
Ac prior: Heus, inquit, juvenes, monſtrate, mearum
Vidiſtis ſi quam hic errantem forte ſororum,
Succinctam pharetrâ, maculoſæ tegmine Lyncis,
Aut ſpumantis apri curſum clamore prementem.

Sic

❋ ❋ ❋

βίον ἐξενεχθέντα· ἢ (κατ' ἄλλους) ὅτι ἐν Ἀφρικῇ ὁ αὐτὸς πάππος αὐτοχειρὶ κατέκτανεν Ἐλέφαντα. Ὁ γὰρ Ἐλέφας φωνῇ Φοινίκων (καίσαρ) ἐλέγετο.

Στίχ: 311. ΚΑΊΡΤΟΣ ἘΣ ᾨΚΕΑΝΟ'Ν, ΚΛΕ'ΟΣ Ο'ΥΡΑΝΟ'Ν . . . . . Ἦρε δὲ Καίσαρ Ἰσόρηται, ὃ μόνον τῶν ἐν Γαλλίαις, τέσσαρας πρὸς ταῖς ἑξήκοντα πόλεις ὑπὸ χεῖρα πεποιηκὼς, ἀλλ' ἔτι καὶ Βρεττανῶν ἄχρι τῶν παρωκεανίων στρατεύσας, καὶ πολλὰ κἀκεῖθεν ἀράμενος τρόπαια, ἃ καὶ μετὰ τινὼ αὐτὸν ἀναίρεσιν ἔτι ἐν τοῖς κατὰ Ῥώμιν Θεάτροις προὐβάλλετο πρὸς ἐπίδειξιν. (Ὅρα Γ. Γεωργ: Σημ' Στίχ. 27.) τὸ δὲ ἑξῆς ἐν τῷ ἔπει ὅτι: (κλέος Οὐρανὸν ἐς τε δ' ἀνοίσει) μικρὸν ἄλλως ὁ Ποσειδὼν ἐξέφρασατο παρ' Ὁμήρῳ: Ἰλ: Η. 451. περὶ τῆς τοῦ τείχους τῶν ἑλλήνων μεγαλεργίας εἰπών: Τοῦδ' ἤτοι κλέος ἔσται, ὅσον τ' ἐπικίδναται ἠώς. Ἢ διὰ τοῦ εἰρημένου ἴσως δηλοῦται, φασίν, ὁ μεσούσης ἡμέρας ἀναφανεὶς Ἀχὴρ, καθ' ὃν Ὀκταβιανὸς Αὔγουστος τὰς ἐπικηδείους ἀγῶνας τῷ Ἰουλίῳ ἐτέλει Καίσαρι, τῷ αὐτὸν ὑοθετήσαντι.

Στίχ: 313. ΗΩ'ΩΝ Δ' ἘΝΑ'ΡΩΝ κτ: Νοητέον δὲ, τὰ ἐν τῇ κατὰ Φαρνάκη νίκῃ τοῦ υἱοῦ Μιθριδάτου, ἢ καὶ τὰ ἐν τῇ κατὰ Πομπηίου ἐν τοῖς Φαρσαλικοῖς πεδίοις. (Πλούτ: εἰς Βίον Καίσ.) Ἐπεὶ καὶ ἡ χώρα αὕτη, ἀνατολικωτέρας πρὸς γε τινὼ Ῥώμιν τετύχηκε θέσεως.

Στίχ: 314 Ἢ ΠΟΤΕ ΔΕ'ΞΕΑΙ κτ: Διὰ τούτων ἡ Καίσαρος προαναφωνεῖται ἐκθέωσις. Οὐ γὰρ, εἰμὴ Θεὸν, ἐν εὐχωλαῖς ἐξιλάσκεσθαι ὅσιόν τε καὶ δίκαιον.

Στίχ: 315. ΤΗ'ΜΟΣ Δ' ΕΙ'ΡΗΝΑΓ'Α, κτ: Ἐφεξῆς. τὰ περὶ Ὀκταβίου τὸν υἱοθετηθέντα τῷ Καίσαρι προαγορεύει. ἔτε τῆς Μοναρχίας καταστασιν ἢ πῆξιν ἤδη λαβούσης, βαθείαν τινὼ εἰρώνην ἐπαγγέλλει ἐπιπολάσειν τοῖς ἔθνεσι. Σκοπὸς γὰρ τῷ Ποιητῇ τὸν Αὔγουστον ἐνταῦθα ἐκθειάσαι, ὡς πιστῶς καὶ ὁσίως ἐν εἰρώνῃ καὶ εὐνομίᾳ τὸ κράτος διαχειρίζοντα. Τινὼ μὲν οὖν Πίστιν πολιὰν λέγει, ἢ ὅτι τοῖς προβεβηκόσι τινὼ ἡλικίαν εἰκὸς ἐστι μάλιστα διατηρεῖσθαι τὸ πιστὸν τοῦ τρόπου ἢ βέβαιον· ἢ καθότι λευκοῖς ὑφάσμασι καὶ ἐρίοις τὰς χεῖρας περιελίττοντας τῇ Πίστει θύειν νενόμικε. Παρασιωπᾷ πτε δὲ τινὼ Ἑστίαν τῇ Πίστει, διὰ τὸ μὴ πυρὸς ἄνευ τὰς ἐν σωθήκαις ὁμολογίας τελεῖσθαι. ἢ διὰ τὸ τὰς Ἑστιάδας, τοῦ πυρὸς ἐφόρους ταχθῆναι, καὶ νεωκόρους ἐν τῷ Ναῷ, ὃν τῇ Πίστει πρῶτος Νομᾶς καθιδρύσατο. Ἐπεισάγονται δὲ τῇ προβρήσει, καὶ Ῥέμος ἅμα Κυρίνῳ, (ὃς ην Ῥωμύλος

Κάρτος ἐς ὠκεανὸν, κλέος ἀρανὸν ἔς τε δ' ἀνόισα.
Οὔνομ' Ἰάλιος, ἐκ κατιὼν μεγάλοιο Ἰάλα.
Ἠῶων δ' ἐνάρων κατάφορτον τὸν δ' ἀπ' Ὀλύμπα
Ἥποτε δέξαι, ὃν κ' εὐχωλαῖς ἐξιλάσοιντο.
Τῆμος δ' εἰρηναῖα τὰ ἐν βίῳ ἔς' ἐπὶ γαίης,
Παυσωλῇ κρυερῶν μερόπεσσιν δηϊοτήτων.
Πίσις γὰρ πολιὴ, καὶ γ' Ἰσίη, ἄμμιγα τ' ἄμφω
Αὐτοκασιγνήτω, Ῥέμος αὐτὸς σὼ ῥὰ Κυρίνῳ,
Τέθμια τάξεσι· πτολέμα δ' ἐπάρητα θύρετρα,
Κλειστὰ σιδήρῳ εἰν ἁρμοῖς ξεινοῖσιν ἐσεῖται.
Ἔνδοθι λευγαλέη μανίη δ' αἰνοῖσιν ἐφ' ὅπλοις
Ἑζομένη, σειραῖς ἑκατὸν χαλκαῖς κατὰ νώτα,
Δέσμιος ἐμβρύξει δὴ, σμερδνήϑ' αἱμωπὴ τε.
Ταῦτ' ἔπας, Μαίας γόνον ἀρανόϑεν προΐαλλεν,
Γαῖαν ἀτὰρ καινῆς Καρχηδόνος ἄξεα Τεύκροις,
Πάντ' ἀμπεπταῶϑαι· μὴ μοίρας ἀγνοέουσα,
Διδὼ γε ξείνας οὔρων σφετέρων ἄπο ἔρξῃ.
Πτὰς δ' ἄρα Ἑρμείας, διὰ ἠέρος εὐρέος αὖψα
Ἐιρεσίῃ

❁ ❁ ❁

Ῥωμύλος") νομοθετῆντες. ὑφ' οἷς ὀνόμασιν, Αὐγεσὸς τε αὐτὸς ὑποδηλῆται, καὶ Ἀγρίππας ὁ ἐπὶ θυγατρὶ τῇ ἐκείνε γαμβρὸς, καὶ τῇ διακοσμήσει τῆς ἀρχῆς αὐτῷ συναιρόμενος. Κυρῖνος δὲ προσηγόρευται ὁ Αὐγεσος, ὅτι ἐκεῖνο πρῶτον ἀκόων ἦν εὐφημέμενος, ὁ Κυρῖνος· μεθ' ὃ Καίσαρ· τέως δὲ Αὐγεσος, ὃ καὶ πρὸ τῶν ἄλλων καλεῖϑαι ἐκράτησεν. (Ὅρα Γ. Γεωργ. Στίχ. 30. Σημ: αὐτ:) τὸ δὲ Κυρῖνος τὸ πρότερον, ἢ ὅτι δόρατι προσεχρῆτο, ὃ παρὰ τοῖς Σαβίνοις ἐκαλεῖτο Κύρις· ἢ δι' ἣν εἶχε Κοιρανίαν ὑπερτάτιν καὶ κυριότητα τῶν πραγμάτων, ἀπόλυτόντε τάυτιν ἢ ἀνεύθυνον. Ἐπὶ πᾶσιν ἡ ἱμερτὴ καὶ μάκαιρα Εἰρὶνὴ ἀρισάτε καὶ γραφικώτατα ὑπὸ τῦ παρὰ τῷ Μάρωνι Ζηνὸς ὧδε διατυπῶται, τῆς περὶ τὰ ὅπλα μανίας σειραῖς ἀλύτοις ἐνδέσμε καθειργνυμένης, καὶ τῶν θυρέτρων ἀσφαλῶς ἐπιζυγεμένων τῦ διϑύρε Νεῶ· ὃν ἀνεῴχθαι μὲν κινεμένε πολέμε, κεκλεῖϑαι δὲ καθεζώσης εἰρὶνὴς, Νεμᾶς Πομπίλιος ὁ δομήσας διετάξατο. Ἱσόρηται δὲ περὶ τῦ Νεῶ τῦδε, τῦ Ἰανῷ τῷ διπροσώπω ἀνακειμένε, ὅτι δὶς μόνον ἀπὸ Νεμᾶ τῦ δομήτορος, ἄχρις Αὐγέσε, τρὶς δὲ κεκλεισμένος ὤπται, ἐπ' αὐτῦ τέτε Μοναρχήσαντος. (Μέτιϑι Πλέτ. εἰς Βίον Νεμᾶ.)

Στίχ: 324 . . . . . ΜΑΪΑΣ ΓΟΝΟΝ . . . . . Τὸν Ἑρμῆν. Ὅρα τὸν ὕμνον ἐν τοῖς Ὁμήρε:

„Ἄγγελον ἀϑανάτων, ἐριούνιον, ὃν τέκε Μαῖα
„Ἄτλαντος θυγάτηρ, Διὸς ἐν φιλότητι μιγεῖσα.

Στίχ: 325. . . . . ΚΑΙΝΗΪΣ ΚΑΡΧΗΔΟΝΟΣ ΑΣΤΕΑ . . . . Αὐτὸ, φασὶ, τῦνομα Garthago (Καρθαγὼ) νέαν πόλιν ἐσήμαινε, Φοινίκων φωνῇ· ἀλλ' ἦν ἄρα τῷ ὄντι, καινὴν τινὰ Καρχηδόνα ἀποκαλεῖν, καὶ διὰ τὸ νεόδμητον ὑπὸ τῦ Ποιητῦ ἐνταῦϑα παρίσαϑαι· μᾶλλον δὲ ἐν αὐτῷ ἦσαν τῷ κτίζεϑαι. ἄλλως γὰρ, τοῖς μὲν ἱσόρηται ἔτ: 50. πρὸ τῆς Τροίας ἁλώσεως τινὰ πόλιν τάυτιν κτισθῆναι· τοῖς δὲ, 137. ἢ 143. μετὰ τινὰ ἅλωσιν.

Στίχ: 326. . . . . ΜΗ' ΜΟΙΡΑΣ ΑΓΝΟΕΟΥΣΑ, Τινὰ γὰρ ἐκ Μοιρῶν ἀφορισθεῖσαν τοῖς Τεύκροις μετανάσασιντε καὶ ἀποίκησιν ἐπὶ τὸ Λάτιον, μηδαμόθεν εἰδέναι ἔχουσα Διδὼ, ὡς ληϊσῆρας τινὰς, καὶ τῶν ἰδίων ὅρων ἐπιβέλες, ἴσως ἂν τὲς ἄνδρας ἀπεῖρξε τε καὶ ἀπήλασεν.

Sic Venus: at Veneris contrà sic filius orsus;
Nulla tuarum audita mihi, neque visa sororum.
O quam te memorem Virgo? namque haud tibi vultus
Mortalis, nec vox hominum sonat: ô Dea certè.
An phoebi soror, an Nympharum sanguinis una?
Sis felix, nostrumque leves quæcumque laborem:
Et quo sub cœlo tandem, quibus orbis in oris
Jactemur, doceas: ignari hominumque, locorumque
Erramus, vento huc vastis et fluctibus acti:
Multa tibi ante aras nostrâ cadet hostia dextrâ.
Tum Venus: Haud equidem tali me dignor honore.
Virginibus Tyrijs mos est gestare pharetram,
Purpureoque alte suras vincire cothurno.
Punica regna vides, Tyrios, et Agenoris urbem;
Sed fines Libyci, genus intractabile bello.
Imperium Dido Tyriâ regit urbe profecta,
Germanum fugiens: longa est injuria, longae
Ambages; sed summa sequar fastigia rerum.
Huic conjux Sichaeus erat, ditissimus agri

Phoeni-

* * *

Στίχ: 329. . . . . ΛΙΒΥΚΑΙ΄Σ ΄ΑΚΤΗΙ΄ΣΙ . . . . . Λιβύα μὲν ἰδιαίτερον, ἡ ἀπ' Αἰγύπτε ἄχρι τῆς μεγάλης Σύρτεος, ἐπὶ τῆς Ἀφρικῆς ἐκτεινομένη χώρα, ἡ τῷ πάλαι Μαρμαρικῷ, καὶ Κυρηναϊκῷ περιέχουσα. Ὁλοχερέστερον μέντοι, καὶ ἡ Ἀφρικὴ ὅλη, καὶ τάυτης μάλιστα, ὅσον τὸ πρὸς Βορρᾶν ἄνεμον ἐξὶ τετραμμένον, Λιβύαι προσείρηται, ἀφ' ἧς τῆς ἀκτῆς Καρχηδὼν ᾠκοδόμητο. (Ὅρα ἀνωτ: στίχ. 26.)

Στίχ: 334. . . . . ΔΙΑ΄ ΝΥΚΤΟ΄Σ ΠΟΛΛΑ΄ ΜΕΝΟΙΝΩ΄Ν, Οὐδὲ γὰρ τὸν ἐν πράγμασι καὶ φρονοῦσι, διὰ νυκτὸς ὅλης ὑπνεῖν, ἔτε ῥᾴδιον, ἔτ' ἄλλως προσῆκον. Καὶ γὰρ Ἰλ. Β. 24.

„Οὐ χρὴ παννύχιον εὕδειν βουληφόρον ἄνδρα, κτ:

Καὶ „Ἄλλοι μὲν παρὰ νηυσὶν ἀριστῆες παναχαιῶν
„Εὗδον παννύχιοι, μαλακῷ δεδμημένοι ὕπνῳ·
„Ἀλλ' οὐκ Ἀτρεΐδῃν Ἀγαμέμνονα, ποιμένα λαῶν,
„Ὕπνος ἔχε γλυκερὸς πολλὰ φρεσὶν ὁρμαίνοντα.

Ἔσι δὲ δήπε ὁ ἐν νυκτὶ χρόνος εἰς νοῦ ἀντίληψιν, καὶ πραγμάτων ἐπισασιν δεξιώτατος. Διὸ καὶ τῷ νύκτα προσεῖπον Εὐφρόνην. Κατὰ γὰρ Τὸν Λυρικὸν Πίνδ: Ὠδ. Δ. Νέμεα.

„Γνώμῳ σκότος κυλίνδει.

Στίχ: 336. ΕΚΒΗ΄ΝΑΙ ΜΕ΄Ν, ΚΑΙ΄ ΧΩ΄ΡΑΣ . . . . ΔΑΗ΄ΝΑΙ. Οὕτω καὶ Ὀρφεὺς Ἰάσονα ποιεῖ ἐν τοῖς Ἄργον: ἐπ' ἀκτῆς ὁρμισάμενον τῆς Κιρκαίης, τῶν ἑταίρων τινὰς κελεῦσαι τῆς νηὸς ἀποβάντας, εἰς ἐπίγνωσιν προελθεῖν τῆς χώρας, καὶ τῶν οἰκούντων αὐτῷ.

„ . . . . . Ἐκ δ' ἄρ' Ἰήσων,
„Νηὸς ἀποπροέηκε μολεῖν ἑρίηρας ἑταίρους,
„Διζήμενος τίς ἄρ' ἀνθρώπων ἀπείρονα γαῖαν
„Ναιετάει. γνῶσεν δὲ πόλιν, καὶ ἤθεα λαῶν.

Καὶ Ὀδυσσεὺς δὲ παρ' Ὁμήρῳ, τὰς μὲν ἄλλας τῶν νηῶν. ἐπὶ τῆς Λαχείας παραλιπὼν ἐρμισαμένας, Ὀδυσ. Ι'. 172.

„Ἄλλοι μὲν νῦ μίμνε ἐμοὶ (φησὶν) ἑρίηρες ἑταῖροι

„Αὐτὰρ

Εἰρεσίῃ πτερύγων Λιβυκαῖς ἀκτῇσιν ἐπέσῃ.
Ἔρδε δ' ἐφετμὰς. καὶ Λίβυες μὲν ἔπειτα θέντο
Ἀγριόθυμον κῆρ, βελῇ μεγάλοιο Θεοῖο.
Αὐτὰρ Ἀνασσ' ἰδίᾳ φωτοῖσιν ἐπήλυσι Τεύκροις,
Μαλιχίῃ ἐκέκασο κατὰ φρένα καὶ κατὰ θυμὸν.
Δῖος δ' Αἰνείας διὰ νυκτὸς πολλὰ μενοινῶν,
Αὐτίκα ὡς πρῶτον ῥὰ φάος τὸ φερέσβιον ὦρτο,
Ἐκβῆναι μὲν, καὶ χώρας παντὰς γε δαῆναι,
Ταῖς τε βίῃ ἀνέμων ἀκταῖς σπερχθεὶς προτιπέλασεν;
Ἀνέρες ἆρ ἔχον; (Ἦν γὰρ ἀπήρατοι) ἠὲ ῥὰ θῆρες;
Προὔθετο διζέμεν, οἷσι δ' ἐπαίροις ἐξαγγεῖλαι.
Καί ῥὰ κατ' ἠλῆεν νάπος, ἀκρατόμων δ' ὑπὸ κοῖλα,
Δένδρεσι μὲν κρύπτασκε νέας σιερῷ ἐνι χώρῳ.
Αὐτὰρ ὁ βάσκεν ἔχων ὀπέων ἐὸν ὄιον Ἀχάτιω,
Χειρὶ δύω πάλλων βριαρῇ χαλκήρεε δῶρε.
Τῷ δ' ἔνθ' ἀντεβόλησ' ἡ μήτηρ μέσση ἐν ὕλῃ,
Παρθενικῇ εἰκυῖα Λακαίνῃ Σπαρτιατίσσῃ,
Εἶδος τ', ἀμπεχόνιω τε, καὶ ἔντεα πάντα ὁμοίη.
Ἠὲ καὶ οἵη Θρῄσσα γε ἵππους κακκοπόωσα



❁ ❁ ❁

„Αὐτάρ ἐγὼ σιὼ νηΐ τ' ἐμῇ, καὶ ἑμοῖς ἑτάροισιν
„Ἐλθὼν, τῶν δ' ἀνδρῶν πειρήσομαι, οἵ τινες εἰσὶν.
Ἐκβραθεὶς δ' ὁ αὐτὸς ἅπαχε ἐπὶ γῆς τῆς Φαιάκων, ἐκεῖνο δὴ αὖθις μαθεῖν πρὸ πάντων διὰ μερίμνης ποιεῖται, οἵτινες ἄρα καὶ εἶεν οἱ τιὼ χώραν ἔχοντες; Ὀδυσ. Ζ. 119.
„Ὤμοι ἐγὼ τέων αὖτε βροτῶν ἐς γαῖαν ἱκάνω;
„Ἦ ρ οἵ γ' ὑβρισταί τε καὶ ἄγριοι, οὐδὲ δίκαιοι·
„Ἦε φιλόξενοι, καὶ σφιν νόος ἐστὶ θεουδής;

Στίχ: 342. ΟΠΕΩΝ' ΕΟΝ ΟΙΟΝ ΑΧΑΤΗΝ. Καλῶς τὸν Ἀχάτιω (φασὶν οἱ Σχολιογράφοι). Τὸ γὰρ ἄχος (Ὃ ψυχῆς ἐστὶ διάθεσις, ἣν ἄτερ ἀνίας, ἐμμερίμνω) εἰκὸς τὰ πολλὰ τοῖς τεταγμένοις ἄρχειν παροπηδεῖν. καὶ μάλιστα τῷ Αἰνείᾳ ιὼ ἐπὶ τῷ παρόντος, δεινοῖς τοσούτοις περιπεσόντι, καὶ, μηδ' ὁποῖον ἔσαι ποτὲ τούτων τὸ πέρας, συμβαλεῖν ἔχοντι.

Στίχ: 345. ΠΑΡΘΕΝΙΚΗΙ . . . . ΛΑΚΑΙΝΗι ΣΠΑΡΤΙΑΤΙΣΣΗι. Τὸ μὲν ἐκ τοῦ σχήματος, τὸ δὲ ἐκ τῆς χώρας, τὸ δὲ ἐκ τῆς πόλεως. Λακεδαιμονία μὲν οὖν, ἡ Λακωνικὴ, ἡ καθ' ἡμᾶς χυδαιότερον Τζακωνία, ἡ κατὰ τὸν Ἀργολικὸν κόλπον πρὸς Ἀνατολὰς παρατείνουσα, πρὸς δὲ Νότον ἄνεμον, κόλπον ἔχουσα τὸν Λακωνικόν. Σπάρτα δὲ, ἡ τῆς Λακωνικῆς ἰῶ πρωτεύουσα πόλις, ἐν δεξιᾷ κειμένη τῷ Εὐρώτα ποταμῷ ἧς λιμίω, ἐν βάθει τῷ Λακωνικῷ εἰρημένῳ κόλπῳ, τὸ Γύθιον. Ταίναρος δὲ τὸ ὑπερτεῖνον ἀκρωτήριον, ὃ τιὼ Λακωνίδα γῆ τῆς Μεσσηνιακῆς ἀποδίῤῥᾳ. (Ὅσα καὶ Δ. Γεωργ. Σημ. Στίχ. 567.) Ἡ δὲ τοι ἀριστερόθεν τῆς παλαιτέρας Σπάρτης νῦν οἰκεμένη, ἡ καθ' ἡμᾶς ἐστὶ Μίστρα· Καὶ ταῦτα μὲν ἔτω· τὸ δὲ τοι παρθενικὴ ἐπετέθη, ὅτι ταῖς Λακαίναις ἔτι παρθενευούσαις, ἐκ τῆς Λυκούργου Νομοθεσίας ἐποφείλετο Μουσικῇ τε καὶ γυμνασίοις ἐνασχολεῖσθαι, καὶ δρόμοις διαπονεῖσθαι, καὶ παλαισμοσιώναις ἐνασκεῖσθαι· καὶ δισκεύειν δὲ, καὶ τοξεύειν, καὶ ἱππεύειν, ὁμοίως τοῖς ἄρρεσι, καὶ κωμηγετεῖν· Ἔνθεντοι καὶ ἔρος ἰῶ ἐν τῇ Λακωνικῇ τὸ Παρθένιον καλούμενον, ἐκ τοῦ περὶ αὐτὸ τὰς Παρθένους τῇ θηρευτικῇ καταγίνεσθαι.

Phoenicum, et magno miſerae dilectus amore,
Cui pater intactam dederat, primis que jugarat
Ominibus: ſed regna Tyri germanus habebat
Pygmalion, ſcelera ante alios immanior omnes,
Quos inter medius venit furor: ille Sichæum
Impius ante aras, atque auri cœcus amore,
Clam ferro incautum ſuperat, ſecurus amorum
Germanae, factum que diu celavit, et aegram,
Multa malus ſimulans, vanâ ſpe luſit amantem.
Ipſa ſed in ſomnis inhumati venit imago
Conjugis, ora modis attolens pallida miris;
Crudeles aras, trajectaque pectora ferro
Nudavit, cœcumque domus ſcelus omne retexit.
Tum celerare fugam, patriâ que excedere ſuadet.
Auxilium que viæ, veteres tellure recludit
Theſauros, ignotum argenti pondus et auri.
His commota fugam Dido, ſociosque parabat:
Conveniunt, quibus aut odium crudele tyranni,

Aut

❁ ❁ ❁

Στίχ: 348. ΑΡΠΑΛΙΚΗ, ΡΟ'ΟΝ ΕΤΘ' ΕΒΡΟΥ. . . . Ταύτῃ εἰκὸς τῶν Ἀμαζόνων μίαν γενέσθαι. Θέειν ὀξυτάτῃ, ὡς καὶ τὸς ἱπποδρομοῦντας πεζῇ παρελαύνειν. Ἀμφισβητεῖται γεμῖν περὶ τοῦ ἔπους, πότερον Ἕβρε δεῦρο ἀναγινώσκειν, ὥστε τὸν ἐπὶ Θράκης ποταμὸν ἐνσημαίνεσθαι; ἢ Εὖρε, ὥστε τὸν ἄνεμον; εὕρηται γὰρ ἐν Κώδιξι ἀρχαίοις, ἄμφω ἄμφοις ἑκάτερον. Ἦπε δ' ἀποῤῥεῖν ἔπεσι περὶ τότε ἔτι καὶ μᾶλλον, εἴπερ αἱ ἀμαζόνες ἐκ τῆς Θράκης τῆς ἀν' Εὐρώπῃ ὑπῆρχον ὁρμώμεναι, ἔνθα ῥέει ὁ ποταμὸς Ἕβρος, (περὶ ὃ ὅρα Δ. Γεωργ. Στίχ. 563. Σημ: αὐτ:) ἀλλ' ἐκ Θράκης τῆς Ἀσιάτιδος. Ἅμα τε δὲ, καὶ τὸ Ἕβρον φαῦναι, ἀ πάνυ τι φέρειν ἔοικεν εἰς ἔπαινον ποδωκείας, ἐπεὶ οὐ ἄγαν ὁ ποταμὸς ἔτος ὀξύῤῥοος ἱσόρηται ὤν, οὐ ὅτε χειμῶνος αὐτῷ προσεπαύξει τὰ ὕδατα πληθυόμενα. Ὁ μὲν ἔν τῳ Μάρωνος Λίνειάδα ἐξιταλίσας (Annibal Caro) τῷ ἀπορίαν ἢ δοκεῖ παρεκκλίνας, τῆς Ὀυιργιλίε ἐννοίας μικρὸν ἀπέῃ, ἔτως ἀποδὺς:

. . . . . o quale in Tracia Arpalice
Leggiera, e ſciolta, il dorſo affaticando
Del fugace deſtrier l' Ebro varca a.

Ἐν οἷς οὐχὶ παράθεσιν ποιεῖται, πρὸς τὸ, ἤτοι τῷ ποταμῷ, ἢ τῷ ἀνέμῳ τάχος, τῷ Ἀρπαλίκης παραβάλλων ὀξύτητα· ἁπλῶς δ' ὡς ἔυζωνὸν τε καὶ κοῦφον, ἐφ' ἵππῳ ἔποχον ὀξέως διαπερωμένῳ τὸν Ἕβρον αὐτῷ παρίσησιν. Ἀλλ' ἡμεῖς τοῖς πλείοσι τῶν Ἀντιγραφων ἑπόμενοι καὶ ἀκριβεσέροις, τὸν ποταμὸν πρὸ τοῦ ἀνέμου προφέρομεν. Ὅτι δὲ Θρᾴκῃ Ἀσιατικῇ τινα σαφῶς ἴδμεν, ὅθεν ἂν τὶς θρῆσσαν Ἀρπαλίκην κατάξαιμεν· καὶ τῷ ποταμίῳ ῥόῳ, ἐπειδὰν μάλιστα ἀπὸ καταῤῥακτῶν, ἢ δὶ ὄχθαν ἐπιξενώσεως κάτεισιν, εἰς τάχος δήλωσιν ἱπποδρομίας ἀρκέμεθα. Ὡς εἴτω δόξειεν ἄμφω τοῦ ποταμοῦ τὸν ἄνεμον αἱρετέλεσθαι, ἀμειπτέον αὐτῷ τὸ ἐν τῷ ὕφει ἔπος μεθερμηνευθὲν εἰς τὸ ἑξῆς, ἔτως:

Ἀρπαλίκη, τάχος εὖτ' Εὖρε πτηνῇ παρελαύνει.

Στίχ: 354. ΚΑΪ ΓΟ'ΝΥ ΓΥΜΝΟ'Ν . . . . Ὡσαύτως καὶ Καλλίμαχος ἐν τῷ εἰς τὴν Ἄρτεμιν ὕμνῳ, τὴν ἐθῆτα τῶν εἰς θήραν σωεζιζουσῶν αὐτῇ περιγράφων, ἐς γόνυ μέχρι χιτῶνα ζώννυσθαι, φησὶν, αὐτὰς εἰωθέναι. Ταύτῃ τοι καὶ Φαινομηρίδας τὰς Σπαρτιάτιδας Ἴβυκος, παρὰ Πλυτ: ἐκάλει. (ἐν BI: Νεμᾷ) τὰς αὐτὰς δὲ καὶ ἀνδρομανεῖς ἔτι παῤ Εὐριπίδῃ λοιδορεμένας, ἐυρίσκομεν, ὡς, Γυμνοῖσι μηροῖς, καὶ πέπλοις ἀνειμένοις, ἀναφανδὸν προϊέσας. Ὧν περ καὶ τὸν χιτῶνα Σοφοκλῆς, ἐκ ἀπροσφυῶς, ἄγολον εἶπε, θυρεᾶον ἀμφὶ μηρὸν.

Στίχ:

Ἀρπαλίκη, ῥόον εὖθ' Ἕβρε πτηνὸς παρελαύνει.
Τῇ γὰρ δὴ τὸ σώηθες ἀπ' ὤμοιν τόξον ἄορτο
Ἀγραύλῃ, ἄνετοὶ τε κόμαι διαχεῦντο ἀήτας.
Καὶ γόνυ γυμνὸν ἔἰω· πόρπῃ δὲ χλαῖνα σωῆκτο.
Πρώτη δ', ἦ ῥὰ, ἔφη, δείξαιτέ κεν, ὦ νέοι, ἔμπε
Τῶν τιν' ἐμῶν κασίων θηήσασθ' ὧδε ἀλῆτιν,
Ζωννυμένῳ φαρέτραν, σικτὸν Λυγκὸς θ' ὑπὸ δέρος;
Ἦ ὀπίσω κάπροιο βοηδρομέουσαν ἀφρῶντος;
Ὣς ἄρα Κύπρις· ὁ δ' ἄρ δὴ Κύπριδος, ὧδ' ἐπαμῆπτο.
Οὔτις σῶν κασίων μοι ἀκούθη, οὐδὲ μοι ὤπτας,
Παρθενικὴ, ἦ πῶς σ' ὀνομήνω; ἀ γὰρ ὀπωπὴ
Θνητῆς ἐςὶ Σοι, οὐδ' ἄρ γήρυμα· ἦ Σὺ Θέαινα,
Ἦ Φοίβε κάσις, ἦ ἐκ Νυμφῶν αἵματος ἔσσα.
Χαίροις δ' ἥπεν ἔοις, μόχθων δ' ἡμᾶς ἀναπάυσαις.
Ὅντιν' ὑπ' οὐρανὸν ὧδ' ἠλάσκομεν; ἦν δ' ἐπὶ γαῖαν;
Ἐκ ῥὰ διδάξαις. Ὣς ἀδαεῖς ἀνδρῶν τε τόπων τε,
Πλαζόμεθ' ὧδε βίῃ ἀνέμων, καὶ νύμασ' ἀπλήτοις.

Πολλὰ

❖ ❖ ❖

Στίχ: 354. ΣΤΙΚΤΟ'Ν ΛΥΓΚΟ'Σ Θ' ὙΠΟ' ΔΕΡΡ'ΟΣ. Ἔχωμεν γὰρ οἱ θηρευταὶ πάλαι, τὰς δορὰς ἂν ἀνήρωιν θηρίων ἀμφιεννύμενοι σοβαρεύεσθαι. Ἡ δὲ Λύγξ τὸ δέρμα ποικίλον ἔχει ἐν στίγμασιν ὑπομέλασι. Λύγκον δὲ τινα γενέσθαι μυθεύουσιν, ὃς Τριπτόλεμον τὸν εὑρετὴν τῆς σίτου παῤ αὐτῷ ἐπιξενωθέντα κτείνας, ἐφ' ᾧ τὸ τῆς εὑρέσεως κλέος ἑαυτῷ προμνηστεύσασθαι, ὑπὸ Δήμητρος χαλεπῶς ἐνεγκάσης εἰς Λύγκα τὸν Θῆρα μετήμειψαν, τὸ κατάσικτον ἐπιφέροντα τῆς πανουργίας τε καὶ σκαιότητος ἔλεγχον.

Στίχ: 355. Ἦ ὈΠΙ'ΣΩ ΚΑ'ΠΡΟΙΟ . . . ΑΦΡΟΥ'ΝΤΟΣ. Τὴν ἐξ ὀργῆς τῆ ἐπελαυνομένῃ ζώῃ ἔξαψιν διὰ τῆ ἀφρῆ ὑπεδήλωσε. Τῆ γὰρ (καθ' Ὅμηρον Ἰλ: Ρ. 21.) μεγίσος
„Θυμὸς ἐνὶ σήθεσσι περὶ θένει βλεμεαίνει.

Στίχ: 358. ΠΑΡΘΕΝΙΚΗ, Η" ΠΩΣ Σ' ὈΝΟΜΗ'ΝΩ; Παραβάλλειν εἰάθασι τὴν Λίνειαν ἱκεσίαν ταύτην, τῇ τῆ Ὀδυσσέως πρὸς Ναυσικάαν τὴν Ἀλκινόου. Ὀδυσ. Ζ. 149. Ἐπισημειῆ ταῖ δὲ, ὅτι καὶ τὰ τῆς ἐντεύξεως ὁμοίως πρὸς τὸν αὐτὸν σκοπὸν πέπλασται κἀνταῦθα, καθ' ὃν Ὅμηρος Ὀδυσσεῖ ἐπὶ τὸ Φαιάκων Ἄστυ ἀπερχομένῳ ἀπαντῶσαν ἐποίησε τὴν Ἀθηνᾶν, ὑπὸ τῷ σχήματι τῆς τὴν Κάλπιν φερούσης νεανίδος. Ὀδυσ. Η. 22 κτ:

Στίχ: 360. Ἦ ΦΟΙ'ΒΟΥ ΚΑ'ΣΙΣ, Η" ἘΚ ΝΥΜΦΩ'Ν ΑΙ"ΜΑΤΟΣ Ἔ"ΟΥΣΑ. Τὴν Ἄρτεμιν οἱ μῦθοι ὑμνῆσιν.
„Αὐτοκασιγνήτῃ χρυσαόρῃ Ἀπόλλωνος·
„Ἄμφω (δ' ἤτην) τέκνα Διὸς καὶ Λητῆς ἠυκόμοιο.
Αἰδῆται Νύμφαι, πολυειδεῖς φέρονται καὶ παντοῖαι. Καὶ γὰρ, καὶ αἱ τῆ Μελισσέως παῖδες, αἱ ἐν τῷ ἐπὶ τῆς Δίκτης ἄντρῳ τὸν Δία θρέψασαι· (παρὰ Ἀπολλοδ. Βιβλ. Α. Κεφ: α.) καὶ αἱ ἁρπάσασαι τὸν καλὸν Ὕλαν, τὸν Ἡρακλεῖ ἀπελθόντα ὑδρεύσασθαι. (Αὐτ: Α. Θ.) Καὶ αἱ τὰ πτηνὰ πέδιλα φορεῖσαι, καὶ κατὰ Γοργόνων Περσεῖ συμπραξάμεναι. (Αὐτ. Β. δ.) Καὶ αἱ ἐκ Διὸς δὲ καὶ Θέμιδος, αἱ τὸν Ἠριδανὸν ἔχουσαι, ᾧ Ἡρακλεῖ τὰ Ἑσπεριδῶν μῆλα ἐκζητοῦντι τὸν Νηρέα διαμιμύσασαι. Αὐτ: Β. Ε.) Καὶ αἱ Νυσσηίδες, παρὰ τὸ τὴν Νύσσαν εἰκεῖν ἕτω κληθεῖσαι, αἱ Βάκχε τροφοὶ καὶ τιθῆναι, ἃς ὕστερον Ζεὺς καταστερίσας, Ὑάδας μετωνόμασεν. (Αὐτ: Γ. δ.) Ὅρα καὶν τοῖς Γεωργ. Βιβλ: Α. Στίχ. 10. Καὶ 154. Αὐτ:)

Στίχ: 369. . . . . ἘΝ ΠΟΡΦΥΡΕ'ΟΙΣΙ ΚΟΘΟ'ΡΝΟΙΣ. Τοιαῦτα δ' ἦν ἄρα τὰ τε τῶν Λακωνίδων Παρθένων, καὶ ἅπερ αἱ Τύριοι ὑπεδέντο· ἐρυθρὰ δηλ. κοῖλα, εἰς μέσιν κνήμιν ἀνήκοντα, ἀκριβεῖ δεσμῷ περιεσαλμένα. Ὅρα Ὀνο-

Aut metus acer erat: naves, quae fortè paratae,
Corripiunt, onerantque auro: portantur avari
Pygmalionis opes pelago: dux foemina facti.
Devenere locos, ubi nunc ingentia cernes
Mœnia, ſurgentem que novæ carthaginis arcem:
Mercatique ſolum, facti de nomine Byrſam,
Taurino quantum poſſent circumdare tergo.
Sed vos qui tandem? quibus aut veniſtis ab oris?
Quo-ve tenetis iter? Quærenti talibus ille
Suſpirans, imoque trahens à pectore vocem:
O dea, ſi primâ repetens ab origine pergam,
Et vacet annales noſtrorum audire laborum,
Ante diem clauſo componet veſper olympo.
Nos Trojâ antiquâ (ſi veſtras forte per aures
Trojæ nomen iit, ) diverſa per æquora vectos
Forte ſuâ Libycis tempeſtas appulit oris.
Sum pius Aeneas, raptos qui ex hoſte Penates
Claſſe veho mecum, famâ ſuper aethera notus.
Italiam quæro patriam, et genus ab Jove ſummo.
Bis denis Phrygium conſcendi navibus æquor,
Matre Deâ monſtrante viam, data fata ſecutus:
Vix ſeptem convulſæ undis, Euroque ſuperſunt.
Ipſe ignotus, egens, Libyæ deſerta peragro,

Europâ

❀ ❀ ❀

μας. Πολυδ. Βιβλ. Ζ . . καὶ Βιβλ: Ε) πρὸς δ' ἑκάτερον τῶν ποδῶν προσφυᾶς ἔχοντα ἐξ ἀμοιβῆς ἐφαρμόζεσθαι· ἐξ οὗ καὶ κόθορνον ἡ παρεμία, τὸν παλίμβολον, καὶ γνώμιλο ασατοιῶτα λέγει, καὶ ἀλλοπρόσαλλον. (Ὅρα καὶ τοῖς Γεωργ. Βιβλ. Β Σημ, Στίχ: 9.)

Στίχ. 370. ΦΟΙΝΙΚΑΣ ΩΔ' ΟΡΑΣ, ΤΥΡΙΟΥΣ, . . . . ΑΓΗΝΟΡΟΣ ΑΣΤΥ. Κάτεισιν ἀπὸ τῶν ὀλικωτέρων, ἐπὶ τὰ μερικώτερα Φοινίκη γὰρ ἰδ, ἡ κατὰ Συρίαν Παλαιστινῶν χώρα, ἐφ' ἧς Τύρος ἵδρυτο, καὶ Σιδών, πόλεις ἐπίσημοι, ἀλλήλαις ἄγχιροι, ἐν αἷς ἦρξεν Ἀγλαύρη· ἐντεῦθεν ὅτω Φοινίκων ἀποικία ἐπὶ Λιβύας μεταναστᾶσα, συμμετέσχεν ἐκεῖ καὶ τὰς κλήσεις. Διὸ προσετέθη, ὅτι Λιβύων οἱ ὅροι ὡς ἐντεῦθεν χρεῖαι νοεῖν τὸ ὑπὸ Διδῦς ἀρτίως ἐξ Ἀσίας μετενεχθὲν κράτος, καὶ ἐπ' Ἀφρικῆς ἱδρυθέν. Τυρίας δὲ, τῆς Διδοῦ συμμεταναστάντας. Αὐτίῳ δὲ τίῳ Διδῷ ἐκδέχεσθαι δηλεμένιο ὑπὸ τῷ Ἀγλαύρος ὀνόματι. Καὶ Ἀγλαύρος δὲ Ἄσυ τὸ τῆς Διδῦς ἐκληπτέον· ἤτοι τίῳ κτισθεῖσαν ὑπ' αὐτῆς Καρχηδόνα.

Στίχ: 372 „ΩΔΕ ΔΕ ΚΟΙΡΑΝΕΕΙ ΔΙΔΩ. Διδῦς πατρὶ μὲν Ἰσόρηλα Βήλος ὁ νεώτερος, Ἔπαφος δὲ πάππος, πρόπαππος δὲ Ἄγηνωρ· καὶ τοι ἀμφισβητεῖται, (ὡς παρ Εὐσεβ. ἐν ταῖς Παρεκβολ.) ἄλλων αὐτὸν Ἀγλαύρος θυγατέρα τίῳ Διδῷ ὑποτιθεμένων. Ἐκαλεῖτο δὲ τὸ πρῶτον Ἐλίσσα· ὕστερον δὲ Διδὼ προσηγόρευται, ὃ φωνῇ τῇ Φοινίκων σημαίνειν φασὶν Ἀντιάνειραν· εἶχε δὲ καὶ ἀδελφίῳ ὄνόματι, Ἄννων, καὶ ἀδελφὸν Πυγμαλίωνα· ὃν ἐκ ἀδελφικῶς ἔμπης αὐτῇ μετὰ τίῳ τελευτίῳ τὸ πατρὸς προσενλιλεγμένον, καὶ παντοίως ἐπιβελεύοντα, Φυγεῖν ἰδάγκασαι· Τύρον δὲ τίῳ πατρίδα λιπεῖσα, τίῳ ἐπὶ Λιβύας σιωέσησεν ἀποικίαν, Καρχηδόνα κτίσασα.

Στίχ: Αὐτ: ΤΥΡΟΥ ΕΚΠΡΟΓΟΤΣΑ. Ἡ δὲ Τύρος ἐξ ἀποικίας τῆς ἀπὸ Σιδόνος ἵδρυτο. Ἦν δὲ Νῆσος, ἣ κατ' ἄλλες, Χερσόννησος· ἀπὸ Τύρε ἔτω κληθεῖσα

Πολλὰ δὲ σοῖς αὐτὸι προτιοίσομεν ἱρὰ βωμοῖσιν.
Αὐτίκ' ἀμειβομένη Κύπρις ὃ ἐφθέγξατο τοῖα.
Οὔτι τόσα φαίδιμε κύδος ἔμ' ἐπάξιον ἔμμεν.
Παρθενικαῖς Τυρίῃσι φέρειν ἔθος ὧδε φαρέτρῃ,
Καὶ κνήμας ὑποδεῖσθ' ἐν πορφυρέοισι κοθόρνοις.
Φοίνικας ὧδ' ὁράας, Τυρίας, ἰδ' Ἀγήνορος ἄξυ.
Οἱ δὲ ὅροι Λιβύων, γένος ἄτρυτον ἐν πολέμοισιν.
Ὧδε δὲ κοιρανέει Διδὼ Τύρα ἐκπροϊοῦσα,
Ἐκ δὲ κάσιν φεύγασ' ἐὸν. Ὕβρις μηκεδανὴ τις.
Μακρὸν πεφραδέμεν· σιωελοῦσα δ' ἐγὼ τοι λέξω.
Τῇ δε πόσις Συγχαῖος ἔην, ἀγροῖσιν ἀφνειὸς
Ἐν Φοίνιξιν, ὃς ἔσκ', ἐρατεινὸς κάρτα ταλαίνῃ.
Τῷ μὶν κηριδίῳ οἰωνοῖς ζεῦξε γενήτωρ.
Ἀλλ' ἄρχειν Τυρίων ταύτης κάσις ἔλαχ' ἀνάσσων,
Πυγμαλίων· ἀνέρων ὃδ' ἀτάθαλος ἔξοχα πάντων,
Ὅσσοις κεν μανίη πελάσειεν· ἐπεὶ Συγχαῖον,
Πρὸς βωμοῖς, ἀσεβών, χρυσῷ τε ἔρῳ τυφλώττων,
Λάθρὴ ἀδόκητον κτεῖνεν, ἀδελφῆς πάμπαν ἐρωτων
Οὐκ ἀλέγων. Δηρὸν δὲ ἔ κεῦθ' ἀχέουσαν,
Τηϋσίαις τ' ἀπάφων παῖς ἐλπωρῇσιν ἐρῶσαν.
Ἀλλ' ἀταφὸς τῇ ὅ ἦλυθ' ἀκόιτις ἐνύπνιος εἰκὼ·
Ἐκπάγλως δ' ἐπάρασα προσώπατα ὠχριόεντα,
Βωμὸς νηλεέας, καὶ τρωτὰ ξέρνα σιδήρῳ
Γύμνα, ἀταθαλίῃ πᾶσαν θ' ἣ λάνθανεν οἶκοι.



σα τῆ Φοίνικος. (Στέφ: Βυζ.) Η" ὡς Ἑλλάς ἐν τῇ κατὰ Οὐϊργ. Γεωγρ.) Τσὼρ παρ' Ἑβραίοις λεγομένη, ὃ, πέτραν σημαίνει ἀπότομον· ἔδει δὲ Τσύρ, ἵνα ᾖ ἐκ τούτου, ἐκθλίψει τῆ σ Τύρ, ἡ κατὰ τὴν ἑλληνικὴν κατάληξιν Τύρος· ἢ καὶ δι' ἑτέρας ἐκθλίψεως τῆ τ, ἀνθυπενεχθέντος τῆ σ, Σύρ· ἢ κατὰ προφορὰν ἀλλοίαν Σὼρ, ὃ καὶ παρὰ τοῖς Ἅραψι καθ' ἡμᾶς ὀνομάζεται. Διακρίνεται δὲ τῆς Παλαι Τύρα, τῆς, ἐπὶ Ἰησοῦ τοῦ Ναυῆ (ΚεΦ: ΙΘ. 29) ὑφισαμένης, ἡ Νέα Τύρος, ἐξ ἧς πολλαὶ πολλαχόσε ἐξερρύησαν ἀποικίαι, ὧν μία καὶ ἡ ἐν Καρχηδόνι αὕτη, περὶ ἧς ὁ λόγος, ἐπίσημος. Τῆς δὲ παλαιᾶς Τύρα ὑπὸ Ναβυχοδονόσωρος δι' ἐτῶν τρισκαίδεκα πολεμωμένης, καὶ τέως κατασκαφείσης, ἡ Νέα σωέση· ἦν δὲ ἑπτὰ μιλιῶν ὕστερον πολιορκήσας ὁ Μακεδὼν Ἀλέξανδρος ὑπηγάγετο. Ἐπὶ δὲ Ῥωμαίων κρατέντων ἔτι διασωζομένη μετρίως, ὑπὸ τῶν Λιγυπτίων Σελτάνων τὸ ἕκατον κατεσράφη, Ετ: 1291. καὶ νῦν κεῖται μέγα ἐρείπιον.

Στίχ: 375 ΤΗι ΔΕ ΠΟΣΙΣ ΣΥΓΧΑΙΟΣ ΗΝ κτ: Ὅνπερ αὐτοὶ Συγχαῖον ἐκφέρομεν, Διδὼς γεγονότα γαμέτῃ, Sichæum, Σιχαῖον διὰ τῆ ι ἁπλοῦ ὁ Ποιητὴς γράφει. Σιχάρβαν δὲ Φοίνικες προσηγόρδυν· καθάπερ εἰῶ οἱ αὐτοὶ καὶ Βῆλον τὸν Διδὼς γενετῆρα, καὶ τὴν Καρχηδόνα Καρθάδα κτ:

Στίχ: 377. ΤΩΙ ΜΙΝ ΚΟΥΡΙΔΙΗΝ ΟΙΩΝΟΙΣΙ ΖΕΥΞΕ κτ. Ἦν ἄθικτον εἶπεν ὁ Μάρων: Intactam: ὡς μηδενὶ μηπω ἀνδρὶ ὁμιλήσασαν, κηριδίην αὐτοὶ προσειρήκαμεν, ὃ λέγειν Ὁμήρῳ σώηθες. (Ἰλι: Α. 114 καὶ Λ. 243.) ὅια καὶ κηρίδιον ἄνδρα, ὥπερ ἂν σωαφθείη ἡ τὸ πρὶν ἄγαμος (Ὀδυσ. Ω 195. καὶ Ψ 130.) τὸ δ' οἰωνοῖς προσετέθη, ὅτι παρὰ Ῥωμαίοις τε καὶ Ἕλλησιν ἐκράτει, πρὸς πᾶν ὅ, τι δρᾶν ἐπικαλοιντο, οἰωνίζεσθαι πρότερον.

Στίχ: 379. ΠΥΓΜΑΛΙΩΝ κτ: Οὗτος τῆ πατρὸς αὐτῷ τετελευτηκότος, ἐκ παιδὸς Τυρίων ἐκράτει· ἦρξε δὲ ἔτεσιν ὅλοις ἑπτὰ πρὸς τοῖς τετταράκοντα,

Europâ, atque Aſiâ pulſus. Nec plura querentem
Paſſa Venus, medio ſic interfata dolore eſt.
Quisquis es, haud, credo, inviſus cœleſtibus auras
Vitales carpis, Tyriam qui adveneris urbem.
Perge modo, atque hinc te Reginæ ad limina perfer.
Namque tibi reduces ſocios, claſſemque relatam,
Nuncio, et in tutum verſis Aquilonibus actam:
Ni fruſtra augurium vani docuere parentes.
Aſpice bis ſenos lætantes agmine cygnos,
Aethereâ quos lapſa plagâ Jovis ales aperto
Turbabat coelo: nunc terras ordine longo,
Aut capere, aut captas jam deſpectate videntur.
Ut reduces illi ludunt ſtridentibus alis,
Et cætu cinxere polum, cantusque dedere;

Haud

❁ ❁ ❁

τα, δέκατος ἀπὸ Ἰράμ γεγονὼς, τῇ Σολομῶντι εἰς τὴν οἰκοδομὴν τῆς Ναῦ τὴν ξυλείαν ἐπιχορηγήσαντος. Ἀπὸ γὰρ τῆ Ἰράμ ἕς γ' ἐπὶ τὸν Καρχηδόνος συνοικισμὸν, ἔτη τρία πρός γε τοῖς ἑκατὸν ὁ Σκαλίγερος ἐχρονολόγησεν. (ἐν τοῖς Προλεγομέν. περὶ τῆς τῶν Χρὸν. Ἐπανορθ.)

Στίχ: 289. ΤΗΝ Δ' ΑΡ ΦΕΥΓΕΙΝ ΣΠΕΡΧΕ κτ: Εὐσάθιος ἐν ταῖς Παρεκβολαῖς (Κελεύει φεύγειν) ὁ δὲ Κεδρηνὸς ἐν τῇ κατ' αὐτὸν Ἱστορίᾳ, ἢ τὸ ῥηθὲν Διδοῖ παρὰ τῆ Εἰδώλῳ τῆ αὐτῆ ἐποφθέντος ἐκφράσασθαι ἐκ ἠμέλησε: (Καὶ εἶπεν αὐτῇ: φύγε, μὴ καὶ σε φονεύσῃ.) (Παρὰ τῷ Οὐιργ. Σχολιαστ. Κέρδη.)

Στίχ: 291. ΑΡΓΥΡΙΟΥ ΧΡΥΣΟΙΟ ΤΕ κτ: Ἤ, ὡς τὸ Οὐιργιλίῳ ἔπος κατὰ λέξιν ἀποδῶναι. Theſauros, ignotum argenti pondus et auri. Πλήθεσ, ἄγνωτον βάρος ἀργυρίῳ χρυσῆτε. Ἔνθα, τὸ μὲν pondus, ἤτοι τὸ βάρος, ἀντὶ τῆ πολλῆ καὶ μεγάλῃ πλήθει· ὅπερ ἐπὶ μετάλλων μάλιστα, καὶ Ἕλλησιν ὡσαύτως σεσημείωται εἰωθὸς λέγεσθαι· (οἷον παρ' Εὐριπίδῃ ἐν Ἱππολύτ.) ἢ σιδήρου, ἢ χρυσῆ βάρος· τὸ δὲ τῷ βάρει προσεπιτεθὲν, Ignotum, ἄγνωτον, ὑπ' ἀμφιβολίας τινὶ πίπτει καὶ παρ' αὐτῷ τῷ ἐπισήμῳ Σχολιαστῃ τῆ Μάρωνος Σερβίου· Πότερον ἆρα νοεῖν ᾤδει δήσει, τὸ πολὺ πλῆθος τῆ μετάλλου καὶ βάρος, ὅσον εἰδεὶς εἰδέποτε ἔγνω; quantum nullus unquam novit: ἢ τὸ λανθάνον; quod ignorabat Dido? ἤ, ὡς ἄντις εἰπεῖν ἔχοι, καὶ ἑκάτερον; τὸ καὶ καθ' αὐτὸ ἄπλετον, καὶ αὐτῇ δὲ Διδοῖ, ὅπερ τεταμίδυτο, ἀγνοούμενον;

Στίχ: 395. Ἢ ΧΑΛΕΠΗ' ΝΕΜΕΣΙΣ, ΔΕΟΣ Η' Τ' ΑΙΝΟΝ . . . . . Τετέχνιν, εἴτε μῆνις, κατὰ τινα δικαίαν ἀπέχθειαν εἴτε δειλία τις ἄλλως ὑπελθοῦσα καὶ φοβος. Τέτων γεμιὼ τῶν παθῶν το δεύτερον, καὶ τὸ πρῶτον πῶς συνεφέλκεται. Οὐδεὶς γὰρ φιλεῖ ὃν φοβῆται, ὡς Ἀριστ. ἐν τοῖς ῥητορικοῖς ἔφησε· καθάπερ ἔν, εἰ ἄντις φοβηθείη ὃν ἀγαπήσειεν. ὥσπερ γὰρ ἡ ἀγάπη ἔξω βάλλει τὸν φόβον, οὕτως ἐξ ἐναντίε ὁ φόβος εἰσκαλεῖσθαι πέφυκε τὴν δυσμένειαν. Καὶ πείθεσθαι δεῖ τῷ Δημοφίλῳ ἐκ τῶν Πυθαγορ. Γνωμῶν §. ΙΒ. παραινέντι· θέλε μᾶλλον τὲς σωόντας αἰδεῖσθαι σε, ἢ φοβεῖσθαι. Αἰδοῖ γὰρ πείσεσι σέβας, φόβῳ δὲ μῖσος.

Στίχ: 397. . . . . ΧΡΥΣΟΙΟ ΓΟΜΩΣΑΝ ΦΟΡΤΩ. Τὸ μὲν τῆ Συγχαίε εἴδωλον, καθμὸν ἡ βάρος ἄγνωτον ὑπεδείκνυ ἀργυρίε χρυσῆτε Στίχ. 391) Διδὼ δὲ τὸν χρυσὸν νῦν ἔοικε προελέσθαι εἰκότως, ἐκ τῆ τιμιωτέρε, ἧπερ οἱόντε ἦν, τὲς νῆας γομώσασα.

Στίχ: 401. ΑΡΤΙ Τ' ΕΠΑΙΡΟΜΕΝΗΝ ΚΑΡΧΗΔΟΝΟΣ . . . . . ΑΚΡΗΝ· Τὴν Καρχηδόνα διασημοτάτην πόλιν ἀπὸ Καρχηδόνος Φοίνικος, (Στέφαν. περὶ Ἐθν.) ὠνομᾶσθαι φησὶ καλεῖσθαι δὲ τὴν αὐτὴν, καὶ καινὴν πόλιν,

καὶ

Τιὼ δ' ἄρ φέυγειν σπέρχε, πατρῴαν γιῶ τ' ἀλεείνειν.
Ἤια δ' οἱ πόρε, τὰς περ χθὼν ὑποκεύθανε δείξας,
Ἀργυρίᾳ χρυσοῖο τε θησαυρὰς ἀϊδήλας.
Τοῖς ἐπορινομένη Διδὼ ῥὰ τιτύσκετο δῖα,
Δρασμὸν φραζομένη σιὼ ἑταίροις ἄμμιγ' ἑοῖσι.
Ξιὼ δ' ἔξαν σύμπαντες, ὅσοις ὠμοῖο τυράννε
Ἦ χαλεπὴ νέμεσις, δέος ἦ τ' αἰνὸν προενῆεν.
Καὶ νῆας δ' ὁπόσας παρεέσας τέτμον ἑτοίμας,
Αἶψα καταχόντες χρυσοῖο γόμωσαν φόρτῳ.
Τὼς ἐρασιχρύσε ἀρθείς διαπόντιος ἦκτο
Πυγμαλίωνος πλᾶτος, ὑφ' ἡγεσίῃσι γωαίε.
Οἱ δ' ἀφίκοντο ὅποι νιῶ ὄψεαι ἐυρέα τείχη.
Ἄρτι τ' ἐπαιρομένιω Καρχηδόνος ὑψόσε ἄκριω.
Ἐκ δ' ἐπρίαντο ἕδος, τὸ κάλεσσαν πράγματι Βύρσαν,
Ὅσσος

❁ ❁ ❁

καὶ Καδμείαν, καὶ Οἰνεσσαν, καὶ Κακκάβιω· ὅπερ ἔχατον, ἵππε σημαίνει κεφαλίω, τῇ ἐγχωρίω φωνῇ, καθότι τοιαύτη κεφαλὴ, ἐν τῷ τὰς πρώτας θεμελίας καταβάλλεσθαι ἀνωρύχθη· ἐνίκησε δὲ Καρχηδόνα λέγεσθαι μᾶλλον, καὶ Καθαργένιω, ἢ Καρθαγένιω οἰκειότερον Καρθάδα καὶ γάρ, ἢ Καρθὰ-Ἀδάθ, οἱ Φοίνικες τίω πόλιν ὠνόμαζον τίω νεόδμητον. (Ὅρα ἀνωΐε Στίχ. 325.)

Στίχ: 402. ΕΚ Δ' ΕΠΡΙΑΝΤΟ ΕΔΟΣ, ΤΟ ΚΑΛΕΣΣΑΝ ΠΡΑΓΜΑΤΙ ΒΥΡΣΑΝ. Τὸ μὲν πρῶτον Βόσραν, ἢ Βύσραν, οἱ ἱδρυσάμενοι Φοίνικες τῇ ἰδίᾳ Διαλέκτῳ προσεῖπον, ὃ σημαίνει φρούριον, καὶ ὀχύρωμα. Ἔλλιωες δ', ἢ δοκεῖ, μεταθέσει τῶν στοιχείε, Βύρσαν ὠνόμασαν ὅπερ ἐστὶ τὸ δέρμα. ἐξ οὗ εἰκὸς ἀναπλασθῆναι τὸν μῦθον τὸν ἐκ τῆς ὠνῆς τῶ χωρίε, ἐφ' ᾧ ἡ πόλις κτισθείη, τῆς Διδῶς δηλ: τοσεῖτον γῆς Ἰάρβαν τὸν τῆς, χώρας κρατοῦντα, εἰς συνοικισμὸν ἑαυτῇ αἰτησαμένης, ἐφ' ὅσον ἂν Ταύρε Βύρσα ἐπεκταθείη· εἶτα τίω δορὰν εἰς πάνυ λεπτὸν διελόσης ἱμάντα, καὶ χωρίον δὶ αὐτῶν περιειληφέναι, ὅσον σταδίων εἴκοσι (φασὶ) τίω περίμετρον, πρὸς ἵδρυσιν Ἄξεος ἱκανώτατον. Περὶ μὲν ἓν τῆς Βύρσης θαυμαστὸν ἐδέν, εἰ καὶ Μάρωνι τὰ ὅμοια πέπλασται· Ἀοιδοῖς γὰρ ἐφεῖται τοιαῦτα παίζειν. Τί δ' ὅτι καὶ τῶν Ἱστορίας συγγεγραφότων τινὲς τὸν μῦθον ἀνεμασσήσαντο; καὶ γὰρ τοι καὶ Ἰσξῖνος (ἐν Β. τῆς Ἐπιτομ. Κεφ. Ε.) τὰ περὶ τῆς Βύρσης τῆσδε ὁμοίως ἐξιστορῆσαι ἐκ ὤκνησε· καὶ Ἀππιανὸς (ἐν Α'. τῶν Καρχηδον· ἐν „αὐτοῖς προοιμίοις.) ὧδε γράφων: περιτεμόντες ἐς ἱμάντα ἕνα σενώτατον, „περιέθηκαν ἔνθα νιῶ ἐστὶν ἡ Καρχηδονίων Ἀκρόπολις, καὶ ἀπὸ τῆδε Βύρ„σα ὀνομάζεται. Ἦν ἐς τοσεῖτον ἔπειτα μεγέθης τε καὶ ἀκμῆς χωρῆσαι, ὁ αὐτὸς φησὶ (Αυτ. Κεφ: οθ. καὶ π.) ὥστε ἐξ αὐτῆς ἁλόσης ὑπο Σκιπίωνος, μυριάδας πέντε ἀνδρῶν τε καὶ γυναικῶν ἐξελθεῖν. Ἁλὰ γὰρ βέλτιον τῇ ἀνωτέρω προτεθείσῃ τῆ παρὰ Φοινίξιν ὀνόματος σημασίᾳ ἐμμένειν· ἢ καὶ τίω τῆ χωρίε ἐξώνησιν ὑποθεμένες, τοιῆτε τυχεῖν οἴεσθαι τίω πόλιν ὀνόματος, ὅτι ἐκ Βυρσῶν Ταυρείων, ἢ Βοείων, ἦν τότε τὸ κέρμα· ἢ καὶ παρὰ τὸ διὰ τῶν κτίωῶν ἀναλογίζεσθαι τὰς πάλαι τῶν ὠνίων Φιλεῖν τὸ τίμημα, τοῖς Βοσὶν αὐτοῖς, ἢ τέτων τοῖς ῥινοῖς προχρωμένες ἐν συναλλάγμασιν. Οὕτω γὰρ καὶ Ἀχαιοὶ παῤ Ὁμήρῳ πλεύσαντες ἐπὶ Λῆμνον ἐνίζοντο· Ἰλ: Η. 473.

„Ἄλλοι μὲν χαλκῷ, ἄλλοι δ' αἴθωνι σιδήρῳ,
„Ἄλλοι δὲ ῥινοῖς, ἄλλοι δ' αὐτοῖσι βόεσσιν.
„Ἄλλοι δ' ἀνδραπόδεσσι . . . . . .

Ὡς ἐξ Ὁμήρε καὶ Πλίν: μαρτυρεῖ, (Φυσ. Ἱς. Βιβλ: ΛΓ. Κεφ. α.) Καὶ περὶ Μασύλων δὲ Λίβιος (Βιβλ. ΚΘ.) ἱστορεῖ, βοσκήμασι παῤ αὐτοῖς διατίθεσθαι τὰς πράσεις. Ταύτῃ τοι καὶ Λάκωνες τὰ Πολυδώρε Βασίλεια τε-

Haud aliter puppesque tuæ, pubesque tuorum
Aut portum tenet, aut pleno subit ostia velo.
Perge modò, et quà te ducit via, dirige gressum.
Dixit; et avertens rosea cervice refulsit,
Ambrosiæque comæ divinum vertice odorem
Spiravere: pedes vestis defluxit ad imos:
Et vera incessu patuit Dea. Ille ubi matrem
Agnovit, tali fugientem est voce secutus.
Quid natum toties crudelis tu quoque falsis
Ludis imaginibus? cur dextræ jungere dextram
Non datur, ac veras audire ac reddere voces?
Talibus incusat, gressumque ad mœnia tendit,
At Venus obscuro gradientes aëre sepsit,
Et multo nebulæ circum Dea fudit amictu:
Cernere ne quis eos, neu quis contingere posset,
Moliri-ve moram, aut veniendi poscere causas.
Ipsa Paphum sublimis abit, sedes que revisit
Læta suas: ubi templum illi, centumque sabæo
Thure calent aræ, sertisque recentibus halant.
Corripuere viam interea quà semita monstrat.

Jamque

❀ ❀ ❀

τελευτησότος βιώνητα παρὰ τῆς ἀλέχθ ἐπρίαντο· (Παυσαν ἐν τοῖς „Λακων.) Ἀργύρε γὰρ ἐν ἰῷ πώποτε, οὐδὲ χρυσῦ νόμισμα κατὰ τρόπον „δὲ ἔτι τὸν ἀρχαῖον αντεδίδοσαν βῶς, καὶ ἀνδράποδα ἐξ ὧ προῆλθε καὶ „τὸ διὰ βοῶν ἀριθμῦ τὰς τῶν πραγμάτων ἐκτιμήσεις διασημαινεσθαι, ἐν„εαβοίων λεγομένων, καὶ δεκαβοίων, καὶ ἑκατομβοίων, κξ, ἃς ἰδεῖν ἐξὶν ἔκτε τῶν ὅπλων, ἃ Γλαῦκος πρὸς Διομήδιν ἠμείψατο· Ἰλ. Ζ. 235.

„Χρύσεα χαλκείων, ἑκατόμβοι ἐννεαβοίων.

Καὶ ἐκ τῆς ἑκατονταθυσάνε Διὸς Αἰγίδος, ἧς ἕκαστος τῶν θυσάνων, ἤτοι τῶν κροσσῶν, ἦν ἑκατόμβοιος. Ἰλ: Β 449: Καὶ ἐξ ὧν δὲ Λυκάων ὁ τῦ Περιάμε ἀνεμίμνησκεν Ἀχιλλέα, ὅσε διεπεράθη εις Λῆμνον ἠγαθείν: Ἰλ; Φ. 79. Ἑκατόμβοιον δὲ τοι ἦλφον.

Στίχ: 404. ΑΛΛ' ΥΜΕΣ ΤΙΝΕΣ . . . . . Οὐχ ἁπλῆτις, ἐὸ ἄσκοπος ἡ ἐρώτησις, φησὶ Δονάτος· Ἀλλ' ἐπιτηδέυει τιὼ ἀγνοιαν ἡ Θεὸς ἵνα κρύψῃ, καὶ τοι ἐκ ἔλαθεν· ἐπεὶ καὶ ὑπολαβὼν ἄυθις Αἰνείας Θεὰν ὀνομάζει· τὶ οὖν ἐχομένως πρὸς αὐτὶὼ διαλέγεται, ὡς δαιῖσι τὰ κὰτ' αὐτὸν δεομένιω; ἢ ὅτι μίαν εἶναι (κατὰ Σέρβιον) ἐτόπαζε τῶν Νυμφῶν, ὡς ὑφωρᾶτο καὶ ἀνωτ. Στίχ: 360. Τὰς γάρτοι Νύμφας πολλὰ μὲν εἰδέναι ᾤοντο, πάντα δ' ἐχὶ· ὡς ἐὸ ἀθανάτες ἠγῦντο, ἀλλ' ἢ μόνον μακραίωνας, καθάπερ δὴ καὶ τὲς Πάνας, καὶ τὲς Σατύρες, καὶ ὅσα τοιαῦτα μυθικὰ ἄλλα Κνώδαλα.

Στίχ: 412. ΑΙΝΕΙΑΣ . . . . ΑΜΥΜΩΝ κτ: Οὐ περιαυτολογῶν ὧδε πρὸς ἐδὲν δέον Αἰνείας ἑαυτὸν ἐπαινεῖ, ὑπὸ δὲ τῶν περιστάντων πραγμάτων ἐκβιαζόμενος. Ἵνα μὴ τινα τῶν ἀταθάλων αὐτὸν καὶ παλαμναίων, ἐπὶ λύμῃ τε καὶ ὀλέθρω τῆς χώρας ἥκοντα ὑπολάβοιεν, χρηςότητά τε καὶ ἐπιείκειαν, μᾶλλον δὲ καὶ ἐυσέβειαν· sum pius Æneas, ἑαυτῷ ἐπιμαρτυρεῖ, ἥν ἐκ ἔστν ὃς ἐπαγγέλλεθαι ἐκ ὀφείλει καὶ λόγοις καὶ πράξεσιν. Ἔπειτα δὲ, μηδέτις ἀγνὼς πάντη καὶ ἄϊςος εἶναι προσθεὶς, ὡς καὶ μάλα ἐκ τῆς Φήμης περιφανὴς ὢν καὶ διαβόητος, ὅστις τε δὴ, καὶ οἷος εἴη, καὶ ὅτε ἕνεκα τὸν πλῶν ἀναβαίλοιτο· καὶ ὅπως ἐνθάδε ἀρίκοιτο, παραδηλῶ· οὕτω πως ἐν Ὀδυσσεὺς παρ' Ὁμήρῳ, ἐντυχὼν Ἀλκινόῳ. Ὀδ. I. 19.

„Εἰμὶ

Ὅσσος ὁριθείη ταυρείῳ δέρματι χῶρος.
Ἀλλ' ὔμες τίνες; ἠδ' ὅθεν; ἠδὲ τε ποῖποτ' ἰόντες;
Τιὼ δ' ὁ βαρυξενάχων βύθιον, προσαμείβετο τοῖα:
Αἴκεν ἄρ ἐξερέοιμι, Θεά, ἀρχῆς ἀπὸ πρώτης,
Καὶ χολὴ ἡμετέρους καμάτους πέρι δ' ἔσκε δαῆναι,
Πρίν κεν ἐνικλείσειεν Ὀλύμπῳ Ἕσπερος ἦμαρ.
Ἡμᾶς ἐκ Τροίης (εἰ σφὶν ποτ' ἐς ἄστα ἦλθεν
Οὔνομα τὸ Τροίης.) πελάγη παντοῖ ἀναπλῶντας,
Χειμῶνος ῥὰ βίη Λιβυκὰς ἀκτὰς προτὶ ἔλσεν.
Αἰνείας μὲν ἐγὼ σοι ἀμύμων εὔχομαι εἶναι,
Ὅς ῥὰ Θεὰς πατρίους δηΐων χειρὸς ἀπέρας,
Ἐν νήεσσι φέρω· καὶ μευ κλέος οὐρανὸν ἵκει.
Ἰταλίῃ δίζω, πάτρῃ τε, Διὸς τε γενέθλῃ.
Δίς δέκα μέν Φρύγιον σὺν νήεσι πόντον ἀνήχθην,
Μητέρος ἡγεσίῃσι Θεᾶς κατὰ πᾶσαν ὑπείκων,
Ἑπτὰ δὲ μοι περίεισ' ὧν φέσατο κῦμα, καὶ Εὖρος.
Νῦν δ' ἀγνὼς τ' ἄπορός τε ἄγω Λιβυκὰς δι' ἐρήμους,
Εὐρώπης τ' Ἀσίης τ' ἐλαθείς. Τὰ δ' ἀλλ' ἐπέκεινα
Τῶς ὀλοφυρομένῳ, Ἀφροδίτη ὅτι τετλᾶσα,
Φθέγξαθ' ὑποβλήδην, ἄπο ἄλγεα μέσσα τεμοῦσα.

Ὅς



❁ ❁ ❁

„Εἰμὶ Ὀδυσεὺς Λαερτιάδης, ὃς πᾶσι δόλοισιν
„Ἀνθρώποισι μέλω· καὶ μευ κλέος οὐρανὸν ἵκει.

Στίχ: 415. ΙΤΑΛΙΗΝ . . . . ΠΑΤΡΗΝ . . . . ΔΙΟΣ ΓΕΝΕΘΛΗΝ. Τρία ταῦτα ζητεῖν, φησί: τιὼ τε Ἰταλικιὼ πλατύτερον χώραν, καὶ πατρίδα ἰδιαίτερον τιὼ ἐν Ἰταλίᾳ, Κόρυτον ταύτιω, Ἐτρυρίας πόλιν, ἢ Θυσκίας· τιὼ Δαρδάνῳ τῷ ἐξ αὐτῆς ὁρμηθέντι, καὶ αὐτῷ δ' ἐκ ἦκιστα Αἰνείᾳ, ὡς Δαρδάνῳ ὄντι ἀπογόνῳ, προσηκόσαν. Καὶ Διὸς δὲ γενέθλιω, ἤτοι τιὼ ἐκ Διὸς γενεᾶν· ὅτι Δάρδανος ὁ Τρῳαν ὕστερον κτίσας, ἐκ Διὸς ἰῶ καὶ Ἠλέκτρας, πρὸς ὃν καὶ αὐτὸς Αἰνείας ἀνήγετο. (Ὅρα ἄνωτ: Στίχ: 257.)

Στίχ: 416. . . . . ΦΡΥΓΙΟΝ . . . . ΠΟΝΤΟΝ . . . . Τὸν Ἑλλήσποντον ἐν τούτοις λέγει, ὃς πέρας καθίσταται τῶν δύο Φρυγιῶν τῇ Ἐλάσσονι, ἀπὸ ἡλίῳ δυσμῶν· ἐν ᾗ πόλεις τὸ Δαρδανον, καὶ τὸ Ἴλιον. Ἡ γάρτοι Λυκίας μεταξὺ καὶ Καππαδοκίας ἐξ Ἀνατολῆς ἐπὶ δύσιν ἐφαπλωμένη, ἡ μεγάλη Φρυγία ὑπῆρχεν, ἐφ' ἧς Γόρδιος τὸ παλαι καὶ Μίδας ἦρξαν· ἐφ' ἧς τε ὕστερον, τῶ ἐκ Γαλατίας ἐκδρομόντος ἔθνους μοῖρα, κάπι τὰ πρὸς Ἀνατολὰς νεύοντα τῆς Εὐρώπης μεταναστάντος, διαβάντες ὠκίθησαν· ἐξ ὧν δὴ τέτων, καὶ Ἀγκύρας τῆς οἰκοδομηθείσης ἐνταῦθα πόλεως, μετωνομάθη ἡ χώρα Ἀγκυρογαλάτεια.

Στίχ: 417. ΜΗΤΕΡΟΣ ΗΓΕΣΙΗΣΙ ΘΕΑΣ . . . . . Καὶ ταῦθα πάλιν Αἰνείας ἑαυτὸν ἐκθειάζει, θεογενής τις εἶναι σαφῶς ἐμφαίνων, καὶ θεοφιλής, ἢ θεοπειθής· τὸ μὲν, ὅτι Θεὰν ἔσχε μητέρα· τὸ δ', ὅτι καὶ τῆς ἐξ αὐτῆς ἦν ἀπολαύων προνοίας· τὸ δὲ τέως, ὅτι καὶ ταῖς αὐτῆς ἡγεσίαις ἐτύγχανε πειθαρχῶν· ὅθεν καὶ τοσέτοις ἑαυτὸν δεινοῖς φέρων ἐνέβαλε, καὶ τοσέτῳ περιέπεπτωκε ναυαγίῳ, δι' οὗ, ὥνπερ εἶχε νηῶν τιὼ ἀρχιὼ ἐκπλεύσας, μόλις τὸ τριτημόριον περιέσωσεν.

Στίχ: 418. . . . . ΕΥΡΟΣ. Ὁ μεταξὺ Βορρᾶ καὶ Ἀπηλιώτη πνέων, ὃς δὴ καὶ ταύτη γε, φέσασθαι τῶν λοιπῶν ἑπτά νηῶν, εἰκότως ἂν λέγοιτο, τῶν Αἰνεία, καθ' ὅτι ἀντίπνους αὐτῷ φερόμενος πεύδοντι ἐπὶ Ἰταλιας, ἔρος τε καὶ φορὸς ὁμῶς ἐγίνετο, ὡς ἐπὶ τιὼ Ἀφρικιὼ καταχθιῶσι.

Στίχ:

Jamque aſcendebant collem, qui plurimus urbi
Imminet, adverſas que aſpectat deſuper arces.
Miratur molem Aeneas, magalia quondam:
Miratur portas, ſtrepitumque, et ſtrata viarum,
Inſtant ardentes Tyrij. Pars ducere muros,
Moliri que arcem, et manibus ſubvoluere ſaxa:
Pars optare locum tecto, et concludere ſulco.
Jura, magiſtratusque legunt, ſanctumque ſenatum.
Hîc portus alij effodiunt: hîc alta Theatris
Fundamenta locant alii; immanesque columnas
Rupibus excidunt, ſcenis decora alta futuris.
Qualis apes aeſtate novâ per florea rura
Exercet ſub ſole labor, cùm gentis adultos
Educunt fœtus; aut cùm liquentia mella
Stipant, et dulci diſtendunt nectare cellas;
Aut onera accipiunt venientum, aut agmine facto,
Ignavum fucos pecus à præſepibus arcent.
Fervet opus, redolent que thymo fragrantia mella.
O fortunati, quorum jam mœnia ſurgunt,
Aeneas ait, et faſtigia ſuſpicit urbis.
Infert ſe ſeptus nebulâ (mirabile dictu)
Per medios, miſcetque viris, neque cernitur ulli.

Lucus

❁ ❁ ❁

Στίχ: 423. ὌΣ ΚΕΝ ΤΕΟΙΣ, ΟΥΤΟΙ ΣΕ ΟΙΩ κτ: Οὕτω καὶ Ἀθίωᾶ ὑπὸ τῆ μορφῆ τῦ Μέντορος, Ὀδυσσέα παρεμυθεῖτο, ἡ χρηταῖς ἐλπίσιν ἐρώννυ. Ὀδ. Γ. 27.

„. . . . . Οὐ γὰρ ἐίω,
„Ὄυσε Θεῶν ἀέκητι γενέθαι τε τραφέμεντε.

Καὶ τὸ ὑπὸ Ναυσικάας δὲ, ὑπὲρ τῦ αὐτῦ Ὀδυσσέως ταῖς ἀμφιπόλοις ῥηθὲν, ἐπὶ τρίτε προσώπε, χεδὸν ὅμοιον. Ὀδυσ. Ζ. 240.

„Οὐ πάντων ἀέκητι Θεῶν, οἳ Ὄλυμπον ἔχεσι,
„Φαιήκεσσ' ὀδ' ἀνὴρ ἐπιμίσγεται ἀντιθέοισι.

Στίχ: 425. ἈΛΛ' ἼΘΙ· ἘΣ ΔΕ ΘΎΡΑΣ ΣΠΕΎΣΟΝ . . . . . ἈΝΆΣΣΗΣ. Καὶ Ἀθίωᾶ δὲ Ὀδυσσεῖ ὡσαύτως: Ὀδυσ. Γ. 17.

„Ἀλλ' ἄγε νῶ ἴθυς κίε Νέςορος ἱπποδάμοιο.

Στίχ: 427. . . . . ΒΟΡΈΑΟ ΤΡΟΠΗΪ́ΣΙ . . . . Εἰς γὰρ Βορέᾶν ἄνεμον τὸ πνεῦμα τραπέν, οὔριον τῆ λοιπῆ ταῖς σαῖς, φησὶν, ἔσαι νήεσι πρὸς τὸν ἐνθάδε κατάπλεν.

Στίχ: 429 . . . . ΔΥΟΚΑΙΔΕΚΑ ΚΎΚΝΟΥΣ. Πάντοθεν τὸ πιςὸν ἡ βέβαιον κατασκευάζει τῷ οἰωνίσματι. Καὶ γὰρ τοι καὶ Κύκνοι εἰσὶν οἱ ὀφθέντες, ἐς δεξιὸς ἀεὶ, φασὶ, τοῖς πλωτῆρσι καθιπταμένοις ὁρᾶθαι. τὸ γὰρ πτίλωὸν καὶ τῶν ὑδροχαρῶν πεφυκὸς, ἐδέποτε καταδύεται. Καὶ ἰσάριθμοι δ' οἱ ὄρνεις ταῖς μὴ παρέσαις ἐπεφάνησαν ναυσὶ. Καὶ ὑπὸ τῆ Ἀετῆ δὲ, ὥσπερ ὑπὸ τῆ αὐτῆ αἱ νῆες, σεσοβημένοι, εἶτα μετὰ γήθες ἐπὶ γῆς καταπτάντες, τὰ σωτήρια ἐκελάδησαν. Σεσημείωται δὲ καὶ τὸ Ἀετῶν γένος, πρὸς, τὸ τῶν Κύκνων ἀεὶ πεφυκέναι πολέμιον· παρ' ὅσον, τῆς μὲν μάχης οἱ Κύκνοι ἐδέποτ' ἄρχονται, ἑτοίμως δ' ἔχσιν ὅμως Λητοῖς ὁμόσε χωρεῖν, καὶ ἀντιπαλαίειν, ἀρχομένοις ἀδίκων. (Ἀριστ. περὶ Ζῶ. Ἰσορ. καὶ ἐξ αὐτῆ Αἰλιαν' καὶ ἄλλοι

Στίχ: 430. . . . . ὌΡΝΙΣ ΖΗΝΌΣ . . . . Ὁ Ἀετὸς ἔτω καλεῖται, ὅτι Ζηνὶ ἐν τῆ κατὰ τῶν Γιγάντων μάχη, οἷον ὑπασπιςὴς ὑπηρέτης, τὸς κεραυνὸς ἐπώρεγε

Ὅς κεν ἔοις, ἔτοι σε οἴω Οὐρανίωσιν
Ἐχθρὸν ἐόντα ϛιῶ, Τυρίων πτόλιν ἐνθάδ' ὃς ἵξαι.
Ἀλλ' ἴθι· ἐς δὲ θύρας πεῦσον γ' ἐφικέσθαι ἀνάσσης·
Σοὶ γὰρ ἐγὼν ἑτάρους παλινόϛους, καὶ νέας αὐτὰς
Ἀγγέλλω, βορέαο τροπῆσι σάως ἠκέσας·
Ἢν οἰωνοπολεῖν μὴ μάψ τοκέες μ' ἐδίδαξαν.
Ἄθρει γηθεῦντας πτήσει δυοκαίδεκα Κύκνους,
Οὓς ὄρνις Ζηνὸς πεποτηὼς σεῦε κατ' αἴθριον, 430
Νῶϊ δ' οἳ ἐπιχερὼ, ἄϑ, αἱρεῖσθαι ὅποι γῆς ϛεῖεν,
Εἶτ' ἀνὰ, τιὼ προέλον, σκοπέεσθαι γῆν δοκέουσιν·
Ὡς τ' ἐπαθύρσιν τετριγυίαις πτερύγεσσιν,
Ἐμπαλίνορσοι δὲ ϛέψαν πόλον, αὐτὰρ ἄεισαν,
Τὼς σέο καὶ νῆες, καὶ πᾶσα τεὴ νεολαίη, 435
Ἣ τ' ἔχον λιμέν', ἢ πλησίϛιοι ἐς λιμέν' εἰσίν.
Νῶϊ δ' ἴθι· οἳ δ' ἀτραπὸς σε ἄγει ποτὶ ἴχνεσι χώρου.
Ἦ, καὶ ϛρεψαμένης δειρὴ ϛίλψεν ῥοδόεσσα.
Ἀμβρόσιαι δ' ἄρ' ἔθειραι ἀϋτμιὼ θεσπεσίω γε
Κρατὸς ἄπο πνεῦσαν, πόδας οἱ δ' ἐθὴς κατὰ ῥεῦσε, 440
Καὶ γ' ἐτεὸν Θεὸς, ἔκ ῥα βάδος, ἔκδηλος γέντο.
Αὐτίκα δ' Αἰνείας, ὡς μητέρα δὴ σάφα ἔγνω,

Τοιά-

❁ ❁ ❁

ἐπώρεγε Φέρων. ἦ, παρὰ τὸ θερμὸν τῆς κράσεως καὶ διάπυρον. Διὸ ἀδ' ἀετὲ, φασὶν, ὄψεσιν ἥλιος λωβᾶται ἀσκαρδαμυκτὶ πρὸς αὐτὸν ἀτενίζοντος· Καὶ ἀδ' ἀετῷ ἐν ὄρνισιν ἅπτεται κεραυνὸς, ὡς ἀδ' ἐν φυτοῖς, φασὶ, δάφνης· ἐξ οὗ καὶ ὁ μὲν, εἰς ὁπλῆχον καθίϛαται τῷ Θεῷ, τὸν σκηπτὸν προχειρίζων, ἡ δὲ εἰς ϛέμμα, καταγλαΐζουσα. Ἢ καὶ διὰ τὸ τῆς πτήσεως ὑπερνεφὲς καὶ αἰθέριον. Καὶ γάρ τοι καὶ εἰκὸς ἰῷ ἀνακεῖσθαι τῷ πρώτῳ τῶν Θεῶν καὶ ὑπάτῳ, τῶν πτιλωῶν τὸ ὑπέρτατον.

Στίχ: 438. . . . . ΔΕΙΡΗ ΣΤΙΛΨΕΝ ΡΟΔΟΈΣΣΑ. Οὐκ ἄρα τὸ ῥοδόχρων μόνῃ τῇ καθ' Ὁμηρον ῥοδοδακτύλῳ Ἠοῖ ἀφωσίωται, ἀλλὰ καὶ Θεαίναις ταῖς ἄλλαις ἡ ποίησις αὐτὸ προσανάπτει, καὶ Νύμφαις ἔτι. Καὶ γὰρ Ἀνακρέων ἐν ἔπει ΝΓ.

„Ῥοδοδάκτυλος μὲν Ἠὼς,
„Ῥοδόχρως δ' Ἀφροδίτη,
„Ῥοδοπήχεις δὲ Νύμφαι.

Οὐχ ὅπως δὲ, ἀλλὰ καὶ ταῖς ἐκ θνητῶν γενομέναις θηλείαις ἑδὲν ἧκισα. Καὶ γὰρ καὶ Μοσχος ἥδε, ϛίχ. 114.

„Ῥοδοειδέα δάκτυλα κόρης.

Στίχ: 439. ΑΜΒΡΟΣΙΑΙ Δ' ΑΡ ΕΘΕΙΡΑΙ κτ: Καὶ παρ' Ὁμήρῳ, Ἰλ: Α. 529.

„Ἀμβρόσιαι δ' ἄρα χαῖται ἐπερῤῥώσαντο ἄνακτος.

Ἀλλ' ὁ μὲν, διὰ τῆς ἀμβροσίας τὸ θεσπέσιον καὶ ἀκήρατον, ἢ καὶ τὸ καταπληκτικὸν, τῆς τε Διὸς ἐνέφηνε χαίτης· ὁ δὲ ἡμέτερος ὧδε, τὸ ἐυῶδες τε καὶ ἡδύπνεον τῆς ἐν ἀέρι διαχεθείσης αὐτμῆς, ἀπὸ τῶν ἐθειρῶν τῆς Θεᾶ ὑπεσήμηνεν· εὔοσμος γὰρ καὶ ἡ ἀμβροσία· καθ' ὃ καὶ παρὰ Πλατ' ἐν τῷ περὶ Ἴσιδ: ἀποφορά τις εἴρηται χρωτὸς ἀμβροσίαν πνέοντος.

Στίχ. 441. . . . ΕΚ' ΡΑ' ΒΑΔΟΥΣ ΈΚΔΗΛΟΣ . . . . Οὐ γὰρ τῷ πόδε διαίροντας, καὶ ἀμοιβαδὸν μεθιϛῶντας, τὲς Θεὲς βαδίζειν ἐμύθευσαν, ἀλλὰ συνεχῶς τε καὶ ῥύδην, ἔτω πως εἰπεῖν, προϊόντας· ὥπερ Καλάσιρις ὁ Αἰγύπτιος Ἱεροφάντης παρ' Ἡλιοδώρῳ ἐδίδασκεν· (ἐν τοῖς Αἰθιοπ· Βιβλ: Γ.) Τὅτο δὲ τυχὸν, ὅτι τὲς πόδας συμβεβηκότας ἀλλήλοις ἔχοντα καὶ μὴ διεϛῶτας, τὰ τῶν Θεῶν ἀγάλματα οἱ παλαιοὶ παρίϛων, πρὸ τῆ ἐπὶ

Lucus in urbe fuit mediâ, lætiſſimus umbrâ,
Quò primum jactati undis et turbine Pœni
Effodere loco ſignum, quod regia Juno
Monſtrarat, caput acris equi: ſic nam fore bello
Egregiam, et facilem victu per ſæcula gentem.
Hic templum Junoni ingens Sidonia Dido
Condebat, donis opulentum, et numine Divæ;
Ærea cui gradibus ſurgebant limina, nexæque
Ære trabes: foribus cardo ſtridebat ahenis.
Hoc primum in luco nova res oblata timorem
Leniit: hîc primum Æneas ſperare ſalutem
Auſus, et afflictis melius confidere rebus.
Namque ſub ingenti luſtrat dum ſingula templo,
Reginam opperiens; dum quæ fortuna ſit urbi,
Artificumque manus inter ſe, operumque Labores
Miratur, videt Iliacas ex ordine pugnas
Bellaque jam famâ totum vulgata per orbem:
Atridas, Priamumque, et ſævum ambobus Achillem.
Conſtitit, et lacrymans: Quis jam locus (inquit) Achate,
Quæ regio in terris noſtri non plena laboris?

En

❋ ❋ ❋

τὸ ἐντελέστερον τῷ ἀγαλματοποιητικῷ ἐπιδόσαν, οἱόντινα κίνησιν καὶ τοῖς ἀψύχοις ἐπιχαρίσασθαι· Οὕτως οἰῶ καὶ ὁ Ὁμηρικὸς Ποσειδῶν, κραιπνὰ ποσὶ προβιβὰς προήει. (Ἰλ. Ν. 18.) ἀπιὼν δὲ ἔπειτα, (αὐτ; 62.)

„Αὐτὰρ ὃ ὡς τ' Ἴρηξ ὠκύπτερος ὦρτο πέτεσθαι

Συνεχεῖ ἀμέλειτοι χρησάμενος τῇ ὁρμῇ, ἢ ἐχὶ διὰ τῆς ἐπαλλήλου τῶν ποδῶν μεταβάσεως. ἄλλως τε δὲ, καὶ τὸ τὰς Θεὰς διαγιγνώσκεσθαι ἀπιόντας μᾶλλον ἢ παρεόντας, (ὅπερ ὧδε ποιεῖ Ὀυιργίλιος, τῆς σρεψαμένης Κύπριδος, λέγων, τῷ δεῖξαι ἀποσίλψαι,) ἐξ Ὁμήρου καὶ τόδε ἔχε παρειληφὼς· παρ' ᾧ Αἴας ὁ Ὀιλέως πρὸς τὸν Τελαμῶνος φησὶν, (Ἰλ. Ν. 71.)

„Ἴχνια γὰρ μετόπισθε ποδῶν, ἠδὲ κνημάων

„Ῥεῖ ἔγνων ἀπιόντος. ἀριγνωτοὶ δὲ Θεοίπερ.

Στίχ. 444. ΤΙΊΠΤΕ ΤΑ, ΝΗΛΕΙΗΣ, κτ: Τοιὰ δὲ καὶ παρ' Ὁμήρῳ Ἑλένη πρὸς Ἀφροδίτην, τῇ εἰρομένῳ μὲν γρηῒ ἐισαμένην· (Ἰλ. Γ. 399.)

„Δαιμονίη, τί με ταῦτα λιλαίεαι ἠπεροπεύειν;

Καὶ Ὀδυσσεὺς ὁμοίως· Ὀδυσ. Λ. 209. πρὸς τὴν Ἀντίκλειαν·

„Μῆτερ ἐμὴ, τί σὺ μ' ὦ μίμνεις ἐλέειν μεμαῶτα,

„Ὄφρα καὶ εἰν ἀΐδαο φίλας περὶ χεῖρε βαλόντε

„Ἀμφοτέρω, κρυεροῖο τεταρπώμεθα γόοιο;

Στίχ. 448 ς . . . . . ΗΕΡ ΕΦΗΚΕΝ,

449. ΗΔ' ΕΠΙΧΕΤΑΜΕΝΗ, ΠΥΚΝΗΝ ΑΜΦΕΣΣΑΤ' ΟΜΙΧΛΗΝ.

Ὡδέπως καὶ παρ' Ὁμήρῳ Ὀδ. Η. 14.

„ . . . . . Ἀμφὶ δ' Ἀθηὴ

„Πομπὴν ἠέρα χεῦε. φίλα φρονέουσ' Ὀδυσῆι,

„Μήτις Φαιήκων μεγαθύμων ἀντιβολήσας,

„Κερτομέοι τ' ἐπέεσσι, καὶ ἐξερέοιθ' ὅς τις εἴη.

(Καὶ Ὀδυσ. δ' ἔτι Η. 41. καὶ Ν 189.) Παραπλησίως δὲ καὶ οἱ ἐπὶ τῆς Ἀργοῦς πλωτῆρες ὑπὸ Ἥρας ἐκρύπτοντο (Βιβλ. Γ. τῶν Ἀργοναυτ.) ὄφρα „λάθοιεν Κόλχων ἔθνος.

Στίχ: 452. Η ΔΕ ΠΑΦΟΝ κτ: Πόλις Κύπρου ἡ Πάφος, κτίσμα Κινύρου Βασιλέως Συρίων. (Ἀπολλόδ. Γ. Κεφ: ΙΔ.) Ἀνέκειτο δὲ Ἀφροδίτῃ, διὰ τὸ ἐξ

ἁλὸς

Τοιὰ δ' ἀποιχομένῳ λαχὴ ἐπιέσσετο ἄνων.
Τίπτε ῥά, νηλειὴς, τοσάκις σὸν φάσμασιν υἷα,
Ψευδέσι παίζεις; ἀδὲ δίδως χερὶ χεῖρα σιώπῃ;
Οὐδ' ἐτὸν ἐς ἔπος, ἠμὲν ἀκούσαθ', ἠδ' ἀποδῆναι;
Τοῖα δ' ἐνίψας, ἐυθὺ πόλινδ' ἐὰ ἴχνια τείνε.
Τοῖς δ' ἐπινεισσομένοις Ἀφροδίτη ἠέρ' ἐφῆκεν,
Ἠδ' ἐπιχευαμένη πυκνὶῳ ἀμφέσσατ' ὀμίχλῳ,
Μήτις τὰς ἐσίδοι, μηδ' ἀντιόων δὲ κιόντοιν
Ἄμβλησιν τετύκοι, περὶ δ' ἐξερεείνοι ὁδοῖο.
Ἥδὲ Πάφον βαίνεσκε μετάρσιος, αὖδ' ἀναλεῦσσεν
Ἂς ἕδρας γηθεῦσα, νεὼς ἵνα ὁι δεδόμητο·
Ἔνθ' ἑκατὸν βωμοὶ θυέεσσι κάοντο Σαβαίοις,
Ἄνθεσὶ θ' ἡδίστῳ ὀδμὶῳ πνέον ἀρτιθαλέσσιν.
Οἱ δὲ τέως χώρευν τιὼ δ' ἀτραπὸν, ἣ σφέας ἦγεν.
Ἄμβαινον δ' ἤδη λόφον, ὃς πολὺς ἔχ' ὑπέρ ἄξυ,
Οὖτ' ἄντιῳ ἀΦ' ὕπερθεν ἄποπτον σύμπαν ὁρᾶτο.
Θηεῖτ' Αἰνείας βάριας, τὰς πρόσθε Καλύββας·
Θηεῖτ' αὖ δὲ πύλας, ὅμαδόντε, ϛρωτὰ τ' ἀγυιῶν.
Σπέρχοντ' ὁτραλέως Τύριοι δὴ τεῖχος ἐλάυνειν,
Πυργῶν τ' ἄκριῳ· χερσὶ δὲ λᾶας προπροκυλίνδων.
Οἱ δὲ τέγας χώριῳ ἥροῶτο, καὶ ὠλκὶ ἔεργον.
Θεσμὰς δ' ἐξελέγοντο, θεμιϛοπόλας τ' ἐπὶ τάσσον



❁ ❁ ❁

ἀλὸς προελθεῖσαν πρῶτον, ἔπειτα, φανῆναι ἐν αὐτῇ, ὅθεν καὶ τὸ Παφίη καλεῖσθαι ἔχειν· ἔνθα καὶ διαφερόντως ἐτιμᾶτο ἐν βωμοῖς ἀναιμάκτοις, ἀνθέωντε ποικίλων πνοιῇς ἡδυτάταις, καὶ θυμιάμασιν ἀρωμάτων, ἔσα γῆ Σαβαίων ἐνφέρει. Ἦν δὲ Πάφος ἀρχαιοτέρα μὲν, ἡ περὶ ἧς ὁ λόγος, ἡ καὶ Παλαίπαφος· μεσόγειος αὕτη· ἡ δὲ νεωτέρα, παραλία ἔσα, ϛαδίοις ἑξήκοντάπε ἐκείνης ἀπέχουσα. Ἐν ταύτῃ δὴ Σέργιος Παῦλος διῆγεν ὁ ἀνθύπατος, καὶ Ἐλύμας ὁ μάγος· (Πράξ Κεφ: Ιγ΄) ὧν ἡ τῷ δευτέρῳ ἐνσκὴ ψασα τύφλωσις, τὲς νοερὲς ὀφθαλμὲς τῆ πρώτε πρὸς Θεογνωσίαν διήνοιξεν.

Στίχ: 459 . . . . . ΒΑΡΙΑΣ ΤΑΣ ΠΡΟΣΘΕ ΚΑΛΥΒΒΑΣ. Αἰνείας μὲν ἐθαύμαζεν ὁρῶν τῶν οἰκοδομημάτων τὸ μέγεθος καὶ τὸ κάλλος· ὁ δὲ Ποιητὴς, ὡς ἐκ τῆς Μούσης ἐμπνεόμενος, καλῶς ἤδει, ὅτι ἔνθα αἱ Βάρεις, ἦδεν πλέον ἢ ἐυτελεῖς καὶ ἀγροικικαὶ Καλύβαι ὑπῆρχον πρότερον. Καλύβας σιὼ αὐτὸι ἀπεδώκαμεν, ἅπερ ὁ Μάρων εἶπε magalia. Ἡ δὲ φωνὴ, τὰ Μαγάλια, τῆς Φοινίκων γλώσσης ἐϛὶ παρ' οἷς Μάγαρ, φασὶ, λέγεται τὸ χωρίον· ἐξ οὗ Μαγάρια, καὶ τροπῇ τῆ ρ εἰς τὸ λ, Μαγάλια. Διακρίνουσι δὲ τῶν Μαγαλίων τὰ Μαπάλια· ταῦτα γάρ εἰσιν ἁπλῶς αἱ ἀγρωτικαὶ Καλύβαι, ἐκεῖνα δὲ, αἱ τῶν Ἄφρων·

Στίχ. 460. ΘΗΕΙΤ' ΑΥ΄ ΔΕ ΠΥ΄ΛΑΣ . . . . Τὰ εἰς κατασκευὴν πόλεως, οἷαν ὁ Ποιητὴς ἐνταῦθα διατυπῶται, Ἀρτεμίδωρος ἐν Βιβλ: Α: Κεφ: Ε. (παρὰ Κέρδῃ τῷ Μάρωνι Σχολιαϛῇ) καταλέγων, λιμένας ἀναφέρει, τείχη, ἀγορὰς, γυμνάσια. Ἐν δὲ τῷ Γ. Βιβλ: Κεφ. ΞΓ. πρὸς τοῖς εἰρημένοις, καὶ θέατρα, προάϛεια, πλατείας, τεμένη, περιπάτους· ἃ δὴ πάντα, κοινά τινα ὀνομάζει πόλεως ἀναθήματα. Παραπλησίως δὲ ϰ' Πλάτων ἐν τῷ ϛ΄. Τῶν Νόμων, περὶ τῶν εἰς κατασκευὴν πόλεως ἀπαιτεμένων διαλεγόμενος, λιμένων μέμνηται, ἀγορᾶς, κρηνῶν, Ἱερῶν, κτ: Καὶ Φίλων δὲ, ἐν τῷ περὶ Δημιουργίας Κόσμου τὰ αὐτὰ διεξέρχεται: Ἱερὰ, γυμνάσια, πρυτανεῖα, ἀγορὰς, λιμένας, νεωσοίκους,

En Priamus: ſunt hîc etiam ſua præmia laudi,
Sunt lacrymæ rerum, et mentem mortalia tangunt.
Solve metus: feret hæc aliqua tibi fama ſalutem.
Sic ait, atque animum picturâ paſcit inani,
Multa gemens, largoque humectat flumine vultum.
Namque videbat, uti bellantes Pergama circum,
Hàc fugerent Graij, premeret Trojana juventus;
Hàc Phryges, inſtaret curru criſtatus Achilles.
Nec procul hinc Rheſi niveis tentoria velis
Agnoſcit lacrymans, primo quæ prodita ſomno
Tydeides multâ vaſtabat cædè cruentus,
Ardentesque avertit equos in caſtra, prius quàm
Pabula guſtaſſent Trojæ, Xanthum que bibiſſent.
Parte aliâ fugiens amiſſis Trojus armis,
Infelix puer impar congreſſus Achilli,
Fertur equis, curruque hæret reſupinus inani,
Lora tenens tamen: huic cervixque, comæque trahuntur
Per terram, et verſâ pulvis, inſcribitur haſtâ.
Interea ad templum non æquæ Palladis ibant
Crinibus Iliades paſſis, peplumque ferebant.
Suppliciter triſtes, et tunſæ pectora palmis.
Diva ſolo fixos oculos averſa tenebat.
Ter circum Iliacos raptaverat Hectora muros,
Exanimumque auro corpus vendebat Achilles.
Tum vero ingentem gemitum dat pectore ab imo,
Ut ſpolia, ut currus, utque ipſum corpus amici,
Tendentem que manus Priamum conſpexit inermes.
Se qnoque principibus permixtum agnovit Achivis,
Eoasque acies, et nigri Memnonis arma.
Ducit Amazonidum lunatis agmina peltis

Penthe-

❁ ❁ ❁

νεωσοίκους, ξενωπὲς, τειχῶν κατασκευὰς, καὶ τὰ ὅμοια. Ἀλλὰ περὶ τῶν ἐκτὸς τε καὶ ἐντὸς τῆς πόλεως μερῶν τε καὶ τόπων, καὶ οἰκοδομημάτων, μέτιθι Πολυδεύκ: Ὀνομαϛ: Βιβλ: Θ'.

Στίχ: 470 ΩΣ ΡΑ ΜΕΛΙΣΣ' ΗΡΟΣ κτ: Τῶν ἑξῆς ἐπῶν τὰ πλείω ἐκ τῶν ἐν τοῖς Γεωργικοῖς ἐπανέληπται. (Βιβλ: Δ: στίχ. 668.)

Στίχ: 472 ΕΥ'Τ' 'ΕΘΝΟΥΣ ΝΕΑΡΗ'Ν κτ: Ὁμηρικὸν ἐϛὶ, τὸ τὰ τοιάδε τῶν ζώων σίφη, ἔθνη ἐπονομάζειν, ἅπερ ἀγεληδὸν ἵπταϑαι ἀϑρόα φιλεῖ. λέγεται τοίνιν ὧδε μελισσῶν ἔθνος, ὥσπερ καὶ ἔθνεα Ὁμήρῳ εἴρηται, χηνῶν καὶ γεράνων, καὶ κύκνων δολιχοδείρων.

Στίχ: 485. ΤΕΚΜΑΡ 'ΑΝΩΡΥΞΑΝΤΟ, κτ: Ἥρης, φασὶν, ὑποθήκαις ὀρυξαμένης τὸς Τυρίας ἐπὶ καταβολῇ τῶν θεμελίων, τῆς πρὸς συνοικισμὸν αὐτοῖς δομηθησομένης πόλεως, δισσὰς ἀνευρέϑαι κάρας, τὴν μὲν βοὸς, τὴν δὲ ἵππε ὧν ὑπὸ μὲν ἐκείνης, τροφῶν ἀφθονίαν προσημαίνεϑαι τῇ πόλει, διὰ τὸ γεωργικὸν τῆ βοὸς δηλονότι· ὑπὸ δὲ ταύτης, διὰ τὸ εὔψυχον καὶ ἀρεϊκὸν τῆ ἵππε, κράτος διωάμεως. Ὄγεμὸν Ποιητὴς, τῆς δευτέρας μόνης μέμνηται ὧδε, ὡς τῆς ἐξ ἀμφοτέρων ὠφελείας, διὰ μόνης τῆς ἱππείε κεφαλῆς ἀποχρώντως ἐκδηλωμένης· προσθεὶς ὅτι τὸ ἔθνος:

„Ὅπλοις μὲλλεν ἔμεν περικυδὲς καὶ περίολβον.

Ὥσπερ

Ἀρχὰς· Σύγκλητόν τε Γερήσιον ἱερὸν ἴσων.
Ἔνθ' ἄλλοι λιμένας τ' ὤρυσσον· κ' ἔνθα θεάτροις
Ἄλλοι καββάλλοντο βάθισα θεμέθλια πέθαι.
Οἱ δ' ἐξ ἀκροτόμων ἀμεγάρτας κίονας ἦγον,
Σκηναῖς ἐσσομένησιν ἀριπρεπέας διακόσμους.
Ὡς ῥά Μέλισσ' ἦρος, κατ' ἀρήρας ἀνθεμοέσσας,
Ἐσσυμένως μοχθῶσαι ὑπ' ἠελίοις ὁρόωνται,
Εὖτ' ἔθνεα νεαρῷ ἐκπροπροάγωσι γενέθλῳ·
Ἢ διερὸν μέλι εὖτε πυκάζωσ' ἔνδοθι σίμβλων,
Καὶ γλυκερῷ ϝορέεσι ταμήϊα νέκταρι πάντα·
Ἦέτε δὴ φόρτων εἰσὶ προτιδεγμεναι ἄλλας,
Ὡς τ' ἀγκυφίσαι· ἠὲ τιν' ἄλλῳ συγκροτέουσιν,
Ἀργῶν ὥξε κάπης Κηφιώων θρέμματ' ἐλάσσαι.
Ζέννυσ' ἐργασίη, μέλι δ' ἡδὺ θύμοιο ἀπόζει.
Ὦ μάκαρες νέα, οἷς δὴ τείχε' ἀείρεται ἄρτι!
Αἰνείας κράξε· πτόλιος δ' ἠγάζετο ὕψη.
Φρακτὸς ὁμίχλῃ δ' ἔνδον ἐσέρπετο. (θαῦμα φατίζειν.)
Καὶ γὰρ τοι σωεὼν μετὰ ἄνδρεσιν, ὅτι ὁρᾶτο.
Ἦν τέμενος πόλεως μέσσον, τερπνὸν σκιερόντε,
Ἔνθ' ἐκβραθέντες Τύριοι τὰ πρῶτα θυέλῃ,
Τέκμαρ ἀνωρύξαντο, τὸ τοῖς βασιλήϊος Ἥρη
Σήμηνε, ἵππ᾽ κὰρ κρατεροῖο· ἐπεὶ ὧδ' ἔθνος,
Ὅπλοις μέλλεν ἔμεν περικυδὲς, καὶ περίολβον.
Ἔνθ' ἄρ Σιδονίη Διδὼ μέγαν ἵδρυεν Ἥρῃ
Νηὸν, ἐρίπλεκτον δώροισι, θεᾶς δὲ καὶ εἶδει.
Χαλκοβατὴς τάτε ἀδὸς βαθμοῖσιν ἐπῆρτο·
Jam pater Aeneas, et jam Trojana juventus
Conveniunt, ſtratoque ſuper diſcumbitur oſto.

Dant

❁ ❁ ❁

δι' ὅλης τῆς ὥρας κυκλοτερῶς ἀποτερματιζομένῳ, κροκοειδεῖ χνῷ, ἤτοι ἐρίῳ, τῷ ἐξ ἀκάνθῃ, φυτῷ θαμνώδες ἐξαγομένῳ· τοιοῦτο γὰρ τι εἶναι ὑπείλη-„φα, τὸ καθ' Ἡσύχιον, ἐξ ἀκάνθῃ ὑφασμένον περίβλημα. Περὶ δὲ τῆς Ἀκάνθῃ Ὥρα Γεωργ. Β. στίχ. 139. Καὶ Δ. στίχ. 554.

Στίχ: 698. ΑΓΛΑΪΑΣ ΕΛΕΝΗΣ ΑΡΓΕΪΗΣ, κτ: Ἀργείῳ καὶ Ὅμηρος τῷ „Ἑλένῃ ἀποκαλεῖ. (Ἰλ: Β. 177.) Ὡς καὶ τῆς Λακεδαίμονος Ἄργος καλε-μένης (φησὶν Εὐσάθιος) καθάπερ καὶ ὅλη ποτὲ ἡ Πελοπόννησος. Παραπ-λήσια δὲ τούτοις προσεπισημειῶται, καὶν τῷ Β. τῆς Ὀδυσσείᾳ καὶ γὰρ καὶ Πελοπόννησον, καὶ Σπάρτην, ἐκ τῆ ἐπισημοτέρᾳ περισεμνύεσθαι. Εἰρῆσθαι δὲ καὶ Ἄργος Ἀχαϊκὸν, ἢ Πελασγικὸν, καὶ Ἵππιον, καὶ Ἱππό-„βοτον, πρὸς διαφορὰν τῆ Ἀμφιλοχικῆ, καὶ Κιλικίᾳ, καὶ τῶν ἄλλων· τὸ „δὲ τοι Ἰδιαίτατα Ἄργος, πόλις ἦν ἐπὶ τῆς Πελοποννήσῳ, πρὸς Ἦλιον ἀνίσχοντα κειμένη, Μητρόπολις τῆς ἁπασῶν τῶν ἐν Ἑλλάδα ἀρχαιοτάτης Βασιλείας, τῆς ὑπὸ Ἰνάχῳ συστάσης τῆ ἐκ Φοινίκης μεταναστάντος. Σώ-ζει δὲ εἴσγε καὶ νῦν ἡ πόλις αὕτη τὸ γοῦν ὄνομα. Ἐν δὲ δὴ τῷ Ἀργολι-κῷ λιμένι ἡ Ναυπλία κεῖται, ἤτοι τὸ Ναύπλιον.

Στίχ: Αὐτ: . . . . ΜΥΚΗΝΩΝ, Καὶ αἱ Μυκῆναι δὲ Πόλις Ἀργολική, ἃ πολὺ τῆ Ἄργες ἀπέχουσα, κτίσμα Περσέως τῆ Διὸς καὶ Δανάης· ὃς Ἀκρισίᾳ τῆ Μητροπάτορος τελευτήσαντος, εἰς Μυκήνας ἐξ Ἄργους τὸ κράτος με-τέστησε. Μυκηνῶν δὲ ἐβασίλευεν ἐπὶ τῶν Τρωϊκῶν Ἀγαμέμνων.

Στίχ. 699. ΠΕΡΓΑΜΑ ΙΕΜΕΝΗ; ΥΜΕΝΑΪΟΥΣ Η'Δ' ΑΘΕΜΙΣΤΟΥΣ. Περὶ τῶν Περγάμων ὅρα ἀνωτ: στίχ: 510. Ὑμεναίους δὲ ἀθεμίστους τοὺς τῆς Ἑλέ-νης λέγει τοὺς μετὰ Πάριδος. Ὑμέναιοι δ' οἱ γάμοι ἔλαχον καλεῖσθαι ἐκ νεανίσκου τινὸς Ὑμεναίου τοὔνομα, ὃν ἐν ταῖς Γαμηλίοις τελεταῖς Ἕλληνες ἐπαναφωνεῖν πάλαι εἰώθεσαν, ὡς μετὰ τὴν ἁρπαγὴν τῶν Σαβίνων παρ-θένων Ῥωμαίοις τὸν Ταλασίωνα ὕστερον. (Ὅρα Γεωργ. Γ. 65.)

Στίχ. 700. . . . . ΜΗΤΡΟΣ ΔΩΡΗΜΑΤΑ ΛΗΔΗΣ. Νοητέον δὲ, ἤτοι ἅπερ Λήδα ἡ μήτηρ ἐδωρήσατο Ἑλένῃ τῇ θυγατρὶ, ἢ ἅττα ἐκείνη πρὸς Διὸς ἔλληφεν ὡς ἔθος· ἢ καὶ τούτων ἅμα ἑκάτερον. Η' δὲ τοι Λήδα μεμύθευ-ται, τῷ Διὸς ἐν εἴδει Κύκνῳ αὐτῇ ὁμιλήσαντος, ὠὸν ἀποτεκέσθαι, ἐξ οὗ Ἑλένη προέκυψεν. Εὑρήσεις δὲ τὸν μῦθον παρὰ Ἀπολλοδώρῳ ἐκτεθέντα περιεργότερον. (Βιβλ: Γ. Κεφ. 10.)

Στίχ:

Ἀγλαΐας Ἑλένης ἀργείης, τὰς ῥὰ Μυκηνῶν,
Πέργαμα ἱεμένη, ἀθεμίστας ἠδ' ὑμεναίους
Θαυματὰ ἐξοῖσεν, μητρὸς δωρήματα Λήδης.
Πρὸς τοῖς καὶ σκῆπτρον, τὸ ποτ' Ἰλιόνη φορέεσκε,
Θυγατρῶν Πριάμοιο πρεσβίστη· ἡ δὲ τε ὅρμον
Μαργαρόεντα· ἀτὰρ διπλοῶ λιθάκεσσι ξέμμα.
Αἶψ' ἄρα αἴξας ἰθὺς κίε νῆας Ἀχάτης.
Καινὰ δὲ τοι Κυθέρεια μενοίνα, καινὰ δ' ὀι ἦτορ
Φράζετο· ὄφρ' Ἔρος, εἶδος ἐόντε, καὶ ὄψιν ἀμείψας,
Ἀντὶ ῥὰ Ἀσκανίοιο γλυκερῆ ἧΞῃ, καὶ δώροις,
Ὀξέα μαινομένης κραιάσῃς πρὸς γ' ἐνιπρήσῃ.
Πτῆσσε γὰρ ἄσατον οἶκον, ἀτὰρ Τυρίους διγλώσσους.
Ἥρη δ' αὐτὴ δαῆναι· ἄεξε δὲ νὺξ μελεδῶνα.
Τοιγὰρ τοι πτερόεντα Ἔρον προσφωνέεσκε τοῖα:
Ὦ τέκος ἰς ἐμὴ, μεγάλη δὲ τ' ἐμεῖο σὺ κίκυς.
Ὃς θ' ὑπάτου πατέρος Τυφαώνια κῆλ' ἀθερίζεις·

Πρὸς

❁ ❁ ❁

Στίχ: 701. . . . . ΙΛΙΟΝΗ . . . . Ταύτην Πολυμνήστορι, φασὶ, τῷ Θρακῶν βασιλεύοντι, εἰς γυναῖκα ἐκδόναι τὸν γεννήτορα Πρίαμον. Ἀλλὰ γὰρ, ἐν αἷς Ἀπολλόδωρος ἀριθμεῖ θυγατράσι Πριάμε, ἐκ μὲν Ἑκάβης Κρέουσαν καταλέγει, καὶ Λαοδίκην, καὶ Κασσάνδραν· ἐκ δ' ἄλλων γυναικῶν, Μέδουσαν, Μηδεσικάστην, Λυσιμάχην, Ἀρισοβήμην· (Βιβλ: Γ. Κεφ: ΙΒ.) Ἰλιόνης δὲ τινος, καὶ τούτης πρεσβυτάτης γενομένης Πριάμῳ θυγατρὸς, τὸ παράπαν ἢ μέμνηται· ἀλλ' ὁ Σχολιογράφος, πρὸς Ὑγῖνον Κεφ: 109. ἡμᾶς παραπέμπει. Σημείωσαι δὲ, ὅτι τὸ σκηπτροφορεῖν τὰς θηλείας, οὐδὲ τοῖς ἀρχαίοις ἀπείρητο. Καὶ γάρτοι καὶ βασιλεύειν αὐταὶ ἐκληροῦντο πάλαι, καὶ ἱερατεύειν δὲ πρὸ τῶν ἄλλων μάλιστα αἱ τιμὴν ἡλικίαν πρεσβύτεραι. Ἰλιόνην δὲ Ἰσορρέσι, τῇ Ἰλίᾳ ἁλόντος, ὑπὸ τῷ γαμέτῃ Πολυμνήστορος ἀποβληθεῖσαν, ἀπολέσθαι αὐτόχειρα. (Σέρβιος.)

Στίχ: 705: . . . . . ΚΥΘΕΡΕΙΑ . . . . Προσῆψε τῇ Θεῷ τιμὴν ἐπωνυμίαν ἡ Νῆσος τὰ Κύθηρα, ἔνθα διαφερόντως ἐθεραπεύετο. (Ὅρα ἀνωτ: 280.)

Στίχ: 709. . . . . ΑΣΤΑΤΟΝ ΟΙΚΟΝ, ΑΤΑΡ ΤΥΡΙΟΥΣ ΔΙΓΛΩΣΣΟΥΣ. Ὀγὰρ οἶκος σιωπατὴν ἐδόκει τῇ οἰκεδεσπούνῃ, γυναικὶ οὔσῃ, φύσει ἐυτρέπτῳ τὰ πολλὰ καὶ ἀλλοπροσάλῳ, παλιμβόλῳ τε καὶ ὀπίσῳ· περὶ ἧς ἂν καὶ ἐνδοιάσειέτις εἰκότως, πότερον τέως αὐτὴ χαριεῖται; Τεύκροις, ἢ Ἕλλησι; Τὸς δὲ Τυρίους διγλώσσους νοητέον, ἃ μόνον τῇ προφορικῇ Διαλέκτῳ, ὡς ἡ Φοινικισὶ φθεγγομένους καὶ Λιβυσὶ, ἀλλὰ καὶ τοῖς διανοήμασι, καὶ τοῖς τρόποις, ὡς ἄλλα μὲν κεύθουσιν ἐνὶ φρεσὶν, ἄλλα δὲ βάζουσι, καὶ ἄλλως δολίοφρόσιν ἀνθρώποις καὶ ἀπατεῶσιν. οὗ χάριν καὶ Φοινίκιος πίστις, καὶ Φοινίκιος σιωπὴκη, παροιμιωδῶς κεκωμώδηται.

Στίχ: 710. ΗΡΗ Δ' ΑΙΝΗ ΔΑΓΕΝ· κτ: Ὡς ἀμείλικτος ἀεὶ ἔσα Τρώεσι καὶ Αἰνείᾳ, ταῖς ὑπονοίαις αὐτοῦ ὑποφλέγουσα, καὶ μηδὲ καθ' ὕπνους ἠρεμεῖν ἐπιτρέπουσα. Νύκτωρ δὲ βαρύτερον, ἢ μεθ' ἡμέραν πεφύκασι πιέζειν αἱ μέριμναι· διὸ καὶ προσέθετο: (ἄεξε δὲ νὺξ μελεδῶνα.)

Στίχ: 711. ΤΟΙΓΑΡΤΟΙ ΠΤΕΡΟΕΝΤΑ ΕΡΟΝ. Ἔρως ὁ τῆς Κύπριδος γόνος, καὶ παῖς ὢν γραφέται, καὶ τοξοφόρος, καὶ πτηνὸς· τὸ μὲν, διὰ τὸ ὀλιγόχρονον καὶ ἄβελον· τὸ δὲ, διὰ τὸ ὀξὺ καὶ ἐπίβελον· τὸ δὲ, διὰ τὸ βραχυτελὲς καὶ κῆφον καὶ ἄσατον· Γενεαλογοῦσι δὲ, οἱ μὲν ἐξ Ἀφροδίτης αὐτὸν καὶ Ἄρεος· οἱ δὲ ἐξ αὐτῆς καὶ Ἡφαίστου· οἱ δὲ χαοσγεννῆ, καὶ τῆς πρώτης Τῶν ὄντων συσάσεως, φασὶν, εἶναι κύημα.

Στίχ: 713, . . . . . ΤΥΦΑΩΝΙΑ ΚΗΛ' ΑΘΕΡΙΖΕΙΣ. Περὶ τοῦ Τυφάωνος, ὃν ἡ Γῆ ταρταρωθεῖσα ἐμυθεργήθη τεκέσθαι, οἷος μὲν τὸν μορφὸν ὑπῆρχε,

Dant famuli manibus lymphas, Cereremque caniſtris
Expediunt, tonſisque ferunt mantilia villis.
Quinquaginta intus famulæ, quibus ordine longo
Cura penum ſtruere, et flammis adolere penates.
Centum aliæ, totidemque pares ætate miniſtri,
Qui dapibus menſas onerent, et pocula ponant.
Nec non et Tyrii per limina læta frequentes
Convenere, toris juſſi diſcumbere pictis.
Mirantur dona Aeneæ, mirantur Iulum,
Flagrantesque Dei vultus, ſimulataque verba,
Pallamque, et pictum croceo velamen Acantho.
Præcipue infelix, peſti devota futuræ,
Expleri mentem nequit, ardeſcitque tuendo
Phœniſſa, et puero pariter, donisque movetur.
Ille, ubi complexu Aeneæ, colloque pependit,
Et magnum falſi implevit genitoris amorem,

Reginam

❁ ❁ ❁

καὶ τὸ μέγεθος ὅσος, καὶ τίνῳ δυνάμιν, ὡς καὶ αὐτῇ τῇ τῶν Θεῶν ὑπάτῃ Ζηνὸς κατισχύσασθαι, μετιτέον Ἀπολλόδ. (Βιβλ: Α'. Κεφ: ς'.) ἐς πλάτος τὰ περὶ τότε διεξερχόμενον. Τυφαώνια δὲ κῆλα νοητέον ἐνταῦθα ἰὰς περαυνὲς, οἷς Ζεὺς Τυφῶνα ἐπ' οὐρανὸν ἐφορμήσαντα κατεκεραύνωσε. Ταῦτα μὲν οὖν τὰ κῆλα, ἤτοι τοξεύματα, καὶ τοι τοιαῦτα, καὶ ἕτω φοβερὰ ὄντα, ἀθερίζειν τὸν Ἔρωτα ἡ Κύπρις φησὶ, καὶ τῇ Διὸς αὐτῇ ἐπικρατέστερον εἶναι λέγουσα. Διὰ αὐτῇ γὰρ τῇ Ἔρωτος, ὃν νίκην ἑαυτῆς καὶ ἰσχὺν ἡ Κυθέρεια ὀνομάζει, (ὕμν. Α εἰς Ἀφροδ. Ὁμ: στίχ. 36.

„Καὶτε παρὲκ Ζηνὸς νόον ἤγαγε τερπικεραύνε,
„Καὶτε τῇ, εὖτε θέλοι, πυκνὰς φρένας ἐξαπαφῆσαι,
„Ῥηϊδίως συνέμιξε καταθνητῇσι γυναιξίν.

Στίχ: 720. ΗΡΕΙΗ ΞΕΝΙΗ κτ: τίνῳ ἐν Καρχηδόνι παρὰ τῇ Διδοῖ, Αἰνείαν καὶ τῶν ἀμφ' αὐτὸν ἐπιξένωσιν Ἀφροδίτη ὑφορᾶται ὅτι καὶ ἡ πόλις αὐτὴ ἡ ἀρτίως οἰκοδομεμένη, καὶ ἡ τῆς πόλεως κρατῆσα Διδὼ, καὶ τὸ ἔθνος ὅλον τῇ Ἥρῃ ἀνέκειτο, ἢ μηδέποτε τοῖς Τρώεσι φίλα φρονῆσα ἐγένετο.

Στίχ: 725. ΠΑΓΣ ΜΕΝ ΑΝΑΚΤΟΡΙΔΗΣ κτ: Τὸν Ἀσκάνιον λέγει, μέγιστον αὐτῆς μελέθημα ὄντα τῆτον αὐτὸν ἀποφαίνουσα. Ἐκήδετο μὲν γὰρ καὶ Αἰνείᾳ ὡς υἱέος ἡ Κύπρις, ἀλλὰ διαφερόντως ἔμελεν αὐτῇ τῇ παιδὸς Ἀσκανίᾳ, ἐφ' ᾧ, τὸ ἐπὶ τῆς Ἰταλίδος γῆς πεπρωμένον Ῥωμαίοις ὑπὸ τῶν Μοιρῶν κράτος, ἐρεῖδετο.

Στίχ: 728. . . . . ΑΙΠΕΙΝΩΝ ΓΕ ΚΥΘΗΡΩΝ· Ἔστι γὰρ ὀρεινὴ ἡ Νῆσος, καὶ ἁπλῶς ἰδεῖν ὄ, τι μὴ ὄρος αὐτόχρημα, θαλάσσης ἐκκύπτον, καὶ γειρᾶς συσάσεως ἐπιπολαζούσης βραχύτι ἔχον κατ' αὐτὰ τὰ ὑπώρεια:

Στίχ: 729. ΗΘ' ΥΠΕΡ ΙΔΑΛΙΟΙΟ κτ: Τὸ δ' Ἰδάλιον ἄλσος ἰῷ ἐπὶ Κύπρῳ τῆς Νήσῳ, ἀνακείμενον Ἀφροδίτῃ, ἐν ᾧ καὶ Ἱερὸν ἵδρυτο Ἀφροδίσιον, τῆς Θεᾶ πάλαι πρὸς Φοινίκων ἐκεῖ θεραπευομένης ὑπ' ὀνόματι τῷ Ἀσάρτης· τὸ μὲν οὖν Ἄλσος ἐκεῖνο Φοινικιστὶ Ἰδαλάχ ἐκαλεῖτο· Τῆτο δὲ ἰῷ, ἡ χώρα ἡ τῆς Θεᾶ, ἐξ ἧ τὸ Ἰδάλιον. (Βοχάρτ. Χαναν· Βιβλ: Α. Κεφ· Γ·)

Στίχ:

Πρὸς σέ ῥὰ καΦΦεύγω, ἰκέτις δὲ σ' ἀρήσομ' ἀρήγειν.
Ὡς κάσις Αἰνείαο πάσας ῥιπτάζετ' ἀν' ἀκτὰς,
Νωλεμέως δ' ἔχθει ἀδίκῳ ἀπελαύνεταϕ Ἥρης,
Γνωτὰ τοι ἤψατο κῃ σέο δηθὰ ἐμὸν τόδε ἄλγος.
Φοίνισσ' αὐτὸν ἔχει Διδὼ, ἀγαναῖσι δ' ἐρύκει
Παρϕασίῃσ' αἰνῶς δείδω δὲ ὅπποι τραπέοιτο,
Ἡρείῃ ξενίῃ, μὴ ἔκ ἐπὶ τοῖσι δὲ λήξοι.
Τῷ τοι Φθιῶαϕ δόλοισιν, ἀτὰρ Φλογὶ ἀμΦὶ βαλέσθαϕ
Φράζομ' ἄνασσαν, μή ῥὰ Θεῶντις μὶν μετατρέψῃ,
Ἀλλὰ σώ Αἰνείαο ἀρῇπτῳ ἔρῳ ἔχοιτο·
Ὡς δὲ τὰ κεν τελέσαις, τιώδ' ἡμῖν κέκλυθι μῆτιν.
Παῖς μὲν ἀνακτορίδης, (ὃς ἐμοὶ μελέδημα μέγιστον.)
Πατρὶ Φίλῳ μετάπεμπτος ἐς Ἄξυ Σιδώνιον ἦκει,
Δῶρα Φέρων Τροίης, παρλείμμαθ' ἁλὸς τε πυρὸς τε·
Τόνδ' ἐγὼ ἐυνήσασα ἐπ' Αἰπεινῶν γε Κυθήρων,
Ἦθ' ὑπὲρ Ἰδαλίοιο, ἕδει ἱερῷ ἐνικεύσω·
Ὡς δ' ἄρ μήτις γνῶ δόλον, ἢ μέσος ἀντιβολήσῃ,
Σὺ πλάττεσθαι κεῖνον, ἴνα ῥα μόνῳ κατὰ νύκτα,
Παῖς παιδὸς γνωτὰς τε ὀπωπὰς ἀμΦιέσασθαι·
ὍΦρα σ' ἐπεὶ Διδὼ κόλποισι δεδέξετ' ἐν οἷσι,
Λαμπραῖς γηθομένη δαίταις, κῃ νάμασι Βάκχα·
Εὖτε περιπλέγδην γλυκεροῖς σε Φιλήμασι κύσσῃ,
Πῦρ κρύΦ' ἐνιπνεύσῃς, Φαρμάξας τ' ἐξαπαΦήσῃς.
Ἔικαθ' Ἔρως ἐπέεσσι Φίλης μητρὸς, πτέρυγάζτε
Ἄββαλε, κῃ γήθων κατὰ ἴθματα βάσκεν Ἰάλε.
Κύπρις δ' Ἀσκανίῳ ἐπὶ νήδυμον ὕπνον ἔχευε.
Καὶν κόλποις ΘαλΦθέντα Θέαιν' ἀναείρατο ὕψι,
Ἄλσὲ ἐπ' Ἰδαλίης· ἁπαλὸς δὲ ἀμάρακος αὐτὸν,
Ἀνθήμων, ἠδὺ πνείων, σκιόων περὶ βάλε.
ΜέσΦα δὲ βάσκεν Ἔρως ὑποπειθὴς, αὐταὶρ δῶρα
Ἤνεικεν Τυρίοις, βασιλῆϊ ἀγῷ ὑπ' Ἀχάτῃ.
Ἰκομένᾳ δὲ Ἄνασσα ἐν αὐλαίαις ἀγερώχοις
Κέκλιτο χρυσείῳ κλιντῆρι· καθῖζο δὲ μέσσῃ.
Σὺν δὲ κῃ Αἰνείαστε πατὴρ, κῃ Τρώϊος ἦβη,



❋ ❋ ❋

Στίχ: 741. . . . . ΑΠΑΛΟΣ ΔΕ ΑΜΑΡΑΚΟΣ . . . . . Ὁ Ἀμάρακος δὲ Φυτὸν ἐστὶν εὐῶδες, Σάμψυχον ἄλλως καλέμενος· ἢ Γαλλιστὶ Mariolaine, Ἰταλιστὶ Majorana, ἢ Περσία. Οὕτω γὰρ Ἀννίβας ὁ Κάρος τὸ ἐν ᾧ Ἀσκάνιον ἡ Κύπρις ἀνέκλινε θαμνώδες Φυτὸν Ἰταλιστὶ ὑπογράΦων.

„. . . . . Entro un Cespuglio
„Di lieti fiori, ed odorata Persa,
„A la dolce aura, a la fresc' ombra il pose.

Γίνεται δὲ ἐκ τοῦ τοιοῦδε Φυτοῦ τὸ Ἀμαράκινον, ἢ Σαμψύχιον καλέμενον μύρον, ἢ ἔλαιον ἄριστον, ἑ Πλίνιος. (Φυσ. Ἱστορ. Βιβλ. ΙΒ. ΚεΦ: Δ) τοῖς λοιποῖς μυρελαίοις συγκαταλέγει. Ἐνεκρίνετο δὲ τοῖς παλαιοτέροις ἀμάρακος ὁ ἐκ Κύπρου, ὡς τῶν ἄλλαχοῦ Φυομένων τιῶ ὀδμῶ κρείσσων, καὶ τοῖς Σκορπίοις ὀλέθριος· Φεύγει δὲ τὸ Σάμψυχον καὶ ὗς. (Δεκρήτ. ἐν τῷ

Reginam petit; hæc oculis, hæc pectore toto
Hæret, et interdum gremio fovet, inſcia Dido
Inſideat quantus miſeræ Deus: at memor ille
Matris Acidaliæ, paulatim abolere Sichæum
Incipit, et vivo tentat prævertere amore
Jampridem reſides animos, deſuetaque corda.
Poſtquam prima quies epulis, menſæque remotæ,
Crateras magnos ſtatuunt, et vina coronant.
Fit ſtrepitus tectis, vocemque per ampla volutant
Atria: dependent lychni laquearibus aureis
Incenſi, et noctem flammis funalia vincunt.
Hic regina gravem gemmis, auroque poposcit,
Implevitque mero pateram: quam Belus, et omnes
A Belo ſoliti: tum facta ſilentia tectis.
Jupiter (hoſpitibus nam te dare jura loquuntur)
Hunc lætum Tyriisque diem, Trojâque profectis
Eſſe

❁ ❁ ❁

τῷ ς'.) τῶν φυτῶν τὸ ἡδύπνευν καὶ ἔυοσμον, ὁ ἐν βοσκήμασι ξυπαρῴδης καὶ βορβορωδέςατος.

Στίχ. 748. ΕΓ'ΑΤΟ 'ΑΓΡΟ'ΜΕΝΟΙ κτ: Οὕτω καὶ οἱ Μνηςῆρες τῆς Πηνελόπης (Ὀδυσ. Α. 145.)

„Ἑξείης ἕζοντο, κατὰ κλισμὰς τε θρόνους τε.
„Τοῖσι δὲ κήρυκες μὲν ὕδωρ ἐπὶ χεῖρας ἔχευαν,
„Σῖτον δὲ δμῳαὶ παρενήνεον ἐν κανέοισιν.

Στίχ. 764. . . . . ΨΕΥΔΟΥ'Σ . . . . ΓΕΝΕΤΗ'ΡΟΣ, Τῷ πλαττομένῳ· Οὐ γὰρ ἐξ Αἰνείᾳ τεχθεὶς ἰῷ τῇ Κύπριδι, ὃς ἀντὶ Ἀσκανίου ὑποβέβλητο Ἔρως.

Στίχ. 768. . . . . 'ΑΚΙΔΑΛΙΗ'Σ . . . . . Ἀκιδαλία ἡ Ἀφροδίτη καλεῖται, ἀπὸ τοῦ, ἐν τῇ, κατὰ Ὀρχομενὸν τὸ Ἄσυ Βοιωτίας, πηγῇ, τὰς χάριτας λέεσθαι, τὰς ἐξ αὐτῆς τεχθείσας Ἀφροδίτης μυθευομένας, καὶ ταύτῃ ἀεὶ σωύσας, κατὰ γὰρ Φερενίκην παρέδρους τε καὶ σωέδρους τὰς χάριτας ἔχει ἡ Ἀφροδίτη. Ἢ ὅτι ὀξυτάταις ἄυτη τῇ ψυχῇ ὑπονύσσει ἢ δρύπτει μερίμναις, καθάπερ ἀκίσι τισὶ πλήσσουσα καὶ τιτρώσκουσα.

Στίχ. 770. . . . . ΕΡΩΤΙ ΖΩΝΤΙ, Ἤτοι ἀκμαίῳτε καὶ σφοδρῷ, ἢ γοῦν τῷ πρὸς τὸν ἤδη ζῶντα ἀρτίως ἀπαρχομένῳ, τοῦ πρὸς τὸν πάλαι τεθνεῶτα ἐς γ' ἐπὶ τὰ νῦν διαρκέσαντος· τὸ δὲ προάγειν ἐνταῦθα, προκαταρχεῖν ἐςὶν, ὡς ἐπικρατῆσαι.

Στίχ. 772. ΠΡΩ'ΤΑΣ Δ' 'ΑΡ ΜΕΤΑ' ΔΑΙ'ΤΑΣ. . . . . Τὸ παρὰ Ῥωμαίοις ὧδε ὁ Ποιητὴς κρατῶν παρίςησιν ἔθος· παρ' οἷς, ἡ μὲν πρώτη δαὶς ἦν, ἡ τῶν ἐδεσμάτων· ἡ δὲ δευτέρα, ἡ τῶν προπόσεων. Ἐπειδὰν γὰρ ὀνείατα ἀπήρθη, ἐπιφέρει ἐχομένως, ὅτι Κρητῆρας ςῆσαν.

Στίχ. 773. ΚΡΗΤΗ'ΡΑΣ ΣΤΗ'ΣΑΝ ΜΕΓΑ'ΛΟΥΣ, ΟΙ'ΝΟΥΤΕ ΣΤΕ'ΨΑΝ· Μεγάλες εἶπε τὰς Κρατῆρας, διὰ τὸ δαψιλὲς τῶ πότῳ. Οὕτω καὶ Θεόκριτος ἐν Εἰδυλ. Β. „Στάσω δὲ κρητῆρα μέγαν λευκοῖο γάλακτος. Ἐφιλοτιμεῖντο δ' ἔμπης ἐν ἐυωχίαις, καὶ περιττάς τινας τὸ μέγεθος Κρατῆρας ἰσᾶν· ὁ γοῦν Ἀρβιανὸς ἐν Ζ. Βιβλ: ἰσόρησεν, ἐξ ἑνὸς γε καὶ τοῦ αὐτοῦ Κρατῆρος, ἐννεακισχιλίας Δαιτυμόνας τοῖς Θεοῖς σπείσασθαι· τηλικοῦτος ἦν ὁ Κρατὴρ! παρὰ δὲ τῷ Δειπνοσοφ. Βιβλ: Ε. Κεφ: Ε, μέγα χρῆμα Κρατῆρος ὁμοίως ἀναγινώσκομεν ἀργυρέου, ἑξάκις ἑκατὸν ἀμφιφορεῖς περιέχοντος, ὃν ἁμάξῃ ἄνδρες ἰσάριθμοι εἵλκον. Τὸ δὲ τοι (ςέψαν) vina coronant: Ὁμηρικῶς ἐκπέφρασται: Ἰλ: Α. 569. καὶ ἀλλαχοῦ.

„Κῆροι μὲν κρητῆρας ἐπεςέψαντο ποτοῖο.

τὸ δὲ ςέψαι παρ' Ὁμήρῳ ἐςὶ τὸ πληρῶσαι. (Ὥρα Πλάτ: Συμποσ. Βιβλ. Γ. Τμήμ. Α'.) Τοῦτο δὲ ἐςὶ φᾶναι: ἔστ' ἐπὶ τὸ χεῖλος ἐνέπλησαν, ὡς Ἀθηνᾶ·

Εἵαντ' ἀγρόμενοι ποτὶ πορφυρέοισι τάπησι.
Χέρνιβα δὲ δμῶες χεῦον· κανέοισι δὲ σῖτον
Νώμων, καὶ χερρῖν λαχνώδεα μάκτρα παρεῖχον.
Πεντήκοντα δμωαὶ ἐπιχερὼ ἔδατα δ' ἔνδον,
Ἔσσαν πορσωέσσαι, ἰδ' Ἑξίῃ ἐνθυόεσσαι.
Καὶ γ' ἑκατὸν δ' ἔτεραι, δρηξῆρες θ' ἥλικες ἶσοι,
Οἳ ῥα ἀμπίπλων δαῖτας ἐδητύος ἠδὲ ποτῆτος.
Πρὸς δ' ἔτι καὶ Τύριοι συχνοὶ φαιδρὰς κατὰ οἴκους
Ἤγερθεν, κλισμοῖς τάχθεν γραπτοῖς δ' ἀνακεῖσθαι.
Δῶρα μὲν Αἰνείαο ἄγαντο, ἄγαντο δ' Ἰάλον.
Ὦπα Θεὰ τ' εἴδεσαν, ἔπη τ' ὀλοφώϊα τοῖο.
Χλαῖναν τε, κροκέῃ τ' ἐνύφαντον Κυκλάδ' ἀκάνθῳ.
Ἔξοχα δ' οἰκτίσῃ, τῇ πῆμα ἐπῆρτο ὀλέθρου,
Ἄμοτον εἰσορόωσα, ἐὸν κατὰ δαίετο ἦτορ,
Φοίνισσ', ἣν τ' ἐπίσης καὶ παῖς, καὶ δῶρα ἑκίνει.
Ὡς δ' ὁ περιπλέγδην δειρῆς Αἰνείας ἀπῆρτο,
Πολλὰ τε ψευδὲς ἔμπλησε ποθὼ γενετῆρος,
Βῆ μετ' Ἄνασσαν ἰὼν· ἣδ' ὄψεσί τε, φρεσί τε
Ἶχε, μέσηγύ τε οἷς κόλποις Διδὼ περιθάλπεν,
Ἀγνώσσουσα τάλαινα, ὅσος παρὰ οἱ Θεὸς ἔσκεν.
Ἀλλ' οὐ' ἀκιδαλίης δὴ μνήμων μητρὸς ἐφετμῶν,
Καββραχὺ Συγχαίου ἴχνη τὰ πρόσθ' ἀπαλέφειν,
Ἄρχετο, καὶ προάγειν πειρῆτο ἔρωτι ζῶντι,
Ἐυναθὲν πάθος, αὐτὰρ ἀηθιθὲν πάρος ἦτορ.
Πρώτας δ' ἂρ μετὰ δαῖτας, ἐπεί τε ὀνείατ' ἀπήρθη,
Κρητῆρας ἔῆσαν μεγάλας, οἶνά τε ἔέψαν·
Ἦν δ' ὅμαδος μεγάροισι, μέλαθρ' ἰαχαὶ δὲ ποτῶντο,
Λύχνοι τε κρεμάνωτο ὑπερθ' ὀρόφων ἀπὸ χρυσῶν·
Οἱ δὲ τε λαμπτῆρες πυρσεύμασι νύχθ' ὑπερεῖχον.

Τῆμος

❁ ❁ ❁

Ἀθλιώ. ὁ Δειπνοσοφ. Ἐν Βιβλ: Α. ἠρμήνευσεν: ἐπιξέφονται γὰρ ποτοῖο, „φησὶν, οἱ Κρατῆρες· ἤτοι ὑπερχειλεῖς οἱ Κρατῆρες ποιοῦνται, ὥστε διὰ τὸ „ποτὸ ἐπιξεφανέσθαι. Καὶ τοι γε καὶ ἄλλως ἐκλαβεῖν ἔσαι τὸ, (ξέψαν), „ἀντὶ τοῦ, ἄνθεσι τὰ περιφερόμενα κύπελλα εἰς τρυφὴν κατεκόσμησαν, καὶ κατηγλάϊσαν.

Στίχ: 774 . . . . . ΜΕΛΑΘΡ' ΙΑΧΑΙ ΔΕ' ΠΟΤΩΝΤΟ· Τὰς τῶν συμποσιαζόντων ἐπιβοήσεις ψυχώσας ὁ Μάρων ἡμῖν ἐπτέρωσε. τὰ Atria δὲ (Ἄτρια) κατὰ τὴν Λατίνων φωνὴν, ἀπὸ ἂν Ἑλλὶν κυρίως μέλαθρα ὀνομάσειε· τὰ γὰρ Atra ex fumo, ὡς ἐτυμολογεῖ Σέρβιος, τὰ ἐκ τοῦ καπνοῦ ἦν μέλανα, ἀθρῆσαι αὐτὰ ἐγγὺς γὰρ τοῦ Ὀπτανείου τέτακτο παρὰ τοῖς Ἀρχαίοις ὁ τόπος ὁ τῆς Σιτήσεως.

Στίχ: 775 ΛΥΧΝΟΙ ΤΕ ΚΡΕΜΑΝΥΝΤΟ κτ: Τὸ Ἀρχαϊκὸν ἔθος τῆς ἐν τοῖς δείπνοις λυχνοκλίας ἐπὶ Ὁμήρου, διαφέρει παρατηρούμενον. Οὐ γὰρ οἱ Λύχνοι τότε ἀπὸ χρυσέων ὀρόφων ἀπηώρηντο κρεμαννύμενοι, ὡς παρὰ Ῥωμαίοις ὕστερον ἐπὶ Οὐιργιλίου. Ἀλλ' ὡς Ὀδ Η 100.

„Χρύσειοι δ' ἄρα κοῦροι ἐϋδμήτων ἐπὶ βωμῶν
„Ἔσασαν, αἰθομένας δαΐδας μετὰ χερσὶν ἔχοντες·
„Φαίνοντες νύκτας κατὰ δώματα δαιτυμόνεσσι.

Esse velis, nostrosque hujus meminisse minores.
Adsit lætitiæ Bacchus dator, et bona Juno!
Et vos ô cœtum, Tyrii, celebrate faventes.
Dixit, et in mensâ laticum libavit honorem,
Primaque libato summo tenus attigit ore.
Tum Bitiæ dedit increpitans: ille impiger hausit
Spumantem pateram, et pleno se proluit auro.
Post alii proceres: citharâ crinitus Jopas
Personat auratâ, docuit quæ maximus Atlas.
Hic canit errantem Lunam, Solisque labores:
Vnde hominum genus, et pecudes, unde imber, et ignes;
Arcturum, pluviasque Hyadas, geminosque Triones:
Quid tantùm Oceano properent se tingere soles

Hyber-

❁ ❁ ❁

Στίχ: 777. . : . . . ΛΙΘΑΞΙΝ ΥΠΕΡΒΡΓΘΟΝ ΧΡΥΣΩΤΕ. Οἱ μὲν ἀρχαῖοι ἐν βοῶν κέρασιν ἔπινον· (Ἀθιὼ. Δειπνοσ. ΙΑ.) διὸ καὶ Βάκχος ἐγράφετο κερατέας· ἐντεῦθεν δὲ καὶ ὁ κρατὴρ εἴρηται· ὡς εἶον εἰπεῖν κερατὴρ· Ἐφεξῆς δὲ ποτηρίοις ἐχρήσαντο χαλκείοις οἱ πλησιώτεροι· ὅθεν αἱ χαλκοθῆκαι, ἐν αἷς τὰ τοιαῦτα ἀπετίθετο σκεύη· ἣν ἄρα ἐν θαύματι τότε, εἴτις ἔχοι δέπας ἀργύρεον· εἰς ὃ τέως, μετὰ τὸ τὺς Βοιωτὺς συλῆσαι τὰ ἐν Δελφοῖς ἱερὰ ἀναθήματα, ἐπὶ τὰ ἀργυρᾶ τῶν σκευῶν, καὶ τὰ χρυσᾶ, προήχθη ἡ πολυτέλεια. (Φείθ. περὶ τῶν Ὁμήρ· Ἀρχαιοτ: Βιβλ: Γ. Κεφ: Β'.) Τόν δὲ τοι πλῆτον, τῶν ἀργυρῶν καὶ χρυσέων, καὶ πολυτίμοις λίθαξι κατηγλαϊσμένων ἐκπωμάτων τε, καὶ ἑτέρων τοιούτων ἐπιτραπεζίων Σκευῶν, Πλινιός τε (ἐν Προυιμ. τῆ ΛΓ. Βιβλ: τῆς Φυσ. Ἱς.) ἐκτίθησι, καὶ Κλήμης ὁ Ἀλεξανδρ: (ἐν τῶ Β. τῆ Παιδαγ. Κεφ: Γ.) καὶ ὁ Δειπνοσ. δὲ Ἀθιὼ. βιβ: Δ. καθιςορῶν, ὅτι καὶ ἡ Αἰγυπτίων βασιλὶς Κλεοπάτρα Μ. Ἀντωνίου ἑσιῶσα, παρεσκεύασεν αὐτῶ Συμπόσιον, ἐν ᾧ πάντα χρύσεα καὶ λιθοκόλλητα, περιττῶς ἐξειργασμένα ταῖς τέχναις θεᾶσθαι πρόκειτο.

Στίχ: 778. . . . . ΒΗΛΟΣ,
779 ΟΙ Τ' ΑΠΟ ΒΗΛΟΥ ΧΡΩΝΤΟ. Περὶ τῆς τῶν ἀπὸ Βήλε τῆ πρώτε κατὰ διαδοχὶω Βασιλείας, ἄχρις αὐτῆς Διδῶς, ἀνωτ: εἴρηται. (Στίχ. 370. καὶ 373.) Τὸν δὲ δὴ πρῶτον τῆτον Βῆλον, τῶν Ἀσσυρίων βασιλεύσαντα, τὸν Κρόνον εἶναι, τινὲς φασίν. Ἕτεροι δὲ, ἐπὶ Κρόνε γενέθαι, καί ὑπὸ Κρόνε ἐπιξενωθῆναι. Κρόνον δὲ αὐτὸν, Βαλθέον μὲν παρὰ Φοίνιξι, Βῆλ δὲ παῤ Ἀσσυρίοις προσαγορεύεθαι. (Σέρβ.)

Στίχ. 780. ΖΕΥ' (ΞΕΙΝΟΙΣ ΚΑΙ ΓΑΡ, κτ. . . . . Ἔνθεντοι καὶ Ξένιος Ζεὺς, ὃς Λυκάονα, καὶ τὺς πεντήκοντα τότε παῖδας, (πλιὼ ἑνὸς τῆ νεωτάτε Νυκτίμε·) ἅπαντας ἐκεραύνωσε, διὰ τιὼ περὶ τὺς ξένυς δυσσέβειαν· (Ἀπολλόδ. Βίβλ: Γ. Κεφ: Η.) Καὶ γὰρ, Ὀδ. Ι. 270.

„Ζεὺς δ' ἐπιτιμήτωρ ἱκετάων τε, ξεινωντε,
„Ξείνιος, ὃς ξείνοισιν ἅμ' αἰδοίοισιν ὀπηδεῖ.

Στίχ. 785. ΠΡΩΤΗ ΓΕΥΣΑΜΕΝΗ. . . . Ἔθος γὰρ ἰῶ ἐν εὐωχίαις, Δῖΐτε, καὶ Θεοῖς ξενίοις ἐπιλείβειν· τιὼ δὲ λοιβιὼ ὅτως ἐπόιεν: Βραχύτι ἐκ τῆ ἐν τῶ ποτηρίω (ὃ Λοιβάσιον ἐκαλεῖτο, ἢ Λοιβὶς.) οἶνε ἐπιχέοντες τῆ τραπέζη, καὶ Θεὸν ἐπικαλέμενοι ὥπερ ἂν λείβοιεν, ἄλλε ἄλλον· εἶτα τῆ λοιπῆ, ὅσον ἀπογευόμενοι ἄκροις χείλεσιν. Ἔλειβον δὲ τὰ πλεῖςα. Αἴθοπα οἶνον, καθ' Ὅμηρον. (Ἰλ: Α, 231. καὶ 463. Καὶ Ὀδυσ. Γ. 459.) ἤτοι ἄκρατον. Ὅθεν καὶ ἄκρητοι προσέρρωνται αἱ σπονδαὶ. (Ἰλ: Β. 341. Καὶ Δ. 159.) Ὃ καὶ Ῥωμαίοις ἀκριβῶς ὅτω παρατετήρητο, ὥςε μηδὲ τοῖς ἐξ Ἑλλάδος κομιζομένοις οἴνοις ἐπὶ τῶν σπονδῶν ἀξιῶν κεχρῆθαι· ὑφορωμένυς δηλονότι τιὼ ἐκ καπνελείας τῆ ὕδατος σύγκρασιν· (Πλίν. Φυσ. Ἱσορ. Βιβλ: ΙΔ. Κεφ: ΙΘ.)

Στίχ:

Τῆμος Ἄνασσα, λίθαξιν ὑπερβρῖθον χρυσῶτε,
Αἰτήσασα δέπας, πίμλησ' οἴνοιο, τὸ Βῆλος,
Οἵ τ' ἀπὸ Βήλα χρῶντο· ἀκὶὼ δὲ ἅπαντες ὅτ' ἔχον:
Ζεῦ (ξείνοις καὶ γὰρ σε θεμιξέειν φατίσαντο·)
Ὄλβιον ἦμαρ ἔμεν Τυρίοις τόδε, Τρώεσσίντε
Δὸς, καὶ μνήσεσθαι τὸ' ἡμῶν τὸς μετέπειτα!
Παῤ δ' ἔσο ἐυφροσώης παροχεῦ σύ τε Βάκχε, καὶ Ἥρη
Πότνια! ἡ δ' ἄγυρις Τυρίων προφρόνως τελέοιτε.
Ἦ, καὶ ἄφαρ δαιτὸς καθύπερθε λαρὸν μέθυ λεῖβε.
Πρώτη γευσαμένη δ' ἐπὶ χείλεσιν ἥψατο ἄκροις.
Καὶ Βιτία βωξρεῦσα δ' ὄρεξεν· ὁ δ' ἤφυσ' ἀόκνως
Ἀφρίζον δέπας, ἀμφὶ δὲ δεύθη χρυσέῳ πλείῳ.
Ὄρχαμοι ἆῤ ἕτεροι. Κιθάρῃ δὲ κομῆτα Ἰώπας,
Χρυσέῃ ἐξήχει, τὰ μέγας μυθέσκετο Ἄτλας.
Μήνιω πλαγκτιὼ μέλπε, καὶ Ἡελίοιο δὲ μόχθος·
Ἠδ' ὅθεν ἀνθρώπων γένος, αὐταὶρ κτιώεα τόσσα·

V 2 Ἠδ'

❁ ❁ ❁

Στίχ: 787. ΚΑΙ' ΒΙΤΙ'Α. . . . . Ὄρεξεν · . . Ἦν δ' ὁ Βιτίας τῇ Διδοῖ ἐπὶ τῷ γάμῳ Ναυάρχης (ὡς φησὶ Σέρβ.) ὁ δὲ, λαβὼν ἑτοίμως, χανδὸν ἐξέπιεν, εἰς πυθμένα διαμυσίσας.

Στίχ: 789 . . . . ΚΙΘΑ'ΡΗ ΔΕ' ΚΟΜΗ'ΤΑ Ἰ'ΩΠΑΣ· Ἦν ἄρα, κομῶν Ἰώπας, καὶν τούτῳ μιμέμενος Ἀπόλλωνα, ἅ τιὼ τέχνῳ διὰ τῆς κιθαρῳδίας ἦν μετιών.

Στίχ: 790 . . . . ΤΑ' ΜΕ'ΓΑΣ ΜΥΘΕ'ΣΚΕΤΟ Ἄ'ΤΛΑΣ· Οὗτος Ἰαπετῷ γενέσθαι, καὶ Ἀσίας τῆς Ὠκεανῷ, εἴρηται· ἀνέχειν δὲ τοῖς ὤμοις ἰσέρηται τὸν Οὐρανόν· (Ἀπολλόδ. Βιβλ: Α. Κεφ: Β.) Ἅπερ αὖ καὶ εἰσάγεται Ἰώπας ὧδε κιθαρῳδῶν, αὐτὰ ἐκεῖνα ἐξὶν ἅττα ὁ Ποιητὴς ἐν ἄλλοις, ἐυχῆς ἕργον ἐποιεῖτο, αὐτὸν ὑπὸ Μουσῶν μυηθλῶαι. (Ὅρα ἐν τοῖς Γεωργ. Βιβλ: Β, στίχ. 555. καὶ ἑξῆς, ἐς γ' ἐπὶ στίχ: 575. ἅ μὴ κατόκνιει διελθεῖν, καὶ τὰ ἐπ' αὐτοῖς ἐκεῖ σημειόμενα.)

Στίχ: 791. ΜΗ'ΝΗΝ ΠΛΑΓΚΤΗ'Ν κτ: Τῶν γὰρ πλανητῶν ἡ Σελήνη πολυπλανέσατος· Διὸ καὶ τῶν καθ' ἡμᾶς τις ἀστρονομούντων: Sidus, αὐτὴν εἶπε, contumaciſſimum, (Ἄστρον δηλ: δυσπειθέσατον·) εἶα δὴ, τοῖς τῶν περὶ τὴν Μαθησιν ταύτην ἀσχολεμένων ἐκλογισμοῖς μόλις δοκεῖν ὑπείκειν· καὶ τοι τοῖς ὑπὸ τὰ κτίσαντος τεθεῖσιν αὐτῷ θεσμοῖς τε καὶ ὅροις, ἀπαρατρέπτως, καθὰ καὶ πάντα, πειθόμενον.

Στίχ: Ἄυτ: . . . . ΚΑΙ' Ἡ'ΛΙΟΙΟ ΔΕ' ΜΟ'ΧΘΟΥΣ· Ἤτοι τὰς καμάτας. Τίνας δ' αὐτὰς, εἴπερ ἥλιον Ὅμηρος ἀκάμαντα προσηγόρευσεν; ἤ, ὅτι καὶ κάμνων αὐτὸς ἐκ αἰθάνεται τῇ καμάτῃ· ἢ φησὶ Σέρβιος) κάματον δὲ ποῖον ἄντις ἄλλον ἀποδοίη ἡλίῳ, ἢ τὸν κατὰ τὰς ἐκλείψεις ἐνίοτε αὐτῷ δοκοῦντα συμβαίνειν ἐπισκοτασμὸν, τῇ σελιναίᾳ ἐπιπροσθοῦντος αὐτῷ, ὥσγε καθ' ἡμᾶς εἰπεῖν, σώματος; Φαινόμενον γὰρ τὸ πάθημα τοῖς θεωμένοις, τῇ δὲ φωτὸς ἧκισα ἅπτεται· μένει δ' ἐν αὐτῷ τὸ φῶς ἀεὶ ἀκηράσιον, καὶ ἀνέκλειπτον. ἄχρις ἃ βέλεται ὁ ἀνάψας Ὅτι δὲ τιὼ ἐκλείψιν ὁ Ποιητὴς διὰ τῆ ῥηθέντος μόχθε ἠνίξατο, εὔδηλον. Lunam γὰρ ἔφη, Solis que labores (Σελιναίαν, καὶ Ἡλίε καμάτες.) Ἐν δὲ τοῖς Γεωργικοῖς ἔλεγε: Defectus Solis varios, Lunæque labores. (ἐκλείψεις Ἡλίε παντοίες, καὶ Μήνης καμάτες.) ἀδιαφόρως τὰς καμάτες τιθεὶς, ἀντὶ τῶν ἐκλείψεων· καὶ ἀνάπαλιν.

Στίχ: 792. Ἠ'Δ' Ὅ'ΘΕΝ Ἀ'ΝΘΡΩ'ΠΩΝ ΓΕ'ΝΟΣ, . . . . Ἐκ Πρωτέως δήτινος, ἢ ἐκ Δευκαλίωνος καὶ Πύῤῥας, ὁ Μυθολόγος ληρήσει. Ἐκδ' ἀτόμων, ἢ χυμῶ ἐκ ὁιδ' ὅτε, ἢ ἐκ πυρὸς, ἢ ὅλως ἐκ τῶν στοιχείων ἑνός, ἢ πάντων, ὁ Φυσιολόγος τερθρεύσεται. Ὁ δὲ ἐκ πίστεως ἀληθῆς Θεολόγος, ἀτρεκῶς ἐπερειδόμενος τῇ Ἀποκαλύψει, οἶδα πόθεν ἐρεῖ.

Στίχ:

Hyberni, vel quæ tardis mora noctibus obſtet.
Ingeminant plauſum Tyrii, Troesque ſequuntur.
Nec non et vario noctem ſermone trahebat
Infelix Dido, longumque bibebat amorem,
Multa ſuper Priamo rogitans, ſuper Hectore multa:
Nunc, quibus Auroræ veniſſet filius armis:
Nunc, quales Diomedis equi: nunc, quantus Achilles.
Imo age, et à primâ dic, hoſpes, origine nobis
Inſidias, inquit, Danaum, caſusque tuorum,
Erroresque tuos: nam te jam ſeptima portat
Omnibus errantem terris et fluctibus æſtas.

## LIB. I. ÆN. EXPLICIT.

❋ ❋ ❋

Στίχ: 793. . . . . ΑΝΕΜΩΝ ΣΤΑΣΙΣ, ΟΜΒΡΟΙΤΕ, ΣΤΕΡΟΠΑΙΤΕ, Ταῦτα οἱ καθ' ἡμᾶς Μετεωρολόγοι ἐκ πείραστε καὶ παρατηρήσεως ἀμφιλαφῶς ἀνακρίνοντες, μακρῷ πειθανότερον αἰτιολογεῖν ἐοίκασι περὶ αὐτὰ, ἤπερ οἱ ἀρχαῖοι. Ἀλλ' ἡμῖν ἐπὶ τῷ παρόντος ἐκ ἔυκαιρον τοῖς τοιούτοις ἐνδιατρίβειν·

Στίχ: 794. ΑΡΚΤΟΥΡΟΝΘ' ΥΑΔΑΣΤΕ· . . . Περὶ τούτων ὅρα, τὰ σημειωθέντα Γεωργ. Α. 73. καὶ 154. Καὶ Γ. 442.

Στίχ: 796. ΧΕΙΜΑΤΟΣ ΗΕΛΙΟΙ . . . . Ἐν τῷ Β. τῶν Γεωργ. στίχ. 562. ταῦθ', ἕτως ἐκπέφρασται.

„Τένεκα χειμέριοι δ' ἄρα ἥλιοι ὠκεανοῖο,
„Ἐς λοετρὰ πέρχεσι; θέρεος τὶ δὲ νύκτα μινύθει;

Στίχ: 799: ΔΙΔΩ ΔΕΙΛΑΙΗ, ΔΟΛΙΧΟΝ ΔΕ ΑΦΤΣΣΕΝ ΕΡΩΤΑ· Τὸν κατὰ βραχὺ μὲν ἐντήκεθαι Διδοῖ ἀρχόμενον, ἐπὶ πολὺ δὲ προελευσόμενον ἐξῆς περὶ Αἰνείαν Ἔρων ὑπεμφαίνων ὁ Ποιητής, προπαρασκευάζει καὶ προοικονομεῖ τῷ λόγῳ, εἰς ὅσα ὕστερον ἡ τάλαινα περιπεσεῖται, ἅττα τῶν ἑπομένων ῥαψωδημάτων ὑπόθεσις αὐτῷ ὑποσήσεται· τὸ δὲ, ἔρωτα ἀφύσσειν, ἢ πίνειν, ὃ καὶ Θεόκριτος εἰπὼν φέρεται· καθὰ καὶ τὸ ἔρωτι μεθύειν, παρὰ Ἀνακρέοντι, ἀρίζα ὧδε καὶ εὐκαιρότατα, ὡς ἐπὶ Συμποσίῳ, μετείληπται.

Στίχ: §801. ΚΑΙ' ΝΥΝ ΗΟΥΣ ΜΕΝ ΤΕΚΟΣ . . . . .
§802. ΝΥΝ Δ' ΟΙΟΙ Θ' ΙΠΠΟΙ ΤΥΔΕΙΔΟΥ . . . . . Περὶ μὲν Μέμνωνος τῷ Τιθωνῷ καὶ Ἠοῖ, ἄλις ἂν ἔχοι τὰ ἀνωτ: Σημειωθ: στίχ. 533. Καὶ περὶ τῶν Τυδείδη δὲ ἵππων, ἃς Ῥῆσον, ἀνελὼν ἔχεν, εἴρηται ὁμοίως ἐν Σημ: στίχ: 513. καὶ 515. προσεπισωάψει δ' οὖν τις ὧδε, τῇ πολυπραγμονέσῃ Διδοῖ ἀπαντήσας, τὰς Τυδείδη ἵππας ἀγριωτάτας τε καὶ λίαν θηριώδεις γενέθαι, ὡς ἀνδρομέοις σαρξὶ τρεφομένας, κατὰ μυθικὸν τινα τερατολογίαν, τὶν καὶ τὰ ἐκ φύσεως ἀπερμοφάγατε καὶ πεφάγα τῶν κτηνῶν

Ἠὲ ὅθεν ἦτ' ἀνέμων σάσις, ὄμβροιτε, σεροπαίτε·
Ἀρκτῶρον θ', Ὑάδαστε, ἀταὰρ δοιάστε Ἀμάξας·
Καὶ τὶ δ' ἂρ ὡς σπεύδασ' ὑποδύμεναι ὠκεανόνδε
Χείματος ἠέλιοι; τὶ δὲ νὺξ Θέρεος δηθύει;
Τοῖς δ' ἐπανεκρότεον Τύριοι· Τρῶες δ' ἐφέποντο.
Καὶ μὲν παντοδαποῖς μύθοισιν ἐφέλκετο νύκτα
Διδὼ δειλαίη, δολιχὸν δὲ ἄφυσσεν ἔρωτα.
Πολλ' ἀμφὶ Πριάμῳ δ' ἐρέειν', ἀμφ' Ἕκτορι πολλά.
Καὶ νῶι, Ἧες μὲν τέκος, οἷς τισ' ἀφίκετο ὅπλοις;
Νῶι δ', οἷοι θ' ἵπποι Τυδείδᾳ; νῶι, τὶς Ἀχιλλεύς;
Εἰ δ' ἄγε ἐξείης, ὦ ξεῖνε, διέξιθι ἄμμιν,
Ἀρχῆς ἐκ πρώτης, φησὶν, Δαναῶν γε ἐνέδρας,
Οἰκείωντε τύχας, καὶ ἄλας δ' ἔτι τάς περ ὑπέσης.
Ἑβδομάτη γὰρ δὴ περιήκασ' ἥδε θερείη,
Πλαζόμενον πάντῃ σε φέρει, ἀνὰ γῖῶ τ' ἀνὰ πόντον.

## ΤΕΛΟΣ ΤΟΥ Α'. ΤΗΣ ΑΙΝΕΙΑΔΟΣ ΒΙΒΛΙΟΥ.

❀ ❀ ❀

νῶν, κρεοβορῶν ἀναπείσασαν· καὶ ὅτι τῶν τοιούτων ἵππων τὸ γένος, ὡς φασίτινες, Διόδωρον τὸν Σικελὸν μάρτυρα προβαλλόμενοι, ἐς γ' ἐπ' Ἀλέξανδρον τὸν Μακεδόνα διήκεσεν· ὡς δ' ἄλλοι, (τῶν Οὐιργιλ: Σχολ:) καὶ ἄχρι Μ. τῦ Ἀντωνίε, ὃν ὁ Αὔγεστος καθεῖλεν Ὀκτάουιος,

Στίχ: Ἀυτ. . . . . ΝΥΝ ΠΙΣ ΑΧΙΛΛΕΥΣ; Σεσημείωται δὲ, ὡς ἐχὶ τίσποτε ἦν ὁ Πηλέως καὶ Θέτιδος, ἀλλ' ὅσος: Quantus: ἡλίκος ἦν δηλονότι τῦ σώματος τιὼ ἀναδρομιὼ, ἡ Διδὼ περὶ τῦ Ἀχιλλέως ὧδε πιωθάνεται. Φέρεται γὰρ ἐκ μυθικῆς Ἰσορίας παρὰ Λυκόφρονι, ἐννεάπηχύ τινα γενέσθαι τὸν Ἥρωα τὸ ἀνάστημα. Ἀλλ' ἐκεῖνο μᾶλλον σημειώσεως ἄξιον, ὅτι διὰ τῦ ἀσυναρτήτε τῶν ἐρωτημάτων, καὶ διὰ τῦ περιττῦ τῶν, ἅπερ ἡ Διδὼ παρίσαται πολυπραγμονῦσα, τὸ ἀσατῆν, καὶ ἥκισα βεβηκὸς τῶν τῆς γυναικὸς φρενῶν, τῆς ἤδη παθαίνεσθαι, καὶ τιὼ ψυχιὼ ἐκταράττεσθαι ἀρχομένης, εὐσοχώτατά τε καὶ ἐπηβολώτατα ὁ Μάρων ἐνταῦθα διαγράψας ἡμῖν ἐνέφηνεν.

## ΤΕΛΟΣ ΤΩΝ ΕΙΣ ΤΟ Α' ΤΗΣ ΑΙΝΕΙΑΔΟΣ

Σημειώσεων.

# P. VIRGILII MARONIS AENEIDOS

## LIBER II.

# Π. ΟΥΙΡΓΙΛΙΟΥ ΜΑΡΩΝΟΣ ΑΙΝΕΙΑΔΟΣ

## ΒΙΒΛΙΟΝ Β.

ΤΟΥ Β. ΤΗΣ

# ΑΙΝΕΙΑΔΟΣ

## ΒΙΒΛΙΟΥ ΥΠΟΘΕΣΙΣ

Πολυπραγμονέστερον Διδῦς ἐγκειμένης, καὶ, τὰ κατὰ τὴν Τροίης ἐκπόρθησιν ὡς ἔχε, μαθεῖν ἀκριβέστερον ἀξιώσης, Αἰνείας ἐπὶ λεπτῦ διεξέρχεται. Διηγεῖται δ' ἂν τὸ διὰ τῦ Δορίε ἵππε στρατήγημα, ὃν, Δαναοὶ μὲν δρασμὸν ὑποκρινάμενοι, ἅτε δὴθεν ἐπὶ τῇ ἐνναέτει ἀπαυδήσαντες πολιορκίᾳ, οἱονεὶ ἀνάθημα τῇ Ἀθηνᾷ κατέλιπον ἀνακειόμενον Ἱλαστήριον· οἱ δὲ Τρῶες ἐπὶ τῷ ἑαυτῶν ὀλέθρῳ περιποιησάμενοι, ἐντὸς στῆσαι τῶν ἐπάλξεων ἔπεισαν· Τῶν μὲν γὰρ ἐν Τρωσὶ, τὸν ὑφεύδοντα δόλον ὑφορωμένων, ὧν εἷς Λαοκόων μάλιστα ἰῷ· καὶ διὰ τῦτο λύειν τὸ μηχάνημα παραινέντων· τῶν δὲ πλειόνων, δέει τῦ περὶ τὸν Λαοκόωντα αὐτὸν, καὶ περὶ τῷ παίδε συμπτώματος, καὶ πειθοῖ δὲ ἅμα τῦ Ἀργείε Σινῶνος, (ὃν ὡς δραπέτην ἀφ' Ἑλλήνων αὐτομολήσαντα σωέχον·) τὸ ἀνατεθὲν τῇ Θεῷ ἀσμενιζομένων, ἡ ψῆφος τῶν δευτέρων ἐκράτει. Καὶ δὴ τῶν τειχῶν τῦ ἄστεος μέρος καθαιρεθέντος, ὅσον χωρῆσαι διελθεῖν, ὁ πελώριος εἰσενήνεκται ἵππος. Τῆς δ' ἐφεξῆς νυκτὸς, τῶν ἐν τῇ πόλει, ὡς ἤδη καθεζομένων ἐν ἀσφαλείᾳ, βαθεῖ ὑπνέντων, ἐπανέπλευσε μὲν ὁ στόλος ἅπας ἀπὸ Τενέδε τῆς Νήσε, ἔνθα ἐλάνθανον· ἐξέθορον δὲ κατὰ τὸ αὐτὸ κ, οἱ τῶν Ἑλλήνων λοχάδες, οἱ τῷ ἵππῳ ἔνδοθεν ἐνεδρεύοντες, καὶ τὴν πόλιν ἐμπιμπρᾶν ἀνεβάλλοντο καὶ διαπορθεῖν. Ἀντεπεξῆλθον δὲ τύτοις καὶ οἱ Τρῶες, τῇ πατρίδι ἐπιχειρῦντες ἀμύνεσθαι· καὶ μὲν δὴ, καὶ τὴν ἀρχὴν ἔδοξάν τι καὶ κατορθοῦν, τῶν πολεμίων ἀνελόντες συχνὺς· ἀλλ' ὅπε γὰρ, τῶν ἀναιρεθέντων αὐτοῖς Ἑλλήνων θωρακισθέντες τοῖς ὅπλοις, ὀλίγον ἐδόκησαν ἀπόναθαι τῆς μεταμφιάσεως, εἰς τἐναντίον περιετράπη τὸ δράμα, καθ' ἑαυτῶν μᾶλλον ἀποχρησαμένοις τῷ σχήματι. Ἀμφοτέρωθεν γὰρ, πρὸς τε τῶν δυσμενῶν καὶ τῶν οἰκείων, τῶν μὲν μηδόλως, τῶν δὲ καὶ μάλα τῦ πλάσματος ἐπαισθομένων, βαλλόμενοι διεφθάρησαν. Ὥσε τῶν Δαναῶν τέλεον κατισχυσάντων, τά τε Ἀνάκτορα κατεπορθεῖτο, καὶ Πρίαμος αὐτὸς ὑπὸ Πύρρε τῦ Ἀχιλλέως ἀνῄρηται. Ἐν τύτοις Αἰνείας, ἐπεὶ τῦ λοιπῦ μάτην ἑαυτῷ σωεῖδεν ἀγω-

ἀγωνιζομένῳ καὶ κινδυνεύοντι, ἀπογνὰς τῶν πραγμάτων, Θεὰς μὲν τὰς ἐφεξῆς φέρειν τῷ πατρὶ ἐγχειρίσας Ἀγχίσῃ, καὶ τόπον ἐπωμισάμενος ἀφενῶς ἔχοντα διὰ γῆρας πρὸς βάδισιν· καὶ μὲν δὴ, καὶ Ἀσκάνιον ἅμα συμπαραλαβὼν τὸν υἱέα, καὶ Κρέουσαν τιὼ ἄλοχον· τιὼ μὲν, τῶν Ἑλλώων πάντα ἤδη κατειληφότων, ὡς ἐν τῷ θορύβῳ ἀπολειφθεῖσαν, ἀπώλεσε· τοῖς δὲ σωαποδρὰς ἐπὶ τιὼ Ἴδιω τὸ ὄρος κατέφυγεν· ἔνθα γενομένῳ πλῆθὺς σωερρύη ἀνδρῶντε καὶ γωαικῶν τῶν ὁμοπατρίων, καὶ ἄλλων δὲ ἐκ τῶν συμμάχων, πανταχόθεν ὡς αὐτὸν σωδραμόντων, καὶ οἱ ἐφέπεσθαι, οἵπερ ἂν ἄγειν ἐθέλοι, προελομένων.

## ΕΠΙΓΡΑΦΗ

### Τῆς Β'. τῦ Μάρωνος Ῥαψῳδίας.

Εὔπυργον Τροίην ἑἷς ἵππος ὁ δόριος ἕλεν.



# P. VIRGILII MARONIS

## AENEIDOS

### LIBER II.

COnticuere omnes, intentique ora tenebant.
Inde toro pater Aeneas sic orsus ab alto:
Infandum regina jubes renovare dolorem,
Trojanas ut opes, & lamentabile regnum
Eruerint Danaï; quæque ipse miserrima vidi,

Et

❁ ❁ ❁

Στίχ: 1. ΠΑ΄ΝΤΕΣ ᾽ΑΚΗ΄Ν Δ᾽ ᾽ΕΓΕ΄ΝΟΝΤΟ κτ: Ἐπ᾽ αὐτῆς δὴ τῆς ἐυωχίας, Αἰνείαν ὁ Μάρων τὰ κατ᾽ αὐτὸν τῇ Διδοῖ διεξιόντα εἰσάγων, ὡς ἀναγκαίαν ἐπὶ τῇ ἀκροάσει προκαθίζησι τὸν σιγὴν, ὡς καὶ Ὅμηρος εἰώθει· (Ὀδυσ. Λ. 332. καὶ Υ. 320.) Ἐπεὶ δὲ καὶ σχῆμα προσώπε μάλιστα προσοχῆς ἔμφασιν ἔχει, διὸ ἐκεῖνο παρέλιπε, τὸ μὴ καὶ ὀφθαλμοῖς αὐτοῖς, ὅσα καὶ ὠσὶ χρησαμένες, μονονεχὶ τῶν χειλέων ἐξαρτῆσαι τὸ λέγοντος τὲς ἀκέοντας, προθεὶς ὅτι καὶ ἐντεῦθεν· τετέσιν ἀτενῶς πρὸς αὐτὸν ταῖς ὄψεσιν εἶχον.

Στίχ. 2. ΚΛΙΣΜΟΥ̃ . . . . ᾽ΑΠ᾽ ῞ΑΚΡΟΥ. Οὐχὶ τὸ πρώτε καὶ ὑπερτάτε· πῶς γὰρ, τῆς Ἀνάσσης παρέσης καὶ σωανακειμένης; τὸ δὲ τῶν λοιπῶν ὑπερέχοντος, τῇ προσεπιθέσει τυχὸν τινὸς ἔτι σρώματος, ὡς ἂν ἦτο μᾶλλον ἄποπτος εἴη καὶ ἀκρος, διηγέμενος· ἐπὶ γὰρ κλίναις ἢ σκίμποσιν ἀνακείμενοι ἐυωχῶντο.

Στίχ: 3. ΟὙΦΑΤΟ΄Ν, Ω῞ ΒΑΣΙ΄ΛΕΙΑ . . . ῞Ουτω καὶ πρὸς Ἀρήτην τὴν Ἀλκινόε ἄκοιτιν ὁ Λαέρτε: Ὀδ. Η. 241.

„Ἀργαλέον Βασίλεια διηνεκέως ἀγορεῦσαι κτ:

Καὶ πρὸς αὐτὸν αὖ Ἀλκίνοον διερωτῶντα: Ὀδυσ. Ι. 12.

„Σοὶ δ᾽ ἐμὰ κήδεα θυμὸς ἐπετράπετο σονόεντα
„Εἴρεσθ᾽, ὄφρ᾽ ἔτι μᾶλλον ὀδυρόμενος σοναχίζω.

῞Ηπε

# ΠΟΥΒΛΙΟΥ ΟΥΙΡΓΙΛΙΟΥ ΜΑΡΩΝΟΣ

## ΤΗΣ ΑΙΝΕΙΑΔΟΣ

### ΒΙΒΛΙΟΝ: Β΄.

Πάντες ἀκὴ δ' ἐγένοντο, σιωπῇ δ' ἐνατένιζον,
Αἰνείας δὲ πατὴρ κλισμῆ τῶς ἤρξατ' ἀπ' ἄκρης.
Οὐ φατὸν, ὦ Βασίλεια, νεώσαθ' ἄλγος ἀνώγεις·
Τρώϊον ὄλβον ὅπως, ὀλοφυδνὴ κοιρανίη τε,
Πόρθησαν Δαναοὶ· τάτ' ἐγὼν οἴκτισα ὄπωπα, 5



❁ ❁ ❁

Ἦπε δ' ὡς Σοφοκλῆς ἔφη ἐν Οἰδίπ: Στίχ. 501.
„Δεινὸν τὸ πάλαι κείμενον ἤδη κακὸν
„Ὦ ξεῖν' ἐπεγείρειν . . . . . .
„Διὸ καὶ Πλάτ. Συμποσ- Β΄. Προβλ Λ΄. „Τῶν κακῶν παραινεῖ φυλακτέον
„τὰς ἐρωτήσεις· ἀνιῶνται γὰρ διηγέμενοι, κτ:

Στίχ: 5. ΠΟΡΘΗΣΑΝ ΔΑΝΑΟΙ κτ. Κατ' ἐξοστελισμὸν τὸ Δαναοὶ, ἀναγνωστέον φησὶ Δονάτος, ἐ κατὰ νοῦν ἴσως τὸν Μάρωνες· ὃς ἐκ ἂν ἑκὼν ὧδε ποιήσειεν, ὑπὸ ἀγεννῶν τε καὶ ἀπολέμων τὸ Τρώων κράτος ἐκπορθηθῆναι, τοῖς Καρχηδονίοις Αἰνείαν διεξερχόμενον. Δαναοὶ δὲ οἱ Ἀργεῖοι, ἀπὸ Δαναοῦ προσείρηνται υἱοῦ Βήλου, ὃς Ἀθηνᾶς ὑποθήκαις ἐξ Αἰγύπτου μεταναστὰς ἐπὶ τὸ Ἄργος, τὴν ἐκεῖ βασιλείαν κατέσχε, παραδόντος αὐτῷ Γελάνωρος. (Ἀπολλόδ. Βιβλ: Β΄. Κεφ Α΄.)

Στίχ: Αὐτ. . . . ΤΑΤ' ΕΓΩΝ ΟΙΚΤΙΣΤΑ ΟΠΩΠΑ· Ὡς καὶ ὁ Λαέρτου τὰ κατὰ Σκύλλαν καὶ Χάρυβδιν, ἅττα πεπόνθοι, διεξιὼν ὕστερον: Ὀδυσ. Μ. 258.
„Οἴκτισον δὴ κεῖνο ἐμοῖς ἴδον ὀφθαλμοῖσι.

Στιχ:

Et quorum pars magna fui. quis talia fando
Myrmidonum, Dolopumve, aut duri miles Ulissi,
Temperet à lacrymis? & jam nox humida cœlo
Præcipitat, suadentque cadentia sidera somnos.
Sed si tantus amor casus cognoscere nostros,
Et breviter Trojæ supremum audire laborem:
Quanquam animus meminisse horret, luctuque refugit,
Incipiam. Fracti bello, fatisque repulsi
Ductores Danaum, tot jam labentibus annis,
Instar montis equum, divina Palladis arte

Aedi-

❁ ❁ ❁

Στίχ: 6. ΤΩΝ Τ' ΑΥΤΟΣ ΜΕΓΑ ΔΗ ΜΕΡΟΣ ΗΜΗΝ· Ἰδών γὰρ εἶδον· καὶ ἐ μόνον, ἀλλὰ καὶ πέπονθα τλὰς, ἐδενὸς τῶν ἄλλων ἐλάσσονα, φησὶν· ἅττα ἐχομένως διεξελεύσεται.

Στίχ: 7. ΜΥΡΜΙΔΟΝΩΝ . . . . . Ὁ μῦθος ἐκ Μυρμήκων ἀνθρώπες ἔπλασε. Τῶν γὰρ Αἰγινητῶν λοιμῷ, φασὶν, ἀρδίην διαφθαρέντων χόλῳ τῆς Ἥρας, ἠτήσατο Αἰακὸς παρὰ Διὸς, ἵν' οἱ μύρμηκες, τὰ ζωύφια, εἰς ἀνθρώπες μεταμειφθεῖεν, ὃ καὶ ἐγένετο. Ἡ, ὡς παρὰ τῷ Λυκόφρονος Σχολιαστῇ: Πηλεὺς ἀνελὼν τὸν ἀδελφὸν, εἰς Θετταλίαν φυγὼν ἤπειρει στρατῷ, ἐυξάμενος δὲ, εἰς ἄνδρας ἔχε μεταβληθέντας τὰς μύρμηκας. Οἱ δὲ, τλὼ τερατολογίαν ἐάσαντες, ἀπὸ Μυρμιδόνος τῷ βασιλεύσαντος τὰς Μυρμιδόνας κληθῆναι παρέδωκαν, καὶ τλὼν χώραν Μυρμιδονίαν, (Στέφ. Βυζάντ.) ἣν οἱ μὲν τλὼ Αἴγιναν εἶναι βέλονται, οἱ δὲ τλὼ Θετταλίαν, οἱ δ' ἑκατέραν, διὰ τὸ ἀπὸ τῆς Νήσε ἐπὶ Φθίαν μετοικισθῆναι τὰς Πηλεῖ παρακολυθήσαντας, ὅθεν ὕστερον κατὰ Τρόιας Ἀχιλλεῖ συστρατεύσαν. Ἀλλ' εἰκὸς καὶ τῷ ὀνόματος τὰς Αἰγινήτας τυχεῖν, ἐκ τῆς ἐν καταγαίοις σπηλαίοις διαίτης τῶν αὐτῇ ἐνοικέντων· οἱ τὰς μὲν γινομένας καρπὰς εἰς αὐτὰ καταφέροντες, τλὼ δ' ἐξ αὐτῶν ὀρυττομένλω γλῷ ἐπὶ τὰ γεώργια ἀναφέροντες, ἅσης ἐπιεικῶς ὑπάντρε καὶ ὑποπέτρε τῆς Νήσε, τοῖς μύρμηξιν ἐδοξαν ποιεῖν παραπλήσια· (ὁ Πινδ. Σχολ: Ὠδ. Δ. Νέμ.) ἢ, ἐκ τῷ πλήθες τῶν οἰκέν„των· πλήθειν γὰρ ἀνδρῶν ἔτω φασὶ τλὼ Αἴγιναν, ὡς εἶναι ποτὲ ἐν „αὐτῇ τεσσαράκοντα μυριάδας οἰκετῶν, (ὡς Βερκέλιος, ἐν τοῖς εἰς τὰ Στεφάνε τῷ Βυζ: Ἐθνικὰ, ἐσημειοῦτο, τὸν Σχολιαστ. Πινδ. ἐπαγόμενος μάρτυρα· παρ' ᾧ γεμλω αὐτὸς εὗρον τοιῦτον, ἐν ᾗπερ Ἐκδόσει τυγχάνω χρώμενος.) Ἀλλὰ γὰρ ἐμπορεῖον μέγα τλὼ Αἴγιναν γενέσθαι, καὶ Στράβων ἐν τῷ Η. τῶν Γεωγρ: ἔφησε, διὰ τλὼ λυπρότητα τῆς χώρας τῶν ἀνθρώπων θαλαττεργόντων ἐμπορικῶς.

Στίχ: Αὐτ: . . . . . ΔΟΛΟΠΩΝ Τ' . . . . . Οἱ δὲ Δόλοπες τλὼ παρὰ Πίνδον τὸ ὄρος Θετταλίαν ἔχοντες, ἔτι δὴ καὶ ἐπέκεινα ἐς γ' ἐπὶ Αἰτωλίαν καὶ Ἀκαρνανίαν ἐχώρεν. Διὰ γοῦν Δολοπίας ῥέων ὁ ποταμὸς Ἀχελῶος ἐπὶ τλὼ Ἀκαρνάνων εἰσβάλλει χώραν, κἀντεῦθεν προϊὼν, ἐς τλὼ ἀντικρὺ τῶν Ἐχινάδων ἐκβάλλει θάλασσαν· ἐστρατεύσαντο δὲ ἢ Δόλοπες κατὰ Τρόιας, Φοίνικι ἑπόμενοι τῷ Ἀχιλλέως παιδαγωγῷ. Εἰωθε τοίνιν λαμβάνεσθαι τὰ εὐδοκιμώτερα ταῦτα γένη, ἀντὶ ὅλε τῷ Ἑλλωικῷ. Οἱ γὰρ ἐνταῦθα Μυρμιδόνες καὶ Δόλοπες, οἵ τε ἀπαχοῦ Δαναοὶ, καὶ οἱ Πελασγοὶ δὲ, καὶ Ἀχαιοὶ, καὶ Ἀργεῖοι, παρὰ Οὐιργιλίῳ, εἴωπε καὶ παρ' Ὁμήρῳ, αὐτὸ ὅλον συνεκδοχικῶς τὸ ἔθνος παρισῶσι, τὰς Ἕλλωας. Καὶ ἐ μικρὸν ποιητὴς ἡ τοιάδε συντελεῖ χρῆσις, ἅτε δὴ καὶ πρὸς εὐμάρειαν τῷ μέτρε συμβαλλομένη, καὶ τῇ τῶν ὀνομάτων ποικιλίᾳ τὸν λόγον κατακαλλωπίσασα.

Στίχ: Αὐτ: . . . . ΑΙΝΟΥΤ' ΟΔΥΣΗΟΣ ΟΠΑΩΝ, Οὐκ ἂν δὲ ἕτερος νοηθείη ὁ Ὀδυσσέως ὀπαδὸς ἕτος, ἢ Ἰθακήσιός τις τυχὸν, ἢ Κεφαλλὼ, ἢ Ζακυνθίος, ἢ τῶν τλὼ Σάμον ἀμφινεμομένων ἐς, ἢ τῶν τλὼ Ἤπειρον ἐχόντων, καὶ τλὼ Περαίαν, ὧν Ὀδυσσεὺς ἡγεμονέυων ἐτύγχανεν. (Ιλ: Β. 631-636.)

Τὸ

Τῶν τ' αὐτὸς μέγα δὴ μέρος ἤμιω· τὶς τὰ πιφάσκων
Μυρμιδόνων, Δολόπων τ', αἰνῆ τ' Ὀδυσῆος ὀπάων,
Δάκρυ κατάσχοι; καὶ ἰοτερὴ νύξ ἠνὶ δ' ὅλιοθεν·
Ἄσρα δὲ δυσσόμεν' ἐς δὴ νήδυμον ὕπνον ἐπείγει.
Ἀλλ' εἰ τόσσος ἔχει ἔρος ἡμῶν κήδεα γνῶναι,
Τροίης τ' ἐν βραχέσι πρυμνὸν δεδαήμεναι ὄιτον,
Κ' αἶκεν ἐμοὶ θυμὸς φρίσσει, γοάει τε μνῆσθαι,
Ἄρξομαι. Ὡς πολέμοις θράυσθεν, μοίρας τ' ἐκπρόσθεν
Ἀρχηγοὶ Δαναῶν, ἕτεά σφιν δ' ὤχετο τόσσα·
Ἵππον ὄρει ἶσον θείας πραπίδεσσιν Ἀθήνης
Τεύ-

❁ ❁ ❁

Τὸ δὲ αἰνῆ, ἐχὶ τῆ πολλὰ δὴ τλάντος ἐςὶν ὧδε, ἀλλὰ τῆ χαλεπῆ, καταφορικῶς· τῆ ἀπλοΐος τε καὶ ἀμελίκτε. Καὶ φησὶ γὰρ· τοιαῦτ' ἄττα ὑμῖν διηγήσομαι, οἷων, μηδὲ τῶν δυσμεναινόντων ἡμιν τὲς νηλεεςάτες, ἀδακρυὶ παρελθεῖν ἂν τὶω ακρόασιν.

Στίχ: 8. . . . . ΚΑΙ' ΝΟΤΕΡΗ ΝΥ'Ξ κτ: Εὖ δὴ Δονάτος, ὅτι ταῖς νυξὶ προϊόσως ἡ ὑγρότης κατάρχεται· ἐξ οὗ δῆλον, τὸν παρὰ τῆ Διδοῖ πότον προῆχθαι τὸ τλωικαῖτα καὶ τῆ μεσονυκτίε ἐπέκεινα. Ὅ σαφὲς ἐςὶ, καὶ ἐξ ὧν ὁ Ποιητὴς ἐπιφέρει ἐχόμενα.

Στίχ: 13. . . . . ΩΣ ΠΟΛΕ'ΜΟΙΣ ΘΡΑΥ'ΣΘΕΝ, κτ: Μὴ πάντη κακῶν ἀπαθεῖς δὶ ὅλε τῆ Τρωικῆ πολέμε διαγενέσθαι, μηδὲ τὲς Δαναῶν Ἀρχηγὲς Αἰνείας φησὶ, τλιὼ ἐξ ἀνανδρίας ἀδοξίαν, ἑαυτῆ τε, καὶ τῶν ἡττηθέντων ὁμογενῶν, ἐκ μέρες γᾶν. ἀποτρίβων· Ἔπειτα καὶ ὑπὸ τῶν Μοιρῶν ἐκένες προσέθετο ἐκκεκρῆθαι. Θέσφατα καὶ γὰρ τινα φερόμενα, ἐκ ἄλλως Δαναοῖς προέφαινον Τροίαν αἱρήσειν, ἢ 1. τὲς Ῥήσε ἵππες προκαταχέσι. 2. καὶ σωάμα τινὶ τῶν ἐκ γένες τῆ Αἰακῆ, σωαγωνιζομένω τε αὐτοῖς καὶ συμμαχέντι· διὸ καὶ Ἀχιλλέως ἀναιρεθέντος τὸν υἱὸν Πύρρον, καὶ τοι παῖδα ὄντα τλιὼ ἡλικιαν, ἔπεμψαν ἐυθὺς μεταπέμψασθαι. 3. καὶ τὰ Ἡρακλέες τόξα, ἃ Φιλοκτήτης διετήρει, παρ' ἑαυτοῖς ἔχεσιν· ὅθεν καὶ τῆς τέτων ἐπὶ τὸ στρατόπεδον μετακομιδῆς ἐκ ἠμέλησαν. Καὶ ταῦτα μὲν ἴσως, ῥάδιον ἰῶ ἐκ μέσε ἄραι τὰ ἀντιπίπτοντα· ἀλλὰ γὰρ καὶ Τρωσὶ ἄλλως ἐχ ἁλωτὸν εσεσθαι τὸ Ἴλιον προηγόρευτο· 1. τῆ Τρωΐλε ἔτι περιόντος τῶ βίω 2. τῆ Παλλαδίε τῶν Περγάμων ἐντὸς ἑσηκότος· 3. καὶ τῆ Λαομέδοντος Τύμβε, τῆ ἐνταῖς Σκαιαῖς πύλαις, ἀκινήτε μένοντος. Ἐκ τέτων σωῖ τὲς Δαναὲς εἰκὸς ἦι ἐκκρέεσθαι μέχρι τινὸς, καὶ τῶν ἐλπίδων ἐκπίπτειν, ὧν εἶχον τῆ Τροίαν χειρώσεσθαι· προσεπαναλογιζομένε μάλιςα καὶ τῆ χρόνε, καθ' ὃν τὴν πόλιν περιεκάθηντο.

Στίχ: 14. . . . . ΕΤΕΑ' ΣΦΙΝ Δ' ΩΧΕΤΟ ΤΟ'ΣΣΑ. Ἔννατον γὰρ τῆς πολιορκίας ἔτος ἦν παραρρεῦσαν. Ἰλ. Β. 134.

„Ἐννέα δὴ βεβάασι Διὸς μεγάλε ἐνιαυτοὶ.

Ὥςε καὶ τὸν Βασιλέα ἐν αἰχμὴ τίθεσθαι οὐκ ἀπεικότως, τὸ: (Αὐτ: 120.)

„Μάψ ἔτω τοιόνδε τε, τοσόνδε τε λαὸν Ἀχαιῶν,
„Ἄπρηκτον πόλεμον πολεμίζειν, ἠδὲ μάχεσθαι.

Καὶ μᾶλλον, ἢ καθ' ὑπόκρισίν τε καὶ ἀπόπειραν τῆ στρατῆ, ἐκεῖνο ἂν ἐπιβοήσαθαι ἔχειν: (Αὐτ: 140.)

„Φεύγωμεν σὺν νηυσὶ φίλιν ἐς Πατρίδα γαῖαν·

Ἀπογνῶντα ἤδη τῆ σκοπεῖτε καὶ τῶν ἐλπίδων· (Αὐτ: 141.)

„Οὐ γὰρ ἔτι Τροίλν αἱρήσομεν ἐυρυάγυιαν.

Στίχ: 16. ΙΠΠΟΝ ΟΡΕΙ ΙΣΟΝ· Καθ' ὑπερβολὴν εἰς ὄρες μέγεθος ὁ ἵππος τῷ λόγῳ ἐξώγκωται, διὰ τὸ ὑπερφυὲς καὶ ἔκπαγλον τῆ ἀπελέθρε τεκτονήματος. Διὸ καὶ Ὅμηρος (Ὀδ. Θ. 512.) Δερᾶτεον μέγαν ἵππον ἔπε· καὶ (Αὐτ: 509.) μέγ' ἄγαλμα, τὸν αὐτὸν ὄνπερ ἔτι καὶ κατ' ἔμφασίν τινα προσφυέσατα ἐμεγέθυνεν, ἐν οἷς, (Ὀδυσ. Λ. 522) τὸν Λαέρτε εἰσάγει τλιὼ εἰς τὸν ἵππον εἰσέλευσιν διὰ τῆς καταβάσεως ὑπεμφήναντα.

Ædificant, ſectâque intexunt abiete coſtas.
Votum pro reditu ſimulant: ea fama vagatur.
Huc delecta virûm ſortiti corpora furtim
Includunt cæco lateri: penituſque cavernas
Ingentes, uterumque armato milite complent.
Eſt in conſpectu Tenedos, notiſſima famâ
Inſula, dives opum, Priami dum regna manebant:
Nunc tantum ſinus, & ſtatio malefida carinis.
Huc ſe provecti deſerto in littore condunt;
Nos abiiſſe rati, & vento petiiſſe Mycænas.
Ergo omnis longo ſolvit ſe Teucria luctu:
Panduntur portæ: juvat ire, & Dorica caſtra,
Deſertoſque videre locos, littuſque relictum.
Hîc Dolopum manus, hîc ſævus tendebat Achilles:
Claſſibus hîc locus, hîc acies certare ſolebant.
Pars ſtupet innuptæ donum exitiale Minervæ,
Et molem mirantur equi: primuſque Thymœtes
Duci intra muros hortatur, & arce locari:
Sive dolo, ſeu jam Trojæ ſic fata ferebant.

At

❀ ❀ ❀

„Ἀυτὰρ ὅτ' εἰς ἵππον κατεβαίνομεν ὃν κάμ' Ἐπειὸς.
Ἐν γὰρ τῷ κατεβαίνομεν, τὸ μέγεθος τῦ ἵππε ἐμφαίνει· ὡς ἄριστα σεσημ. Διονύσ. Ἁλικαρν. Περὶ τῆς Ὁμήρε Ποίησεως. §. 7. περὶ τὸ τέλ.) καὶ ὁ τὰ Ὁμήρε βιογραφήσας ὡσαύτως. Τὸν μὲν οὖ τηλικῦτον Ἵππον, καὶ Δέρειον καλῦσι, καὶ Δερᾶτεον, ὡς ἐκ τῆς ὕλης· Οὐ γὰρ οἶμαι ὡς ἐκ τῦ δόρατος, ἥπερ Ἐυριπίδη ἐν ταῖς Τρωάσιν ἔδοξέπως ἐτυμολογεῖν. (Στίχ. 13. 14.)

„Ὅθεν πρὸς ἀνδρῶν ὑςέρων κληθήσεται
„Δέρειος ἵππος, κρυπτὸν ἀμπίχων δόρυ.

Τῦτον δὲ οἱ μὲν, μηχάνημά τι φασὶ γενέσθαι Τειχομαχικὸν κατὰ τὰς ἑλεπόλεις, εἰς εἶδος ἵππε χηματισθὲν, καὶ ἔτως ὀνομασθὲν, ὥσπερ καὶ οἱ Κριοὶ, καὶ αἱ Χελῶναι, καθ' ὁμοιότητα τἰῶ τῦ χήματος. Οἱ δὲ, τὸν πυλῶνα δι' οὗ τῆς πόλεως ἐπικρατεῖς ὤφθησαν οἱ πολιορκῦντες, παρὰ τὸ ἵππε εἶκελον ἐπ' αὐτῷ ἱδρύσθαι, ἀφορμὴν δῦναι τῷ πλάσματι. Οἱ δὲ, σημεῖον τῦτο, ἢ σωθημα, τὸ δοθὲν Δαναοῖς πρὸς διάγνωσιν. Οἱ δ' ὅτι τῦ καλεμένε Ἱππίε ὄρες, ὅπισθεν ἔλαθον παραμείναντες, οἱ τὸν ἀπόπλεν πλασάμενοι· οὗ χάριν ὄρει ἴσον τὸν ἵππον ὁ Μάρων ἐποίησεν. Ἀλλὰ τέως ὥς, τις τεκτονηθεὶς ἵππος ἄδεθαι ἐξενίκησε. Κἂν δέτις μετὰ Παυσανίε φαίη, ὅτι τὸ „ποίημα τῦ Ἐπειῦ, μηχάνημα εἰς διάλυσιν τῦ τείχες τεχνιτευθὲν οἶδεν, „ὅς τις μὴ πᾶσαν ἐπιφέρει τοῖς Φρυξὶν ἐυήθειαν. (Παυσ. Βιβλ: Α. Κεφ: ΚΓ.) ἀλλ' ἐδὲ τὸ ἐκ τῦ αὐτῦ προσεθὲν Παυσανίε σιγῶν ἂν παρέλθοι: ὡς „ἵππος ὁ καλέμενος Δέρειος ἀνάκειται (ἐν τῇ Ἀθηναίων ἀκροπόλει) χαλ„κὸς, (τῦ ἐν Τροίᾳ Δερείε τετέχνιν ἀντίτυπος.) καὶ ὅτι τῦ χαλκῦ τὸ χῆ„μα ἐςὶ κατὰ ταὐτὰ καὶ Μενεθεὺς, καὶ Τεῦκρος ὑπερκύπτεσιν ἐξ αὐτῦ· προσέτι δὲ καὶ οἱ παῖδες οἱ Θησέως.

Στίχ: 16 . . . . . ΘΕΙΑΙΣ ΠΡΑΠΙΔΕΣΣΙΝ Ἀθλώης· Ουίργ. Divina Palladis arte: ὅπερ ἐςὶν ἐπὶ λέξεως: Θεία Παλλάδος τέχνη· ἔνθα οἱ Σχολιασταὶ ἀμφιλογῦντες, τὸ, τέχνη, ἤτοι ἐπιςήμη καὶ κατασκευὴ φασὶ, δεξιᾶ τε καὶ ἐυμεθόδω, ἢ δόλω. Ἀλλ' ἐδὲν δεῖ λεπτολογεῖν· ἄλις δ' ἔχει νοεῖν, ἐκ μὲν Ἀθηνᾶς τἰῶ τῦ ἔργε ἐπίνοιαν καὶ ὑποθήκιω, ἐξ ἀνθρώπων δὲ τἰῶ χειρεργίαν

Τεύξαντ', ἐκ δ' ἐλάτης τμηγείσης πλευρὰ σωάρσαν.
Νόστ δ' ἐυχὴ δῆθεν ἔἰω· τὸ γὰρ ἤγγελε φήμις.
Ἔνθ' ἀνέρων κλήρῳ ἐπίλεκτάγε σώματα λάθρα
Ἐινεῖρξαν κρυπτῆρσιν ἀδήλοις· κοῖλα δὲ τ' ἄνδον
Ἐυρέα, καὶ λαγόνας θ', ὁπλιτάων ἐνιπλῆσαν.
Ἔς' ἄντιω Τένεδος, γνωτὴ ἅλις ἔνομα Νῆσος,
Ἀφνειὸς, Πριάμου ἐς ὅσον Βασιλήϊα ἔξαν·
Νωὶ μυχὸς δὲ μόνον, καὶ νάυσαθμός γ' ὀ πάνυ πιξὸς.

Β 2 Ἔνθα

❀ ❀ ❀

ἐυεργίαν προελθεῖν, τῶν σωὶ Ἀθἰωᾷ καὶ χεῖρα κεκινηκότων. Οὕτω γὰρ καὶ Ὅμηρος περὶ τότε ἀπεφήνατο: Ὀδυ: Θ. 493.

„Ἵππε δαιτατέε, τὸν Ἐπειὸς ἐποίησε σωὶ Ἀθήνη.

Καὶ Ἐυριπ: ἐν Τρωάσ. στίχ. 10·

„Φωκέως Ἐπειὸς μηχαναῖσι Παλλάδος.

Καὶ ὁ Καλαΐβρ. ΙΒ. στίχ. 80. Καὶ Τρυφιόδ. Ἰλίε ἁλὼσ. Ὃδ' Ἐπειὸς οὗτος ὁ κατ' Ἐυριπ. Φωκεὺς, ὡς μὲν τινες, υἱὸς ἦν Πανοπῆος, εἰς Αἰακὸν τὸν Διός, τὸ γένος ἀνάγων· ὡς δ' ἄλλοι, ἀδελφὸς καθαρῶς Ἔλλω. Τοῦτον γὰρ Λυκόφρων ἐν τῇ Κασσάνδρᾳ „Ἡμιρῆτα, βάρβαρον Ἐπειὸν, ὀνομάζει.

Στίχ: 17. ΝΟΣΤΟΥ Δ' ΕΥΧΗ ΔΗΘΕΝ ΕΗΝ. ΤΟ ΓΑΡ ΗΓΓΕΛΕ ΦΗΜΙΣ. Τῶν τις δὲ τῶ Μάρωνος Σχολιαστῶν, καὶ ἐπιγραφὴ τιὼ τοῦτο δηλοῦσαν παραθέθαι ἐτόλμησεν, ἔχουσαν ὕτως:

„Danai Minervæ Iliadi dono.

„Δαναὶ Ἀθἰωι τῇ Ἰλιάδι δῶρον.

Ἢ καὶ ἄλλως: Minervæ donum armipotenti Danai abeuntes dicant.

„Ἀθήνῃ δῶρον δορυθενεῖ Δαναοὶ ἀπιόντες ἀνατιθέασιν.

Ἀλλ' ὐδὲν τοιοῦτον Παυσανίας ἰσόρησεν. ἐπὶ τῶ Ἀθἰωῆσιν ἀνακειμένῳ χαλκέῳ ἀντιτύπῳ ἐπιγεγράφθαι· ἐκ ἂν δήπω εἰπεῖν παρεάσας, ὁ μηδὲ Μενεσθέα καὶ Τεῦκρον τῶν ὑπερκύπτειν τῶ ἵππῳ καθορωμένων προθεῖναι παραλιπών. Ἄλλως τε δὲ, ὐδ' ἂν ὁ Μάρων προσέθετο„ τὸ γὰρ ἤγγελε φῆμις, ἡ διὰ στομάτων δηλ: πλανῆτις οὖσα: Votum pro reditu simulant, ea fama vagatur. Ἔιτι τῶ ὄντι τοιοῦτον ἐπὶ τῶ Ἀναθήματος ἐπεγέγραπτο.

Στίχ: 18. 19, 20. ΕΝΘ' ΑΝΕΡΩΝ ΚΛΗΡΩι κτ: Πάντα ἐξ Ὁμήρε, Ὀδυσ. Θ. 495. κξ:

„ . . . . . ἦγαγε δῖος Ὀδυσσεὺς
„Ἀνδρῶν ἐμπλήσας, οἳ Ἴλιον ἐξαλάπαξαν.

Καὶ Αὐτ: στίχ: 502. . . „ . . . Τοὶδ' ἤδη ἀγακλυτὸν ἀμφ' Ὀδυσῆα,
„Εἵατ' ἐνὶ Τρώων ἀγορῇ κεκαλυμμένοι ἵππῳ·

Ὅπερ δὲ Μάρων ὧδὶ ἔφη καὶ λαγόνας ὁπλιτάων ἐνιπλήσας: χαριέντως ἔφθασεν Εὐριπίδης, ἐν Τρωάσ „Ἐγκύμον' ἵππον τευχέων, ἐπονομάσας· Καθ' ὃν καὶ Ἀντίφιλος ἐν Α. τῆς Ἀνθολογ. Ἐπιγρ.

„Εὐόπλε Δαναῶν ἔγκυον ἡσυχίης.

Στίχ: 21. ΕΣΤ' ΑΝΤΗΝ ΤΕΝΕΔΟΣ. . . . . Κεῖται δ' ἡ Νῆσος ἀπέναντι τῶ Σιγείε Ἀκρωτηρίε, ἐν ᾧ Τρσίας ἰῶ ὁ λιμιὼ σταδίες ὡσεὶ 168. ἀπέχουσα. Ἐκαλεῖτο δὲ τὸ πάλαι Λεύκοφρυς. Καὶ Καλύδνα δὲ· (Ὡς παρὰ Λυκόφρ. 25.) Τένεδος δὲ εἴρηται ἀπὸ Τένε (ἢ καὶ διὰ νν) οἱονεὶ Τέννε ἔδος, (ὅρα Στέφ: Βυζ.) περὶ οὗ διάφορα λέγεται, ἐξ ὧν καὶ Παροιμίαι περιφέρονται: ὁ Τενέδιος Αὐλητὴς· ἐπὶ τῶν τὰ ψευδῆ μαρτυρούντων. Καὶ ὁ Τενέδιος πέλεκυς· ἐπὶ τῶν σωτόμως ἀποκοπτόντων τὰ ζητήματα. Καὶ ὁ Τενέδιος ξωυήγορος· ἐπὶ τῶν ἀποτόμων καὶ σκληρῶν· τιὼ σωῖ Τένεδον Νῆσον εἰκὸς ἐκ ἀγνοουμένιν εἶναι τινὰ ἀδ' ἄσημον, ἄρισά τε θέσεως ἔχουσαν, καὶ πλέτῳ κομῶσαν, ἕως ἔ τὲ Πριάμε ἴσατο κράτος· ὕστερον δὲ τῇ Μητροπόλει ἡ αὐτιὼ σωταπεινωθἰῶαι, τῶν δεινῶν μεταχοῦσαν τῆς Ἰλίε ἁλώσεως.

Στίχ:

At Capys, & quorum melior ſententia menti,
Aut pelago Danaum inſidias, ſuſpectaque dona
Præcipitare jubent, ſubjectiſque urere flammis;
Aut terebrare cavas uteri, & tentare latebras.
Scinditur incertum ſtudia in contraria vulgus.
Primus ibi ante omnes, magnà comitante caterva,
Laocoon ardens ſummà decurrit ab arce:
Et procul: O miſeri, quæ tanta inſania, cives?
Creditis avectos hoſtes? aut ulla putatis
Dona carere dolis Danaum? ſic notus Ulyſſes?
Aut hoc incluſi ligno occultantur Achivi;

Aut

❀ ❀ ❀

Στίχ: . . . . . ΡΗΓΜΪΝΙ ΚΡΎΦΘΕΝ ΈΡΉΜΗι. Τῇ ἐν μέρει δήπε τῆς Νήσε, ἔνθα ἂν τοῖς ἐκ Τροίας εἶεν ἀθέατοι. Οὕτω καὶ ἐν τῷ IB. τῶν Παραλειπ· στίχ: 339. ὁ Καλαβρὸς Κόϊντος.

„Οἱ δὲ θοῶς ἀφίκοντο πρὸς ἠιόνας Τενέδοιο.

Στίχ: 25. . . . . ΜΥΚΉΝΑΣ. Σωεκδοχικῶς, ἐκ τῆ μέρες τὸ ὅλον.

Στίχ: 26. . . . . ΜΑΚΡΟΪ́Ο ΓΌΟΙΟ, τῆ ἤδη (ὡς εἴρηται στίχ 14) εἰς ἔτος δέκατον παρατείναντος.

Στίχ: 27. . . . . ΈΔΟΞΕ ΔΕ᾽ ΈΚΤΟΣΕ ΈΡΨΑΙ. Οὕτω καὶ Κόϊντ: Παραλ: IB. στίχ. 351.

„Γηθόσυνοι δ᾽ ἄρα πάντες ἐπέδραμον αἰγιαλοῖσι.

Στίχ: 28. ἩΔ᾽ ΈΟΘΙ ΔΩΡΙΈΕΣ . . . . . Ἐκ Δώρε τῆ Ἕλλωός τε καὶ Ὀρσηίδος Νύμφης οἱ Δῶρες καὶ Δωριεῖς. (Ἀπολλόδ. Βιβλ: Α.Κεφ: Ε.) Ἡ δὲ χώρα ἡ κατὰ τὰ Πίνδε ὑπώρεια, πρὸς μὲν Ἄρκτον ἔχεσα Θετταλίαν, ἐκ δὲ Μεσημβρίας Φωκίδα τε καὶ Λοκρὶς τὰς Ὀζόλας. Δωριεῦσι δὲ τέσσαρες πόλεις ὑπῆρχον αἱ ἐπισημότεραι· ἐξ ὧν καὶ ἡ Δωρικὴ τετράπολις εἴρηται. Ἦν δὲ καὶ ἡ Ἀσιατικὴ Δωρὶς ἡ ἐξ ἀποικιῶν συσᾶσα, ἐπὶ τῆς μεταξὺ Ἴε Δωρικῆ, καὶ τῆ Κεραμικῆ τῶν Κόλπων κειμένης χερσονήσε· (ὅρα M. Helliez. ἐν τῇ κατὰ Οὐιργ. Γεωγρ.) Καὶνταῦθα μέντοι ἀντὶ τῶν Δωριέων, νοητέον ὡς ἄνωτ: (Σημ: στίχ: 14. καὶ 25.) ἁπλῶς τὰς Ἑλλιωας.

Στίχ: 30. ΧΕΙΡ ΈΩΔ᾽ ἮΝ ΔΟΛΌΠΩΝ. Γῶν συωεκρυέντων τῆ Ἄχεος Τρώων, ἕτερος πρὸς ἕτερον, οἷον δακτυλοδεικτῆντες, ὡς ἔκασα ὧδε συνέβη γενέθαι ἐπὶ τῆ πολέμε, καθυπεσήμαινον.

Στίχ: 32. ΘΆΜΒΕΟΝ ΟὝΝ ΑΝΆΘΗΜΑ . . . . Καὶ Κόϊντος δὲ IB. Παραλειπ· στίχ: 353.

„Ἵππον δ᾽ εἰσενόησαν ἐΰξοον· ἀμφὶ δ᾽ ἄρ᾽ αὐτῷ
„Θάμβεον ἑσαότες . . . . . .

Καὶ ὁ Τρυφιόδωρος ἐν Ἰλίε ἁλώσει:

„Οἱ δ᾽ ὅτε τεχνήεντος ἴδον δέμας αἴολον ἵππε,
„Θάυμασαν ἀμφιχυθέντες . . . . . .

Στίχ: 33. . . . ΘΥΜΟΪ́ΤΗΣ. Εἷς μὲν ἦν ὁ Θυμοίτης τῶν ἀμφὶ Πρίαμον πρὸς Ὁμήρε καταλεχθέντων ἐξ ὀνόματος. Ἰλ: Γ. 146-149.

„Οἱ δ᾽ ἀμφὶ Πρίαμον, καὶ Πάνθοον, ἠδὲ Θυμοίτιν κτ:

Ἐνταῦθα δὴ Σέρβιος ὁ Σχολιογράφος, ἱστορεῖθαι, φησὶν, ὑπὸ Εὐφορίωνος, Πρίαμον διὰ χρησμῆ μαθόντα, τὸ ἐφ᾽ ἡμέρᾳ πεφασμένῃ τεχθησόμενον, αὐτῷ τε, καὶ τῷ γένει παντὶ εἰς ὄλεθρον ἐσεθαι περιὸν τῷ βίῳ· ἐπειδὴ συνέβη ἅμα κατὰ τὸ αὐτὸ, Ἑκάβιν τε τιὴ αὐτῆ, καὶ τιὴ Θυμοίτε γαμετιὴ ἐκτεκεῖν· φέσαθαι μὲν τῆ ἰδιε τέκνες, ἤτοι τῆ Πάριδος· κελεῦσαι δ᾽ ἀποκτανθῆναι τὸ Θυμοίτη τεχθέν· καλεῖθαι δὲ τιὴ Θυμοίτε ἀκοίτιν (ὡς ὁ γράψας τὰ εἰς Λυκόφρονα Σχόλια παρέδωκε.) Κίλλαν, καὶ κασιγνήτιν ταύτιν εἶναι Ἑκάβης· μοιχευθεῖσαν δ᾽ ὑπ᾽ αὐτῆ τῆ Πριάμε ὑὸν ἐκ-

Ἔνθα καταχθέντες ῥηγμῖνι κρύφθεν ἐρήμῃ.
Τὰς δ' οἴχεθ' ἡμῖν δόατο, πλεῦσαι τε Μυκήνας.
Τοιγὰρ Τεύκρῳ γαῖα μακροῖο γόοιο λέλυτο.
Καὶ ῥ' οἴγνυτο πυλῶνες, ἔδοξε δὲ ἔκτοσε ἕρψαι.
Ἦδ' ὅθι Δωριέες τε κατεῤῥατόωντο ἰδέσθαι,
Καὶ χώρους, κἀκτὰς, τὰς δὴ καταλεῖπον ἐρήμας.
Χεὶρ ὧδ' ἦν Δολόπων· Ἀχιλεὺς δὲ παρέμβαλεν ὧδε.
Ὧδ' ἔξαν νέες· ὧδε δὲ ἕλαῃ δηριόωντο.
Θάμβεον ἂν ἀνάθημα ὅλων ἀνύμφῳ Ἀθηνῇ,
Καὐτὸ πέλωρ ἵπποιο τεθήπεσαν· ἠδὲ Θυμοίτης
Πρῶτος ἄγεσθ' ὤτρυνεν ἔσω τειχῶν, ἐπὶ δ' ἄκρης
Αὐτῆς ἱδρυμένον πόλεως ἱρὸν γ' ἀνακεῖσθαι.
Εἴτε δολοπλοκίῃ· εἴτ' ἄρ τὸ μεμοίρατο Τροίῃ.
Ἀλλὰ Κάπυς, καὶ ὅσοις φρεσὶ κρείσσων ἔπλετο μῆτις,
Ἢ κατὰ δὴ πελάγους Δαναῶν ἐνέδρας, ἰδ' ὕποπτα
Δῶρα κέλοντο βαλεῖν, ἢ φλοξὶ πυρὸς παραδῦναι,
Ἢ γαστρὸς τορέειν κενεῶνας, κεύθεά τ' ἀθρεῖν.
Σπουδαῖς ἀντιπάλοις, τῶς φράζετο ἄνδιχα ὄχλος.
Τόφρα δ' ἐφεσπομένων πολλῶν, ἐνταῦθα πρὸ πάντων

Αἴθων

❀ ❀ ❀

ἐκδῦναι τὸν Μύνιππον· καὶ τέτω σωάμα, διὰ τὸν χρησμὸν ἀναιρεθῶαι καὶ τιὼ γεννήσασαν. Θυμοίτιω ἔν, τιὼ ἐπὶ τῷ ἀδικήματι διὰ μακρᾶ βυσσοδομεύοντα μῆνιν, τιὼ ὀλεθρίαν ὑποθέσθαι βελιὼ, τᾶ τὸν Δαράτεον ἵππον ἔσω τᾶ ἄστεος εἰσενεχθῆαι, μηδὲν ὑποσειλάμενον τᾷ καταῤῥοφῇ τᾶς πατρίδος ἀμπώσθαι Πρίαμον, ἐφ' οἷς ὑπ' αὐτᾶ, περί τε τιὼ τεκοῦσαν καὶ τὸ τεχθὲν, φθάσας ἠδίκηται. Καὶ τότε δὴ χάριν, φασὶν, ὁ Ποιητὴς, ὡς ἐπ' ἀμφιβόλῳ, μετὰ διασολῆς προσέθετο κατωτέρω: στίχ. 36.

„Εἴτε δολοπλοκίῃ, εἴ τ' ἄρ τὸ μεμοίρατο Τροίῃ.

Σημειωτέον ἀλλ' οἰῶ, ὅτι μακρῷ διαφερόντως, ἢ κατὰ τὰ ἀνωτέρω, τὰ ἐπὶ τῆς τᾶ Πάριδος γεννήσει χρησμολογηθέντα τε καὶ συμβάντα παρ' ἄλλοις ἰσόρηται. (Ὅρα Ἀπολλόδ. Βιβλ. Γ. Κεφ: ΙΒ.) Περὶ δὲ τᾶ Θυμοίτα, ὡς δολευσαμένα, ἢ ὁ τὸ ἐπίγραμμα δεὺς (ἐν τῷ Ε. τῆς ἀνθολ.) ἔχεν ὑπόνοιαν.

„Δημογέρων δὲ νόημα πολύπλοκον εἶχε Θυμοίτης
„Ἀμφασίης πελάγεσσιν ἐελμένος· ἢ γὰρ ἐώκει,
„Σκεπτομένῳ τινὰ μῆτιν ἔτι Τρώεσσιν ὑφαίνειν.

Στίχ: 37. ΑΛΛΑ' ΚΑΠΥΣ κτ: Οὐχ ἕτος ὁ Ἀσσαράκα μὲν υἱὸς, Ἀγχίσα δὲ πατὴρ, Αἰνεὺς δὲ πάππος· (ἀνωτ: στίχ. 253· καὶ 257. Σημ.) ἕτερος δὲ τις, πηὸς ὢν Αἰνείᾳ (ᾗ τινες βέλονται) διὰ καὶ τῆς ἀμείνονος βελῆς εἰσαγωγέυς ὑπὸ τᾶ Ποιητᾶ προβληθεὶς· οὗτος δὲ τυχὸν, καὶ ὁ τῆς ἐν τῇ Ἰταλικῇ Καμπανίᾳ Καπύης, πόλεως διασήμα, δομήτωρ γενόμενος καὶ οἰκιστὴς. Ὅρα Γεωργ. Βιβλ. Β. στίχ: 255 Σημ:)

Στίχ: §38. . . . ΔΑΝΑΩΝ ΕΝΕΔΡΑΣ, ΙΔ' ΥΠΟΠΤΑ
§29. ΔΩΡΑ . . . . . Ὁμοίως δὲ καὶ Ὅμηρος, Ὀδυσ. Θ. 515. Λόχον ὠνόμασε κοῖλον· ὡς ἐνεδρεύοντα ἐν τῷ κύτει τᾶ ἱππομόρφα μηχανήματος. Ὕποπτα δὲ τὰ δῶρα καλεῖ τὰ παρὰ πολεμίων. Κατὰ γὰρ Σοφοκλεῖ, ἐν Αἴαντι: ἐχθρῶν ἄδωρα δῶρα· ὅ, καὶ εἰς ἀποφθεγμα ἐκράτησε λέγεσθαι.

Στίχ: 41. ΣΠΟΥΔΑΙΣ ΑΝΤΙΠΑΛΟΙΣ κτ: Οὐδὲ παρ' Ὁμήρῳ ἄλλως, Ὀδυσ. Θ. 505. κξ.

„ . . . . : . Τοὶ δ' ἄκριτα πολλὰ ἀγόρευον.
„Ἤμενοι ἀμφ' αὐτὸν· τρίχα δὲ σφίσιν ἤνδανε βελή.

Aut hæc in noſtros fabricata eſt machina muros,
Inſpectura domos, venturaque deſuper urbi:
Aut aliquis latet error: equo ne credite Teucri.
Quicquid id eſt, timeo Danaos & dona ferentes.
Sic fatus, validis ingentem viribus haſtam
In latus, inque feri curvam compagibus alvum
Contorſit: ſtetit illa tremens, uteroque recuſſo,
Inſonuere cavæ, gemitumque dedere cavernæ.
Et, ſi fata Deûm, ſi mens non læva fuiſſet,
Impulerat ferro Argolicas fœdare latebras:
Trojaque nunc ſtares, Priamique arx alta maneres.
Ecce, manus juvenem interea poſt terga revinctum
Paſtores, magno ad regem clamore trahebant
Dardanidæ: qui ſe ignotum venientibus ultro,
Hoc ipſum ut ſtrueret, Trojamque aperiret Achivis,
Obtulerat, fidens animi; atque in utrumque paratus,
Seu verſare dolos, ſeu certæ occumbere morti.
Vndique viſendi ſtudio Trojana juventus.

Circum-

❁ ❁ ❁

„Ἠὲ διατμῆξαι κοῖλον δόρυ νηλεῖ χαλκῷ,
„Ἢ κατὰ πετράων βαλέειν ἐρύσαντας ἐπ' ἄκρας,
„Ἢ ἐάαν μὲγ' ἄγαλμα Θεῶν θελκτήριον εἶναι.

Στίχ: 182. ΟΥ͂Δ' ἌΡ ΤΡΙΤΟΓΕΝΗ͂Σ κτ: Λέγεται καὶ Τριτογένεια καὶ Τριτογε„νὴς ἡ Ἀθιωὰ (Σείδ. ἐν Λεξ:) ἢ, ὅτι ἐκ τῆς μήτρας, καὶ τῆς Διὸς κε„φαλῆς ἐξῆλθεν· (ἔνθα ἀναγνωσέον ἰῶ ἴσως ὅτι ὡς ἐκ νηδύος καὶ μήτρας ἐκ τῆς κεφαλῆς τῆ Διὸς ἐξῆλθε) Τριτὼ γὰρ ἡ κεφαλὴ κατὰ Διάλεκτον Αἰολικὴν·) ὡς ὁ Ἀριστοφ. Σχολ· παρὰ Ἐρρίκ. Στεφ· ἢ ἄλλιν κατ' ἄλλος.) „ἢ ὅτι, παρὰ Τρίτωνι Λιβύης ποταμῷ ἐγεννήθη· ἢ ὅτι τρίτη μιὼς φθί„νοντος· (ἢ καὶ ἀρχομένε·) ἦν Τριτομιὼδα, ἢ Τριτομηνίδα ἐκάλεν, καὶ „ἑορτιὼ ἦγον Ἀθιωαῖοι, διὰ τὸ ἐν αὐτῇ γεγεννῆθαι τιὼ Ἀθιωᾶν· ἢ ὅτι „τρίτη μετὰ Ἄρτεμιν, καὶ Ἀπόλλωνα, ἐγεννήθη· ἢ ὅτι Τρίτωνα οἱ Ἀθη„ναῖοι τιὼ κεφαλιὼ λέγεσιν· ἢ ὅτι τῆ τρεῖν, καὶ ἐυλαβεῖσθαι αἰτία, ἢ „γεννητικὴ· ἢ ὅτι ἀπελέσατο ἐν τῷ Τρίτωνι, τῷ τῆς Λιβύης ποταμῷ· οἷς προσίθησιν Ἐρρίκος ὁ Στέφανος ἐν τῷ Θησαυρῷ, καὶ τὰ ἑξῆς· Ἢ ὅτι ἐκ „τῆ Τρίτωνος, τουτέστι τῆ Ποσειδῶνος προῆλθεν, ὡς οἱ τιὼ Λιβύιν ἔχον„τες ὑπολαμβάνεσιν· ἢ (κατ' ἐνεργείας σημασίαν τῆ ὀνόματος ἐκληφθέντος.)

Talibus insidiis, perjurique arte Sinonis
Credita res; captique dolis, lacrymisque coactis,
Quos neque Tydides, nec Lariſſæus Achilles,
Non anni domuere decem, non mille carinæ.
Hic aliud majus miseris, multoque tremendum
Objicitur magis, atque improvida pectora turbat;
Laocoon, ductus Neptuno sorte sacerdos,
Solemnes taurum ingentem mactabat ad aras.
Ecce autem gemini à Tenedo tranquilla per alta
(Horresco referens) immensis orbibus angues
Incumbunt pelago, pariterque ad littora tendunt:
Pectora quorum inter fluctus arrecta, jubæque

Sangvi-

❀ ❀ ❀

„τος) ὅτι τρία ἐγγενᾶ τοῖς ἀνθρώποις τὸ εὖ λογίζεσθαι καὶ λέγειν καλῶς τὸ νοηθὲν καὶ ὀρθῶς πράττειν αὐτό. Ταύτας δὲ τὰς ἐτυμολογίας „ἀποδίδωσιν Ἑρμῆς Ἐυσαθίῳ ἐφ' οἷς παρασημειοῦται καὶ τόδε, ὅτι ὁ ἡμέτερος Οὐιργίλιος Τριτώνειαν τὴν Τριτογένειαν ὀνομάζει· ἐπιφέρει δὲ τελευταῖον, ὅτι Τριτογένεια ἐκαλεῖτο καί τις ἐνόπλιος ὄρχησις, δι' ἧς Ἀθηνᾶ ἐτιμᾶτο, (ὡς ὁ Ἀριστοφ. Σχολ: ἐν ταῖς Νεφέλ.)

Στίχ: Ἀυτ: . . . . . ΤΕΡΑΣΤΙΑ ΔΩΚΕΝ· Ἦν δὲ τὰ ἑξῆς: Α. τὸ ἐκ τῶν ὀφθαλμῶν τῷ εἰδώλῳ ἐκπίλψαν πυρεσιὸς σέλας. (Στίχ: 144.) Β. ὁ ἀναπιδύσας ἐξ αὐτῆς ἀλμυρὸς ἱδρώς. (Στίχ: 185.) Γ. ἡ Τρισσευθεῖσα τῷ ξοάνῳ καθημένη, ἐπὶ πόδας ἐξόρθωσις. (Στίχ: 185.) Η γὰρ Ἀθηνᾶ τὰ πλεῖστα καθημένη ἐξεικονίζετο, ὡς δῆλον καὶ ἐκ τῆ Ζ. τῆς Ἰλιάδ. στίχ: 92. καὶ στίχ. 273. Ἔνθα Ἐυσάθιος, κάθηται (φησὶν) Ἀθηνᾶς ξόανα, καὶ ἐν Φωκαίᾳ, καὶ Μασσαλίᾳ, καὶ Ῥώμῃ, καὶ Χίῳ.

Στίχ: 187. ΑΣΠΙΔΑ ΔΗ' ΦΟΡΕΟΥΣ', ΑΤΑΡ . . . . . ΕΓΧΟΣ. Ἄνευ γὰρ Ἀπίδος καὶ δόρατος Ἀθηνᾶς μόρφωμα προτεθὲν, Παλλάδιον ἂν ἂν λέγοιτο, κἂν ἄλλως αὐτῆς εἰκελον εἴη. Ἐκ γὰρ τῆ πάλλειν τὸ δόρυ ἡ Θεὸς Παλλὰς εἴρηται. Ἐπεὶ καὶ ὕτως ἔνοπλος προελθεῖν τῆ Ζιὼς ἐγκεφάλῃ μεμυθολόγηται. (Ὅρα τῶν Ὁμήρ. Β. εἰς Ἀθιω. Ὕμν. στίχ: 5.)

„Σεμνῆς ἐκ κεφαλῆς, πολεμήϊα τεύχε' ἔχουσα
„Χρύσεα παμφανόωντα . . . . . .
„Ἐσσυμένως ὤρουσεν ἀπ' ἀθανάτοιο καρήϊφι,
„Σείσασ' ἐξιὼ ἄκοντα· μέγας δ' ἐλελίζετ' Ὄλυμπος.

Καὶ ὄυτως ἄρα καὶ τὸ Παλλάδιον μεμορφῶθαι Βρέτας ἱσόρηται, εἴτε ἐξ Οὐρανῆ Διοπετὲς αὐτὸ κατιὸν ἐπὶ Ἴλιον, ὅτε ὑπὸ Ἴλε ἐκτίζετο· εἴτε ὑπὸ Δαρδάνε ἀπὸ Σαμοθρᾴκης ἐπὶ Τροίας μετενεχθὲν, (μοναδικὸν δὴ τῆτο, ἢ πλείω ἐνὸς·) ὡς ἄλλοι ἄλλως τὸν περὶ τῆτε μῦθον ἐποικιλαν. (Ὅρα Ἀνωτ: στίχ. 172. κξ:)

Στίχ: 190. ΠΡΙΝ Γ' ΟΙΩΝΟΠΟΛΗΣΑΙ κτ: Ταῦθ' ὁ Μάρων Κάλχαντα τοῖς Ἕλλησιν ἐποίησε διαφοιβάζοντα, κατὰ νόμον κρατῆντα παρὰ Ῥωμαίοις. παρὰ γὰρ τέτοις περὶ πόλεμόν τινα ἠτυχηκόσιν, ἐπανιέναι οἴκαδε τὸν στρατηγοῦντα ἐχρῆ· κἀκεῖσε αὖθις οἰωνισάμενον, ἐπανάγειν ὡς ἐξ ὑπαρχῆς ἐπὶ τὴν πολεμίαν· τετέσι, μετοιωνίσασθαι ἣν ἐπάναγκες ἐν τῇ πατρίδι, εἶτα ἐκεῖθεν ἀναστρατεῦσαι καὶ ἀναμαχέσασθαι. Ἀλλὰ τῆθ' ἕτω μὲν τὸ κατ' ἀρχὰς ποιεῖν ἐξῆν Ῥωμαίοις, τῶν πολέμων αὐτοῖς ἐ πάνυ πόρρω τῆς πατρίδος συγκροτεμένων· αὐξηθέντος δὲ τῆ κράτες, καὶ τῶν ἐστρατειῶν ὑπερορίων μακρὰν γινομένων, συνέβαινεν εἰς ἀτοπίαν τὸ πρᾶγμα ἐκφέρεσθαι· ὅθεν νόμος ἕτερος ἀντεισήχθη· ὁ δὲ ἦν, χώραν ἐπὶ τῆς οἰκείας, ὁποίαν δὴ προκατειληφότας, καὶ ταύτῃ ἀποκληρωτικῶς, ὡς ἤδη σφίσιν ἀνήκεσαν ἀνακηρύξαντας, ἐπ' αὐτῆς ἐπαναλύειν, ἔποτε πταίσειαν· καὶ οἰωνισαμένες, ἐντεῦθεν ἂν κατὰ τῶν πολεμίων χωρεῖν, καὶ ἐπὶ κρείττοσιν ἐλπίσι

Αἶψα γὰρ ἂν' στρατὸν, εὖτε φέροντες ἄγαλμα στῆσαν
Ὄσσε τῷ δεινῷ πυρὶ λαμπετόωντι ἐίκτην.
Ἱδρὼς δ' ἁλμήεις πάντῃ διὰ γυῖα κατέῤῥει.
Ἡ δὲ τ' ἐπ' ἤδας τρὶς γ' ἕξῆς θόρε (θαῦμα φατίζειν.)
Ἀσπίδα δὴ φορέουσ', ἀτὰρ ὄβριμον ἔντομον ἔγχος.
Κάλχας δ' ἤθαρ ἄειδ', ἄψ οἴχεσθαι διὰ πόντου,
Μηδὲ γὰρ Ἀργείοις ἡμύσειν Πέργαμα ὅπλοις,
Πρὶν γ' οἰωνοπολῆσαι ἐν Ἄργεϊ δεύτερον αὖθις.
Πρίν τ' ἐπαγινέμεν, ἣν πλεύσαντες Δαύνιον ἀπέραν.
Νῶϊ δὲ ἐπεὶ πατρίδος ἔρῳ ἀφίκοντο Μυκήνας,
Ὅπλα τε ἀρτωέεσι, θεὸς τ' ὀπέωνας ἔχοντες,
Αὖθις ἀναπλεύσαντες ἑτοίμως λαῖτμα θαλάσσης,
Αἰφνίδιοι παρέσονται· ἐπεὶ τὰ δ' ἀνείλετο Κάλχας,
Τοῦ ῥὰ παραιφασίῃ, τόδ' ὑπὲρ τῆς Δαύνιος ἄτης,
Δείκελον ἰδρύσαντο, θεῆς χόλον ὄφρ' ἀλέωνται,
Τῷ γ' ἐπὶ Παλλαδίῳ ἀλιτήματος ἐξιλάσαντες.
Ἀλλ' ἀπέλεθρον Κάλχας ἐγεῖραι ὅτρυνε τὸν ὄγκον,
Δρυὸς σωεπαρσαμένους πυργῶσαι τ' αὐτύδμητον.

Ὡς

❁ ❁ ❁

ἐλπίσι σωάπτειν τῷ μάχλῳ τὸ δεύτερον. Κατὰ τόνδε τοίνυν τὸν παρὰ Ῥωμαίοις ἀρχαῖον νόμον, καὶ ὁ Ἑλληνικὸς ἐνταῦθα στρατὸς πλάττεται ἀπελθὼν εἰς Ἄργος, ὡς ἐκεῖσε οἰωνοπολήσων, καὶ αὖθις ἐπανελευσόμενος.

Σημείωσαι δὲ, ὅπως τὰς Τρῳὰς ὧδε πανεργότατα περιέρχεται Σίνων, θαῤῥαλέντε ἀναπείθων ἅμα, καὶ δεδιέναι τὰ μὲν πρὸς γε τὸ παρὸν, τῶν πολεμίων ἤδη ἐκκεχωρηκότων· τὸ δὲ, πρὸς τὸ ἔπιον, ὡς κατὰ δεύτερον πλεῖν ἐκείνων αὖθις παρεσομένων. Διὸ καὶ ἔξω δέειν παντὸς νεὼ καθεζῶτας, τῷ μέλοντος προνοεῖν· καὶ τὸ ἀνατεθὲν τῇ Θεῷ, ἀντὶ τῷ συληθέντος Παλλαδίου, μηδ' αὐτὰς τολμᾶν παραλύειν, ἀλλὰ παρ' ἑαυτοῖς περισώζειν, μήποτε ἐπὶ τῇ καθαιρέσει τῷ Ἀναθήματος προσκρέσειαν καὶ αὐτοὶ τῇ Παλλάδι, ἀλλ' ἔχοιεν αὐτὸ ἐφεξῆς τῆς πόλεως ὀχύρωμα τε καὶ ἀμυντήριον.

Στίχ. 196 ΤΟΥ ΡΑ ΠΑΡΑΙΦΑΣΙΗ. . . . . Τῇ τῷ Κάλχαντος δηλονότι συμβουλῇ τε καὶ ὑποθήκῃ. Οὕτω γὰρ καὶ Κόϊντος (Παραλειπ. ΙΑ. στίχ. 369.)

„Κάλχαντος δ' ἰότητι, δαΐφρονι Τειτογενείῃ
„Ἵππον ἐτεκτήναντο . . . . . .

Καὶ ὅρα μοι ὅπως ἀντιστοίχως ἀπλώτησεν ὁ Σίνων, ἅπασι τοῖς ὑπὸ τῷ Ἄνακτος προτεθεῖσιν αὐτῷ ἐρωτήμασι· Τῷ ῥὰ πέλωρ ἵδρυσαν; —— τῷδ' ἐννεσίῃσι; — τί δὲ καὶ μητιόωντες; — ἦ νύτις ἐυχωλὴ τόδε; (ἀνωτ. στίχ. 158 - 160.)

Στίχ. 199 ΑΛΛ' ΑΠΕΛΕΘΡΟΝ κτ: Τετέχνηται ἀμέτρητον ὅπερ ἐκ ἔστι πλέθρῳ διαμετρῆσαι, ἀποφατικῶς τῷ α ληφθέντος· ἢ πολύπλεθρον, τῷ α ἰονηθέντος ἐπιτατικῶς. Δεῖ δ' ἐν τοῖς ἕτω λεγομένοις τὸ πλέθρον ἀντὶ μέτρου ἁπλῶς ἐκδέχεσθαι καὶ ἀορίστως, οὐχὶ δὲ κατὰ τὸ κυρίως καὶ κατ' εἶδος λεγόμενον πλέθρον, ὃ τὸ ἕκτον τῷ σταδίου μέρος (Σεῖδ. ἐν Λέξ.) ὑποτίθεται εἶναι· ἤ, κατὰ τὰς Γαιοδαίτας, χωρίον τὸ μὲν μῆκος ποδῶν διακοσίων καὶ τεσσαράκοντα, τὸ δὲ εὖρος ἑκατὸν καὶ εἴκοσι. (ὡς Ἐρρίκ. Στεφ.) Τοῦ δὲ Δαρείου ἵππου, ὃς ἀνωτέρω μὲν (στίχ. 15.) Ἶσος ὄρει καθ' ὑπερβολὴν ἐλέγετο, ἐνταῦθα δ' ἀπέλεθρος καλεῖται, εἰσὶν οἳ (παρὰ Σερβ.) τὸ μῆκος γενέσθαι παρέδωκαν ποδῶν εἴκοσι πρὸς τοῖς ἑκατὸν, τὸ δ' εὖρος ἡμίκοντα· ὥστε εἶναι τὸ μὲν μῆκος τῷ ἵππου, ἴσον τῷ εὖρει τῷ πλέθρου· τὸ δὲ εὖρος τῷ ἵππου, ἴσον τῷ τεταρτημορίῳ τῷ μήκους τούτου αὐτῷ. Τὸ δ' ὕψος πόσον ἄρα; Ἀλλὰ περὶ τούτου, εἴδεν ἕτοι φέρηται εἰρημένον ἐνταῦθα. δῆλον μέντοι, ὅτι κατὰ τὴν τῷ ζώου φύσιν, καὶ τὸ ὕψος ἰδίῳ, ὡς γε πρὸς τὸ μῆκος, καὶ πρὸς τὸ εὖρος ἀνάλογον.

Sanguineæ exſuperant undas: pars cætera pontum
Ponè legit, ſinuatque immenſa volumine terga.
Fit ſonitus ſpumante ſalo: jamque arva tenebant;
Ardenteſque oculos ſuffecti ſanguine, & igni,
Sibila lambebant linguis vibrantibus ora.
Diffugimus viſu exſangues: illi agmine certo
Laocoonta petunt: & primum parva duorum
Corpora natorum ſerpens amplexus uterque
Implicat, & miſeros morſu depaſcitur artus.
Poſt ipſum auxilio ſubeuntem, ac tela ferentem
Corripiunt, ſpiriſque ligant ingentibus: & jam
Bis medium amplexi, bis collo ſquamea circum
Terga dati, ſuperant capite, & cervicibus altis.
Ille ſimul manibus tendit divellere nodos,
Perfuſus ſanie vittas, atroque veneno,
Clamores ſimul horrendos ad ſidera tollit.
Quales mugitus, fugit cum ſaucius aram
Taurus, & incertam excuſſit cervice ſecurim.
At gemini lapſu delubra ad ſumma dracones

Effu-

❀ ❀ ❀

Στίχ: 201. ΩΣ ΔΙΑ΄ ΔΗ΄ ΠΥΛΕ΄ΩΝ κτ: Τί δήποτε σκοπῶντες, ἐς τοσῶτον οἱ Δαναοὶ τὸν ἵππον ἐπύργωσαν, ἐνταῦθα Σίνων ἀνακαλύπτει δῆθεν τῷ Ἀνακτι. Ἵνα, φησὶν, ἐντὸς τεῖχος Ἄξεος εἰσαγαγεῖν μὴ δωηθέντες, ἤτοι ἐκτὸς τεῖχος ἐάσητε μένειν, ἢ διαλύσητε ἀνατρέψαντες. Ταύτῃ δὲ, διὰ τὴν πρὸς τὴν Θεὸν ὕβριν, τῆς ἐντεῦθεν ἀρωγῆς καὶ ἐπικυρίας ἀποτυχόντες. εὐχείρωτοι τῷ λοιπῷ τοῖς πολεμίοις ἔσεσθε ἐπανήξουσιν. Ἴασι γὰρ ἄλλως ἀπὸ χρησμῷ ἐκεῖνοι καλῶς εἰδότες, ὡς ἐπὶ τῷδε τῷ ἀναθήματι, παρ' ὑμῖν αὐτοῖς ἰσαμένῳ, ὅποτε ὑμῶν κατισχύσουσιν, ἀλλ' ἀπαράτρωτοι καὶ ἀήττητοι καὶ ἔξης ἔσεσθε· ἐχ ὅπως δὲ, ἀλλα καὶ ἄχρι τῆς τῷ Πέλωπος γῆς αὐτοὶ νικῶντες χωρήσετε. Παραπλήσια κ, παρὰ Τρυφιοδώρῳ, ἐν Ἰλ: Ἁλώσ.

„Εἰμὲν γάρ ἐᾶτε μένειν αὐτῷ ἔνι χώρῃ·
„Τρίλιν θέσφατον ἐστὶν ἑλεῖν πόλιν ὔιας Ἀχαιῶν.
„Εἰ δέ μιν ἀγνὸν ἄγαλμα λαβὴ νηῶσιν Ἀθήνη,
„Φεύξονται προφυγόντες ἀνηνύτοις ἐπ' ἀέθλοις.

Στίχ: 210. ΤΟΥ΄ΗΙΣ ΚΕΡΔΟΣΥ΄ΝΗΙΣΙ ΣΙ΄ΝΩΝ. Τοῖς Ὅρκοις καὶ τοῖς δάκρυσι, φησὶ, τῷ ἀπατεῶνος ἑάλωσαν Σίνωνος, οἱ ὑπὸ Τυδείδε καὶ Ἀχιλλέως μὴ νικηθέντες. Μέμνηται δὲ τῶν δύο τούτων Ἡρώων ὧδε Αἰνείας, ὁ μόνος ὡς ἐξοχωτάτων ἐν Ἕλλησι γενομένων, ἀλλ' ὅτι καὶ ἐφ' ἑαυτῷ ἐκ ἀκινδύνως ἐπειράσατο τῆς ἀρετῆς αὐτὸς ἑκατέρου· Τυδείδες μὲν, Ἰλ: Ε. 305 — 315. Ἀχιλλέως δὲ, Ἰλ: Τ. 274 — 290.

Στίχ: 212. . . . ΦΘΙΏΤΟΣ ΑΧΙΛΛΕΥΣ. Λαρισσαῖον ὧδε καλεῖ Οὐιργίλιος· ἀλλ' ἐδὲν διαφέρει ὡς γὰρ ἔγγιστα ἐτύγχανον ἀλλήλων αἱ πόλεις, ἐπὶ Θετταλίας ἀμφότεραι. Φθιώτιν δὲ Ὅμηρος, φασὶν, ἐκ ὀνομάζει τὸν Ἀχιλλέα, ἐπινεμεσήσας δῆθεν τῇ πόλει Φθίῃ ὁ Πιτὴς, ὅτι ἐπιδημήσας ποτὲ, ξενίας ἐν αὐτῇ ἔτυχεν ἐδεμιᾶς. Ἀλλὰ γὰρ Φθίας Ὅμηρος ἔχιν ὅπε μνείαν ἐποιησεν. Ἰλ: Β 683. Καὶ Οὐιργίλιος δὲ, κἂν ὧδε Λαρισσαῖον τὸν Ἀχιλλέα προσεῖπεν, ἀλλὰ Φθίαν εἶναι κυρίως τὴν ἐκείνε πατρίδα ἱκανῶς ἀλλαχῇ ὑπηνίξατο· ἐν τῷ Α. τῆς Αἰν: στίχ: 308. κτ: ἔνθα ὅρα μοι τὴν Σημείωσιν.

Στίχ: 213. . . . . ΟΥ΄ ΣΤΟ΄ΛΟΣ . . . . . ΧΙΛΙΟΝΑΥ΄ΤΗΣ. Χιλιονάυταν στόλον ἐκάλεσαν, παρὰ τὸν ἡμέτερον ἐνταῦθα, καὶ Αἰσχύλος ἐν Ἀγαμέμν. καὶ Εὐριπίδης ἐν Ἀνδρομ. Ὁ δὲ Στράβων χιλιονάυστολον ἔπε· πάντες δὲ συμφώνως,

Ὡς διὰ δὴ Πυλέων μὴ ἔῃ γ' ἀχθήμεν' ἐς ἄξυ,
Τρωσὶ δὲ τὸ πρόσθ ἐκ θρησκεύματος ἔρκος ἀπείῃ.
Αἶκε γὰρ αὐτόχερες δηλήσετ' ἄγαλμα Ἀθωίης,
Τῆμος δ' αἶψα ὄλεθρον (ὃν οἰωνὸν κατ' ἐκείνε
Κρᾶτα Θεοὶ τρέψειαν!) ἐσεῦσθαι ἆρ ἔχατον αὐτὸν,
Κοιρανίῃ Πριάμοιο, ἀτὰρ Φρυγίοισιν ἅπασιν.
Αἶκε δὶ ὑμετέρων χειρῶν δ' ἀνάγοιτο πόλινδε,
Πρὸς Πέλοπος τύρσεις, αἰνῇ ποτὲ δηϊοτῆτι
Ἀσιδ' ἀφιξεῦσθαι· Τὰ γὰρ ὀψιγόνοισι πεπρωθαι.
Τοίῃς κερδοσώῃσι Σίνων, τέχνας τ' ἐπιόρκοις,
Πιστὰ λέγειν ἐδόκει, δολεροῖς δ' οἵ δάκρυσι κάμφθεν,
Τὰς δ' Τυδείδης δάμασ', ὅτ' ἄρ Φθῖος Ἀχιλλεὺς,
Οὐ δὲ ἔνοι δέκα, δ' ξόλος αἰνὸς χιλιονάυτης.
Ἀλλά τι καὶ μεῖζον μεγαλοίτοισιν τρομοποιὸν
Μᾶλλον ἐπέξη, τοῖς ἦτορ θράξ ὡς ἀδόκητον.
Λαοκόων κλήρῳ ἀρητὴρ ὢν Ποσιδῶνος,

Η 2 Βωμοῖς

❁ ❁ ❁

Φώνως εἰς χιλιάδα καὶ ἐπέκεινα, τὸν ἀριθμὸν τῶν κατὰ Τροίας πλευσασῶν προήγαγον νηῶν, Ὁμήρῳ ἑπόμενοι. Ὥσε τὸ Ὀυάρωνος, (ἐν Β'. Τῶν περὶ Ἀγρονομ. Κεφ· Α'.) ὅτι τὸ πέριξ ἐν τοῖς τοιέτοις, καὶ τὸ ἐγγύς τε ὄντος ἀριθμὲ δηλᾶται, μὴ χώραν ἔχειν μετὰ τὸν Ὁμήρε Κατάλογον. Ἀλλὰ γὰρ τὲς ὡρισμένως καὶ πρὸς ἀκρίβειαν, τὸν ἀριθμὸν τῆ Ἑλλωικῆ ξόλε ἀποφηναμένες, ἐκ ἄντις εὕρει σύμφωνα λέγοντας. Δίκτυς μὲν γὰρ, πρὸς ταῖς χιλίαις ναυσὶν, ἀριθμεῖ διακοσίας καὶ πέντε ἐπ' ὀγδοήκοντα. Δάρης δὲ, χιλίας καὶ ἑκατὸν καὶ τετταράκοντα. Τῶν τις δὲ τῆ Ὀυϊργιλίε Σχολιασῶν, ἀριθμολογήσας εὑρήσεις, φησὶν, ἐξ Ὁμήρε τὸν ὅλον ἀριθμὸν, χιλίας καὶ ὀγδώκοντα. Ἐγὼ δὲ καὶ αὐτὸς, ἐκ τῆ ἐν τῇ Βοιωτίᾳ Ὁμηρικῆ καταλόγε ψηφίσας, ἤθροισα νῆας τὰς πάσας, χιλίας καὶ ἑκατὸν ὀγδήκοντα καὶ ἕξ, Τοσαύτας δὲ τὸν ἀριθμὸν σωῆψεν, ὡς ἡμεῖς, καὶ Ἰσαάκιος ὁ Τζέτζης ἐν τῶ εἰς τὸν Λυκόφρ. ὑπομνήμ. Καὶ ὁ Νεώτερος δὲ Φείθ. ἐν ταῖς κατ' αὐτὸν Ὁμηρικ. Ἀρχαιολ Βιβλ: Δ Κεφ: ΙΓ καί τοι, φησὶ, Θεκυδίδης χιλίας τε καὶ διακοσίας ἠριθμησεν. Ἔνθα τὸν ἐγγὺς ἀριθμὸν ἐκδεκτέον, ὃν ὁ καλᾶς Ουάρων ἐπὶ Ὁμήρε ἐξεδέχετο. Ὅρα εἰ βέλει καὶ Βροδαῖον ἐν ταῖς εἰς τὰ Ἐπιγράμ. Σημειώσ. Σελ: 498.)

Στίχ: 216 ΛΑΟΚΟΌΩΝ ΚΛΗΡΩι κτ: Ὡς ἐξ Εὐφορίωνος Σέρβιος ἱστορεῖ, Λαοκόων Ἱερεὺς ὢν Ἀπόλλωνος τῆ Θυμβραίε, ἱερεῦσαι κεκλήρωται Ποσειδῶνι, διὰ τὸ τότε τὸν θυηπόλον λιθόλευτον ἀποκταν θῆναι, ὡς μὴ ταῖς παρ' ἑαυτῆ λιταῖς καὶ θυσίαις, τὸν ἐπὶ Τροίας τῶν Δαναῶν κατάπλεν ἀπείρξαντα. Καὶ παραπήλαυσεν ἄρα τῆς αὐτῷ ἐπικληρωθείσης διακονίας ὁ Λαοκόων, τὸ, ἐν ᾧ Ταῦρον τῷ Ἐνοσίχθονι ἔμελε σφαγιάσειν. ὑπὸ τῶν ἐκ Τενέδε διὰ θαλάσσης περαιωθέντων δύο Δρακόντων, αὐτὸς σωάμα τοῖς υἱέσιν, ἐλεεινῶς διασπαραχθῆναι· περὶ ἃ μικρὸν κατωτέρω ειρήσεται. Ἐφ' ὅτω δὲ ἄρα τῷ ἁμπλακήματι; οἱ μὲν, ὅτι τῇ γαμετῇ, φασὶν, Ἀντιόπῃ ἀσεβῶς τε Θεῷ ἐνώπιον σωελθεῖν ἀπηναιχωτίασεν. Οἱ δ' ὅτι, ἄκεντος τῆ Θεῷ ἐγάμησέ τε καὶ ἐτέκνωσεν. Οἱ δ' ὅτι, καὶ Ποσειδῶν αὐτὸς τοῖς Τρωσὶ δυσμενεύνων, διὰ τὴν Λαομέδοντος ἀσωθεσίαν, τῷ Ἱερεῖ πρὸς τῷ Ἱερείῳ σωεχαλέπηνεν. Οἱ δὲ Φρύγες ὤοντο, διὰ τὸ κατὰ τὲ Δορείε Ἵππε τῷ δόρατι τολμῆσαι κατατοξεύσασθαι τὸν Λαοκόωντα τοιαῦτα παθεῖν. Ὁ δ' ἡμέτερος, κατα τὸν εἰ προκείμενον σκοπὸν, ὡσαύτως τῷ μύθῳ ἐχρήσατο. (Ὅρα κατωτ: σίχ 245.) Περὶ δὲ τὲ Λαοκόοντος πάθες καὶ Ὑγῖνος ἐν Μύθ. ρλε. παρ' ᾧ καὶ τὸ τὲ φύσαντος ὄνομα ἀναγινώσκεται,

Ἀκοίτε,

Effugiunt, ſævæque petunt Tritonidis arcem;
Sub pedibuſque Deæ, clypeique ſub orbe teguntur.
Tum vero tremefacta novus per pectora cunctis
Inſinuat pavor; & ſcelus expendiſſe merentem
Laocoonta ferunt, ſacrum qui cuſpide robur
Læſerit, & tergo ſceleratam intorſerit haſtam.
Ducendum ad ſedes ſimulacrum, orandaque Divæ
Numina, conclamant.
Dividimus muros, & mœnia pandimus urbis.
Accingunt omnes operi, pedibuſque rotarum
Subjiciunt lapſus, & ſtupea vincula collo
Intendunt: ſcandit fatalis machina muros,
Fœta armis, circum pueri innuptæque puellæ
Sacra canunt, funemque manu contingere gaudent.
Illa ſubit, mediæque minans illabitur urbi.
O patria, ô divum domus Ilium, & inclyta bello
Mœnia Dardanidum. Quater ipſo in limine portæ
Subſtitit, atque utero ſonitum quater arma dedere.

Inſta-

❁ ❁ ❁

Ἀκοίτᾳ, ὃς ἦν Ἀγχίσᾳ ἀδελφός, καὶ τὸ τῶν φυτῶν τῶν αὐτῷ συμπαραχθέντων, Ἀντιφάντᾳ, καὶ Θυμβραίῳ. Πόθεν δὲ ἄρα παραλαβὼν ὁ Γάλλος (Lallemand) παρεσημειώσατο, ὅτι Λαοκόων υἱὸς ἦν Πριάμου καὶ Ἑκάβης, ἐκ ἔχω εἰδέναι. Ἀπολόδωρος μέντοιγε, ὁ πάντας τοὺς ἐξ ἁπασῶν ὧν ἠγάγετο, γενομένους Πριάμῳ ὀνομασὶ καταλέξας, ἀδένα Λαοκόοντα ὀνομάζει· εἰ μὴ τὸν Λυκάονα τοῦτον ἠγήσατο, ἢ τὸν Λαοδόκον, ἢ τὸν Δημοκόοντα τυχὸν τῇ ὁμοιότητι τοῦ ὀνόματος ὁ Γάλλος παρενεχθεὶς· ἀλλὰ γὰρ ἤδ' ἔτοι ἐξ Ἑκάβης, ἐκ δὲ γυναικῶν ἄλλων τῷ Πριάμῳ ἐγένοντο. (Ὅρα Ἀπολόδ. Βιβλ: Γ. Κεφ. ΙΒ.) Ἄλλως τε δὲ, ἐκ ἂν ἐσίγησε πιθανῶς παρὰ τῷ θαυμασίῳ Μάρωνι Πρίαμος, ἐν τοιαύτῃ περιπετείᾳ κατιδὼν τὸν υἱὸν σωσάμα τοῖς Τέκνοις ἔτως ἐλεεινῶς ὑπὸ τῶν ὄφεων παραττόμενον, ὁ ἐπὶ τῇ Πολίτᾳ ἀναιρέσει, μηδὲ τῆς ἰδίας ψυχῆς φεισάμενος, ὡς κατωτέρω (στίχ: 569.) δηλωθήσεται.

Στίχ: 217. ΒΩΜΟΙΣ ΠΑΝΔΗΜΟΙΣ κτ: Βωμὲς νοητέον πανδήμους, ἐφ' οἷς ὑπὲρ τῶν κοινῇ τῷ ἔθνει προσαννηκόντων αἱ δημοτελεῖς γίνονται θυσίαι.

Στίχ: 218. ΗΝΙ ΔΕ ΕΚ ΤΕΝΕΔΟΙΟ κτ: Ἐπὶ τοῖς ἀδοκήτως ἐπισυμβαίνεσιν ἡ τοῦ ἐπιῤῥήματος χρῆσις, (Ἡνὶ), οἷον εἰπεῖν ἄφνω, καὶ παρ' ἐλπίδα. Οἱ δ' ἐκ τῆς Νήσου Τενέδου διαπεραιοῦσθαι ὀφθέντες ὄφεις, ὡσανεὶ προδρομοίτινες καὶ προάγγελοι τῶν ἐκεῖθεν ἐπελευσομένων ὑποτεθεῖεν ἂν πολεμίων. Ὠγεμιὼ Καλαβρὸς Κόϊντος· ἐκ Καλύδνης Νήσου τὸς Ὕδρως ἐξάγει· (Παραλ: ΙΒ 444.

„ . . . . . Νήσοιο κατὰ πτύχας, ἥντε Καλύδνῃ
„Δαοὶ κικλήσκεσσιν ἔσω ἁλὸς, ἀντία Τροίης·

τὴν Τένεδον ἴσως καὶ ἔτως ὠνομάσθαι ὑπειληφὼς. Ἀλλὰ γὰρ ἅ περὶ Καλύδνης, ἥτις ποτὲ ἐῶ, καὶ ὅπου κειμένη, διαφόρως φέρεται, ὡς ἐν τοῖς Στεφ. τοῦ Βυζαντ. σεσημείωκεν Ἄβρα· ὁ Βερκέλιος.

Στίχ: 219. ΥΔΡΩ ΔΟΙΩ' . . . . . Διακρίνων τὰ τῶν ὄφεων εἴδη ὀλοχερέστερον ὁ Σχολιογράφος Σέρβιος, τοὺς μὲν θαλασσίους, Angues καλεῖσθαι, ὡς ἐνταῦθα, φησὶ· τοὺς δὲ χερσαίους, serpentes, ὄφεις ἑρπομένους· τοὺς δὲ ἐν ἱεροῖς τεμένεσιν ἐμφωλεύοντας, Dracones, Δράκοντας· ταύτῃ τοι καὶ αὐτοὶ τοὺς Angues, ἀπεδώκαμεν Ὕδρους· οἱ γὰρ Ὕδροι ὄφεων εἰσὶν εἶδος ὑδροχαρῶν, ἐς καὶ Χελύδρους καλοῦσι, καὶ Χερσύδρους ἐνίοτε, διὰ τὸ ἀμφίβιον. Καὶ Δρυίνους δὲ τοὺς αὐτοὺς, ὅτι τῶν ὑδάτων ἐν οἷς διατρίβειν χαίρουσιν ἐκλελοιπότων, εἰ τύχοι, ἐπὶ τὰς βήσσας προέρπουσι, καὶ ἐμφωλεύουσι τοῖς Δρυσίν. (Ὅρα Γεωργ. Γ. στίχ. 488. καὶ 506. Σημ.)

Στίχ:

Βωμοῖς πανδήμοις ῥέξεσκεν πίονα Ταῦρον.
Ἠνὶ δὲ ἐκ Τενέδοιο, γαλιωσάμης περ ἐέσης,
Ὕδρῳ δοιὼ (ἐρῶν φρίττω) σπειρήμασ' ἀμέτροις
Κατ' πελάγεϛ βαίνοντε ἐπ' ἀκτὰϛ θῶϊτον ἰθύϛ.
Τοῖν ϛέρν' ὄρθια βάσκ' ἐνὶ κύμασιν· αἱ δὲ λοφώσειϛ
Τέλλον ὕπερθ' ὑδάτων αἱμηραὶ, ἀτὰρ διὰ πόντε
Ἕρπετον ὁλκῷ· τοῖν δὲ μέϑ' ἀγκολπώοτο νῶτα.
Ἐν φλοίσβοις δ' ἀφρῷιστε ἀρήρας ῥίμφ' ἐπιβήτιω
Αἰνῶϛ δ' αἱμωπώ τε πυρωπώ τ' ὄϛϛε φέροντε,
Εὐπάλτοις γλώσσαις ϛόμα συρίσδον λιχμόωντο.
Ἡμεϛ δ' ἄρ φεβόμεϑα ἄναιμοι, δερκόμενόι γε.
Τὼ δ' ἐπὶ Λαοκόοντα ἐπέσσυτον αἶψα ἰόντε·
Καὶ πρῶτον φώτοιν βαιὸν δέμαϛ ἀμφελέλιχϑεν,
Ἀμφοῖν ἀμφοτέρω, κατὰ δ' ἕβρων γυῖα δακόντε.
Τὸν δ' εἶτ' ἐμμεμαῶτ' ἐπαρηγέμεν, ἠδέ τ' ἀμῦναι,
Μάρψαν, καὶ μεγάλαιϛ σπειρήσεσιν ἀμφὶ ῥὰ δῆσαν.
Τὼ δ' ἄρ ϛωσαμένω ὀσφὼ πέρι δισσάκι μέσσω,
Δισσάκι δ' αὖτωϛ καὶ δειρὼ φολιδώδεσι νώτοιϛ,
Αἰπὸν ὑπειρεχέτιω κάρα, ὑψιτενεῖϛ τε τραχήλω.
Χερσὶν ὁ δ' ὡϛ ῥήξων σειρὰϛ χαλεπὰϛ ἐπονεῖτο.

Στέμ-

❁ ❁ ❁

Στίχ: 221. . . . . ΑΙ' ΔΕ' ΛΟΦΩ'ΣΕΙΣ κτ: Τὲϛ τῶν εἰρημένων Ὕδρων λόφοϛ Jubas ὁ Μάρων, ὃ ἐϛὶ χαίτας, ἀποκαλεῖ. Χαῖται γὰρ ϛ μόνον αἱ τῶν ἵππων, ἀλλὰ καὶ ἐπὶ λεόντων λέγονται, καὶ ϑηρίων ἄλλων· καὶ ἐπ' ἀνθρώπων δὲ, καὶ φυτῶν ἔτι, καὶ ϑάμνων· ἐνταῦϑα δ' αἱ χαῖται προσήφϑησαν καὶ τοῖϛ ὄφεϛιν. Ἀλλ' ἡμῖν λόφοϛ ἔδοξεν ὀνομάσαι, Εὐριπίδῃ παρεπομένοις ἐν Φοινίϛαις· Φοινικολόφων δράκοντα εἰπόντι.

Στίχ: 224. ΕΝ ΦΛΟΙΣΒΟΙΣ Δ' ΑΦΡΟΓΣ ΤΕ . . . . . Τὸ τῶν Ὕδρων ὑποτυποῖ μέγεϑοϛ, τηλικέτων ὄντων, ὥϛε καὶ τιὼ ϑαλάτταν, γαλιωιῶσαν ἤδη ὡϛ προείρηται, (ϛίχ. 218.) εἰϛ ἀφρὸν ὀρατὸν, καὶ φλοῖσβον ἐπακϑὸν σωταράξαι· τιὼ δὲ ταραχιὼ ὁ Καλαβρὸϛ προσεπέτεινε. Παραλ: ΙΒ. ϛίχ: 448.

. . . . . Οἱ δ' ὑποκινηϑέντεϛ,
„Νῆσον ἐλιὼ ἐτίναξαν· ἐπεσμαράγησε δὲ πόντοϛ
„Νισσομένων, καὶ κῦμα διΐϛατο· τοὶ δ' ἐφέροντο
„Αἰνὸν λιχμώοντεϛ· ἐφριξε δὲ κήτεα πόντε.

Στίχ. 225. ΑΙ'ΝΩΣ κτ: Διὰ πάντων φοβερόεϛτε, καὶ οἷαϛ ἐκπλῆξαι τὸν ϑεασάμενον, γραφικῶϛ τὲϛ Ὕδραϛ παρέϛησε, διὰ τῶν λόφων, διὰ τῶν ὀλκῶν, διὰ τῶν ὄψεων, διὰ τῶν γλωσσῶν, διὰ τῆ συριγμῆ, διὰ τῆϛ τῶν ϛομάτων περιλιχμήσεωϛ.

Στίχ: 227. ΗΜΕΣ Δ' ΑΡ ΦΕΒΟ'ΜΕΣΘΑ κτ: Πῶϛ γὰρ ἐχὶ τότε πράγματι καϑορῶν, ὅϛ καὶ ἀναπολῶν ἀνωτέρω (ϛίχ. 219.) τῇ φαντασίᾳ, ἐν τῷ διεξιέναι φρίκῃ συνείχετο;

Στίχ: 229. ΚΑΙ' ΠΡΩΤΟΝ ΦΥ'ΝΤΟΙΝ κτ: Τὸ δεινὸν καὶ τεῦϑεν ἐπήυξηται, τῶν φώτων περὶ ὀφθαλμῶν αὐτῆ τῆ Φύϛαντοϛ διαπωμένων.

Στίχ: 232. ΜΕΓΑ'ΛΑΙΣ ΣΠΕΙΡΗ'ΣΕΣΙ κτ: Τῆ τῶν ὄφεων ὁλκῆ τὸ μῆκοϛ, ὐχ ὅπως ἐξ εἰκαϑίαϛ σωϛεᾷν, ἀλλὰ διὰ τῶν μεγάλων, ἢ (ὡϛ ἄνωτ: ϛίχ. 219.) ἀμέτρων σπειρημάτων, καὶ ὀφθαλμοῖϛ δέρκεϑαι ἔϛηϛε. Δίϛ γὰρ τιὼ ὀϛφὼ τῆ ἀνδρὸϛ, δίϛ δὲ καὶ τὸν τράχηλον αὐτῆ περιζώϛαντεϛ, ὑπερεῖχον ἔτι ἐκ τῆ περιόντοϛ καὶ ὑψηλὰϛ κεφαλὰϛ ὑπερτέλλοντεϛ, καὶ αὐτὲϛ δὲ τραχήλεϛ.

Inſtamus tamen immemores, cæciquæ furore:
Et monſtrum infelix ſacrata ſiſtimus arce.
Tunc etiam fatis aperit Caſſandra futuris
Ora, Dei juſſu, non unquam credita Teucris.
Nos delubra Deûm miſeri, quibus ultimus eſſet
Ille dies, feſta velamus fronde per urbem.
Vertitur interea cœlum, & ruit Oceano nox,
Involvens umbra magna terramque, polumque,
Myrmidonumque dolos. Fuſi per mœnia Teucri.
Conticuere; ſopor feſſos complectitur artus.
Et jam Argiva phalanx inſtructis navibus ibat
A Tenedo, tacitæ per amica ſilentia Lunæ,
Littora nota petens, flammas cum regia puppis
Extulerat: fatis que Deûm defenſus iniquis,
Incluſos utero Danaos, & pinea furtim
Laxat clauſtra Sinon. Illos patefactus ad auras
Reddit equus, lætique cavo ſe robore promunt
Tiſſandrus, Sthenelusque duces, & dirus Ulyſſes,
Demiſſum lapſi per funem, Athamaſque Thoaſque,

Peli-

❁ ❁ ❁

Στίχ: 237. ΣΤΕΜΜΑΤΑ ΟΙ' Δ' ΙΧΩΡΙ κτ: Ὑπὸ τῶν Δρακοντίων δηγμάτων, σιωπῶμίγνυτο δήπε τῷ μέλανι ἰῷ, τῷ ἐκ τῶν διαπαραττόντων ὀδόντων, τὸ τὲ διαπαρασσομένε αἷμα· ἀπέρρει δὲ ἀπὸ τῶν παραγμῶν δακψιλὲς, ὥσε κὴ τὰ στέμματα διαβρέχειν, ἃ θῦσαι παρεσκευασμένος ὁ ἱερεὺς ἔφερεν· ὧν δὴ καὶ μάλιστα ἐμνήσθη ὁ Ποιητὴς, ὡς ἐγ ὠμαι, τὴν θυσίαν ἐμφαίνων ἐβδελυγμένην εἶναι ἑκατέρου τῆ Θεῆ ἐκείνῃ, καὶ ἀπότροπον. Τὶ δ' ἰχῶρι τὰ στέμματα διεδέυετο, καὶ ἐχὶ αἵματι; καὶ γὰρ Sanie, εἶπεν, ἐχὶ ſanguine. ἢ εἰς τῦτο ἐκεῖνο μετέληπται. „Ἰχὼρ δὲ κυρίως, λεπτόν τι τῦ αἵματος περίττωμα ἐξὶν, ὡς μεθ' Ἱπποκράτην, καὶ Γαληνὸς (ἐν Γ. τῶν περὶ Μεθόδ.) οἷς καὶ Ἀρις. συνάδει (ἐν τῷ Γ. τῶν περὶ Ζώων Ἱστορ.) Ἰχῶρα „καλῶν, αἷμα τὸ μήπω πεφθὲν, ἢ εἰς ὀρρὸν τραπὲν· ὅς τις καὶ περὶ τῦ „Λέοντος ἱστορεῖ, ὅτι ὅσα ἂν δάκῃ. ἢ τοῖς ὄνυξιν ἕλκώσῃ, ἐκ τῶν ἑλκῶν „ἰχῶρες ῥέυσιν ὠχροὶ σφόδρα. Σημείωσαι δ' ὅτι, τὸ ἀπὸ τῦ δρακοντώδες δήγματος τῦτο μέλαν, ὃ μόνον χροιᾶς σημαντικὸν, ἀλλὰ τῆς κὴ φθοροποιῦ κὴ δηλητηριώδες δυνάμεως, ἥτις ἀρχὴ μελαινάων ὀδυνάων, καθ' Ὅμηρον εἰπεῖν, γίνεται,

Στίχ: 239. ΩΣ ΟΤΕ ΤΡΑΥΜΑΤΙΑΣ . . . . . ΤΑΥΡΟΣ κτ: Ἡ δὲ εἰκὼν Ὁμηρικὴ, ἐνθα Ἱπποδάμαντα Ἀχιλλεὺς (Ἰλ. Υ. 402.)

„. . . . . μετάφρενον ἔτασε δορὶ·
„Αὐτὰρ ὁ θυμὸν ἄϊθε, καὶ ἤρυγεν, ὡς ὅτε Ταῦρος
„Ἤρυγεν ἑλκόμενος Ἑλικώνιον ἀμφὶ Ἄνακτα
„Κούρων ἑλκήτων . . . . . .

Στίχ: 240. . . . . ΠΕΛΕΚΥΝ ΔΕΙΡΗΣ ΑΤΥΧΗΣΑ. Πέλεκυν τὸν μὴ καιρίαν πλήξαντα τὸν σφαγιάζεσθαι μέλλοντα ταῦρον, ὥσε σκοτῶσαι, ἀτυχέα καλεῖ· τὸ μέντοι ἀτύχημα, ἐπὰν συμβαίνοι, ἀποδοτέον τῷ Βετύπῳ, ἢ τῷ πελέκει. Βέτυπος δ' ἐλέγετο ὁ πελέκει τύπτων τὸν θυόμενον βῶν· τὸ γὰρ βετυπεῖν ἐχὶ μαγείρων μίνων ἦν ἔργον, ἀλλὰ καὶ τῶν ἐπὶ τοῖς θύμασι „δρώντων· οἱ γὰρ παλαιοὶ τὸ θύειν δρᾶν ὠνόμαζον· ἕδρων δὲ οἱ κήρυκες „ἄχρι πολλῦ βετυπῦντες. (Ἀθιώ· ὁ Δειπνοσ. Βιβλ: ΙΔ.) Ἔνθεντοι καὶ Ἀγαμέμνων περὶ τὴν θυσίαν ἀντεργῶν, (Ἰλ: Γ. 292.)

„Ἦ, καὶ ἀπὸ ξομάχεσ ἀρνῶν τάμε νηλεῖ χαλκῷ.

καὶ

Στέμματα οἱ δ' ἰχῶρι τε δεύετο, καὶ μέλαν' ἰῷ.
Δεινὰ δέ τοι κράζων, εἰς οὐρανὸν ἄχρις ἀΰτει.
Ὡς ὅτε τραυματίας ἐκ βωμῶ Ταῦρος ἀλύσκων
Ἤρυγεν ἐκσείσας πέλεκω δειρῆς ἀτυχῆα.
Τὼ δ' ἀπολιθήσαντε δράκοντ' ἰθὺς κατὰ Ἄξυ,
Νηὸν ἐπιπερχθέντ' αἰνῆς μάλα Τριτογενείης,
Ποσσὶν ὑφειρψάθιω τε Θεοῖο, σάκει δ' ὑπὸ κρύφθεν.
Τῆμος δ' ἄρ τρομέοντας ὑπὸ χλωρὸν δέος εἶλε
Πάντας σήθεσφιν νέον· ἠδὲ δίκαζ' ἐκτίνειν
Λαοκόοντα ἔφαντο, ὅθ' ἱερὸν ἔγχεϊ δοῦρον
Λώβησ', ἀμπεπαλὼν αἰχμιῶ κατὰ νώτω.
Τοιγὰρ ἐνεισαγέμεν πρὸς ἀνάκτορα πάντες ἄϋσαν
Εἰκελον, ὥς δὲ κότον γε Θεαίνης ἐξιλεῶσθαι.
Λύομεν ἄρ βάριας, πετάνυμεν τείχεα δ' Ἄξευς,
Ἀθρόοι ἐς τἔργον μαιμῶντες ποσσὶ δ' ὑπ' ἄρσαν

I 2

Ἄντυ-

Καὶ εἰ βοῦς ἦν τὸ θυόμενον ἐβεβύπησεν ἄν. Ὥσπερ καὶ Θρασυμήδης ὁ τοῦ Νέστορος υἱός, (ἐπεὶ διὰ τὸ γῆρας ὁ πατὴρ οὐκ ἠδύνατο.) Ὀδυσ. Γ. 442.

„. . . . . Πέλεκυν . . . .
„Ὀξυὸ ἔχων ἐν χειρὶ παρίστατο βοῦν ἐπικόψων.

Στίχ: 242. . . . . ΑΙΝΗΣ ΜΑΛΑ ΤΡΙΤΟΓΕΝΕΙΗΣ· Τουτέστι βαρυτάτης, φρικωδεστάτης, καὶ Τρωσὶ σφόδρα χαλεπαινούσης· τὸ δὲ αἰνὸν, οἱ μὲν ἀπὸ τοῦ δεινὸν, ἀφαιρέσει τοῦ (δ), καὶ μεταβολῇ τῆς διφθόγγου (ει) εἰς τὸ (αι) φιλοῦσιν ἐτυμολογεῖν· οἱ δὲ ἀπὸ τοῦ (δαΐς ἐπὶ τὸ (δάϊνον) καὶ (δαινὸν) καὶ (αἰνὸν) μετακυλίοντες. Οἱ δὲ τέως ἀπὸ τοῦ χετλιαστικοῦ (αἰ) παράγοντες.

Στίχ: 243 ΠΟΣΣΙΝ ΥΦΕΙΡΨΑΘΗΝ κτ: Ἢ ὅτι τὸ σάκος ἄχρι ποδῶν τῆς Θεοῦ καθίετο· ἢ ὅτι ἐπὶ τοὺς πόδας ἕρψαντες τοῦ ἀγάλματος οἱ ὄφεις, ἀνιόντες ἔπειτα ὀπίσω τοῦ κοιλώματος τῆς ἀσπίδος ἀφανεῖς ἐγένοντο κρυβέντες· ἢ ὅτι πρὸ τῶν ποδῶν ἡ ἀσπὶς τῇ Θεῷ παρέκειτο. Κατὰ γὰρ Παυσανίαν (ἐν τοῖς Ἀττικ.) πρὸς τοῖς (Παλλάδος) ποσὶν ἀσπίς τε κεῖται, καὶ „πλησίον τοῦ δόρατος δράκων ἐστὶν. Ἦν δὲ ἄλλως καὶ ὁ δράκων τῇ Ἀθηνᾷ καθωσιωμένος· Πλατ: ἐν τοῖς περὶ Ἰσιδ. καὶ Ὀσίριδ.) καὶ ἐθύετο διὰ τοῦτο ἐν ταῖς αὐτῆς εἰκόσι δράκοντα παρεῖχεν· διὸ καὶ Φειδίας τῷ τῆς Ἀθηνᾶς εἰκάσματι δράκοντα παρέθηκεν.

Στίχ: 245. . . . . ΗΔΕ ΔΙΚΑΣΤ ΕΚΤΙΝΕΙΝ κτ: Αὕτη ἡ Φρυγῶν ἦν τεκμηρίωσις. (ἀνωτ: στίχ. 216.) πάντες γὰρ οἱ τοῦ Φρικώδες ἐπόπται δράματος, διὰ ἐδὲν ἄλλο, ἢ τῆς ἀταθάλου ἕνεκα ὕβρεως τιὼ δίκιω ὑπέλαβον εἰσπραχθῆναι τὸν Λαοκόοντα τούτου, ὅτι χεῖρα κατὰ τοῦ ἀναθήματος ἐπᾶραι ἐτόλμησεν. Ὅθεν δὴ ἵππον νῦν θεράτειον ἁπλῶς ὀνομάζει ὁ Ποιητὴς, ἢ ὄγκον, ἢ μῦχαρ, ἢ πέλωρ, κτ:, ὥσπερ ἀνωτέρω, ἀλλ' ἱερὸν ἔφη δοῦρον· ἢ τιὼ αἰχμιῶ ἀλιτρίω διὰ τοῦτο καλεῖ, ὡς κατὰ ἱερᾶς κατακοντισθεῖσαν χρήματος. καὶ Θεῷ καθωσιωμένε. Ὑπαλλαγῆς δὲ, φασὶ, τὸ χῆμα· ἐ γὰρ ἡ αἰχμὴ, ἀλλ' ἡ χεὶρ ἰῷ ἀλιτρήτε καὶ ἀνοσίᾳ, ἢ τιὼ αἰχμιῶ ἀκοντίσασα.

Στίχ: 248. . . . . ΠΡΟΣ ΑΝΑΚΤΟΡΑ ΠΑΝΤΕΣ ΑΥΣΑΝ. Οἱ τὸ πρὶν διάφορα καὶ ὑπεναντία περὶ τοῦ ἵππου φρονοῦντες καὶ λέγοντες, ὁμοφώνως ἀνέκραξαν δεῖν αὐτὸν εἰς τὸν τῆς Ἀθηνᾶς οἶκον, ἤτοι εἰς τὸν Ναὸν εἰσενεχθῆναι. Οὐ χρὴ δὲ νοεῖν ἔσω τοῦ Ναοῦ· ἐδύνατο γὰρ ἂν ἔτω καὶ τὸν Ναὸν αὐτὸν καθελεῖν, ὥσπερ καὶ τὸ τεῖχος τῆς πόλεως ἀλλ' ἐγγὺς τοῦ Ναοῦ, εἰς τὸ περὶ τὸν Ναὸν τέμενος, ἤτοι εἰς τὰ Ἀνάκτορα, ὡς ἀπεδώκαμεν. Ἀνάκτο„ρα γὰρ οἱ Ἕλληνες ἐκάλεν τῶν παρ' αὐτοῖς Θεῶν τὰ τεμένη.

Στίχ: 250. ΛΥΟΜΕΝ ΑΡ ΒΑΡΙΑΣ, Τὰς ὑπὲρ τὰς σκαιὰς πύλας πυργώσεις, ἢ τὰ ἀπὸ τούτων ἑκατέρωθεν περιτειχίσματα τοῦ Ἄξεος· ἵνα καθ' ὕψος τε καὶ πλάτος μηδὲν ᾖ ἐμποδοστατοῦν τὸν ἵππον εἰσενεχθῆναι.

Στίχ:

Pelidesque Neoptolemus, primuſque Machaon,
Et Menelaus, & ipſe doli fabricator Epeus.
Invadunt urbem, ſomno, vinoque ſepultam.
Cæduntur vigiles; portiſque patentibus omnes
Accipiunt ſocios, atque agmina conſcia jungunt.
Tempus erat, quo prima quies mortalibus ægris
Incipit, & dono Divûm gratiſſima ſerpit.
In ſomnis ecce ante oculos mœſtiſſimus Hector
Viſus adeſſe mihi, largoſque effundere fletus,
Raptatus bigis, ut quondam, aterque cruento
Pulvere, perque pedes trajectus lora tumentes.
Hei mihi, qualis erat, quantum mutatus ab illo
Hectore, qui redit exuvias indutus Achillis,
Vel Danaûm Phrygios jaculatus puppibus ignes!
Squallentem barbam, & concretos ſanguine crines,
Vulneraque illa gerens, quæ circum plurima muros
Accepit patrios: ultro flens ipſe videbar
Compellare virum, & mœſtas expromere voces.
O lux Dardaniæ, ſpes ô fidiſſima Teucrûm,

Quæ

❁ ❁ ❁

Στίχ: 252. ΑΝΤΥΓΑΣ ΕΥΤΡΟΧΑΛΟΥΣ κτ: Οὐ γὰρ δὴ ἔτ' ἀρθὲν, ἔτ' ἄλλως ἐφελκυθὲν, εἰμὴ διά τινων τοῖς ποσὶν αὐτῶ ὑφαρμοθέντων κανθῶν, ἢ τροχιλίσκων, εἰσενεχθῆναι εἶχεν εἴσω τειχῶν τὸ πελάριον μηχάνημα. Καί τις δέ, καὶ ζώων νεοσφαγῶν δέρματα ὑποτρωθῆναι αὐτῶ ὑπέθετο πρὸς εὐμάρειαν τῆς φορᾶς· πρὸς ὃ, καὶ σανίδες ἂν ὑποτρωθεῖσαι σωτέλεσαν ἐδὲν ἧττον τῆ ὁδὸν ὁμαλίζουσαι, εἰ μόνον πιμελῆ τέατος, καὶ τοιούτοις παραπλησίοις ἐπιπάσμασι γλιχροτέροις αἱ σανίδες ἐπιχριθεῖεν, ὡς ἂν μὴ παρὰ τὸ ὑπερβριθὲς τῆ ὄγκυ, διὰ τῆς τῶν ξύλων παρατριβῆς ἐπισυμβῆ τι ἐκπύρωσις. Τὰς δὲ πρὸς ἐφέλκυσιν τῆ ἵππυ σειρὰς, τὰς ἀπὸ τῆς δειρῆς, ἤτοι τῆ τραχήλυ, καὶ ἄλοθεν ὡς εἰκὸς ἀποτεινομένας, δέσματα ταῦτα ἐκ σύπης ἔπλεξεν Οὐϊργίλιος: Stupea vincula. ὃ ἐστὶ καλώδια. Ὁ δὲ Καλαβρὸς ἐχάλκευσε, σειρὴν ὀνομάσας. (Παραλ: IB. στίχ. 415.)

„Σειρὴν ἀμφεβάλοντο θοῶς περιμήκεϊ Ἵππῳ
„Δησάμενοι καθύπερθεν, . . . . . .

Ἀλλ' ἐδὲν ἴσως διαφέρει· ἡ γὰρ σειρὰ ἀπὸ τῆ ἔρω εἰράτε ἢ σειρὰ ἐρηθεῖσα, ἐξ ὑπόιας δήποτ' ἂν ὕλης πλέκοιτο. Διὸ ἐδὲ τὴν παρ' Ὁμήρῳ (Χρυσείην σειρὴν) διὰ καταχρήσεως οὕτως εἰρῆθαι αὐτὸς ἂν εἴποιμι.

Στίχ: 253. ΜΟΡΣΙΜΟΝ κτ: Τό τε ἐκ τῶν Μοιρῶν ὁριθὲν σημαίνει, καὶ τὸ θανατηρόν. Ἦν δὲ δήπυ τὸ περὶ ᾧ ὁ λόγος Τρωσὶν ἑκάτερον.

Στίχ: 254. ΕΓΚΥΟΝ ΟΠΛΟΙΣ. Ἐμπλεων ἀνδρῶν ἐνόπλων. Προσφυεστάτη δὲ ὧδε ἡ τῆ ἐγκύυ μεταφορὰ διὰ τὸ τῆ κύτυς ζωείκελον.

Στίχ: Αὐτ: . . . . ΑΜΦΙ ΚΟΡΟΙ ΔΕ ΚΟΡΑΙ ΤΕ . . . Οὕτω γὰρ ἔνθυς ὑπὸ χαρμονῆς ἐγένοντο πάντες τε καὶ πᾶσαι, ὡς μετὰ παιάνων τε καὶ ὕμνων φιλοτιμεῖσθαι συμπαραπέμπειν τὸν ἵππον, καὶ ἐν εὐχῆς μοίρᾳ τιθέναι καὶ ἔχυς τὸ ὀπωσοῦν εἰς τὸ ἔργον συμπεράξαθαι, τῇ γῆν χειρὶ, εἰ μηδὲν πλέον ἐνεχώρει, τῶν κάλων ἀκροθιγῶς ψαύσαντας. ἐφ' οἷς καὶ ὁ Καλαβρὸς ἐποίει: IB. Παραλειπ: 426.

„Πανσυδίη μογέοντες ἀνείρυον· ἀμφὶ δ' ἄρ' αὐτῷ
„Πολλὸν ἄδιν στεφέων ἐριθηλέα κόσμον ἔθεντο·
„Αὐτοὶ δ' ἐξέψαντο κάρη· μέγα δ' ἤπυε λαὸς
„Ἀλλήλοις ἐπικελομένων. . . . . .

Στίχ:

Ἄντυγας ἐυτροχάλους· σειρὰς δειρῆς δ' ἀπὸ τεῖνον.
Μόρσιμον αὐτὰρ ὕπερ βαίνεσκεν ἐρείπια μῆχαρ,
Ἔγκυον ὅπλοις· ἀμφὶ κόροι δὲ, κόραι τ' ἀδαμῆες
Μέλπον, καί γε κάλων ψαύειν χεῖρεσι γήθευν. 255
Ἵππος ἀταρ χώρει, μέσον αἰνὸς ἴκτο δ' ἀγὴ Ἄξυ·
Ὦ Πάτρη! Ὦ δῶμα Θεῶν πάρος, Ἴλιος ἱρὴ!
Τάχεά τ' ἐν πολέμοισιν ἐρίκλυτα Δαρδανιδάων!
Τετράκις αὐτὸν ὑπερθ' ὁδὸν πυλεῶνος ἔπεξη·
Τετράκι δ' ἄρ γάρης ἀράβησαν τεύχεα ἐντὸς. 260
Οἱ δ' ἐπὶ ἐγκείμεθ' ἀκμιὼ μανικοὶ τ' ἀλαοί τε,
Λευγαλέον δὲ πέλωρ ἱερὼ προτὶ εἴσαμεν ἄκρῳ.
Τόφρα δὲ Κασσάνδρη τὰ ῥά πέπρωταί ποτ' ἐσεῖσθαι,

Χρῆσε

❁ ❁ ❁

Στίχ: 256. . . . . ΑΙΝΟΣ . . . . . Ἔκπαγλες, φοβερὸς· ἤτοι διὰ τὸ ὑπερβάλλον τῆ μεγέθει, ἢ καὶ διὰ τὸ ἀγέρωχον καὶ γαῦρον τῆ ἱππείᾳ μορφώματος. Παρὰ δὲ τῷ Ποιητῇ ἀναγινώσκεται minans: ὅπερ ἐςὶ (κατὰ Σέρβιον) ἤτοι eminens: (ὁ ὑψηλὸς καὶ ἐξέχων καὶ ὑπεραίρων·) ἢ minitans: (ὁ ἐπαπειλῶν, καὶ φόβον ἐμποιῶν τοῖς ὁρῶσιν.

Στίχ: 257. Ὦ ΠΑΤΡΗ! Ὡς περιπαθὴς ἡ ἐπιφώνησις. Τοιαύτη δὲ καὶ ἡ Εὐριπ. ἐν Μηδείᾳ.

„Ὦ πάτερ, ὦ πόλις, ὦν ἀπενάθιω.

Καὶ ἡ Τρυφιοδώρα ἐπὶ τῷ ὧδε ὑποκειμένῳ πάθει. (ἐν Ἰλίῳ ἁλώσει·)

„Ὤμοι ἐμῶν ἀχέων! Ὤμοι πατρώιον Ἄξυ!

Θεῶν δὲ δῶμα τὸ Ἄξυ προσείρηται, διὰ τὸ ὑπό τε Ποσειδῶνος καὶ Ἀπόλλωνος δεδομῆθαι, Λαομέδοντι θητευσάντων· καὶ ὅτι Ἀθηνᾶ ἐν αὐτῷ ἐθεραπεύετο, ἧς, καὶ τὸ Διοπετὲς Παλλάδιον ἵςατο ἐν τῇ Ἀκροπόλει, ἀσφαλείας ἐχέγγυον· καὶ ὅτι τῶν ἐκ Τροίας τινές, οἷον Γανυμήδης, καὶ Τιθωνὸς, καὶ Δάρδανος, τοῖς οὐρανίοις ἐνηρίθμιωτο.

Στίχ: 258. ΤΕΙΧΕΑ Τ' ΕΝ ΠΟΛΕΜΟΙΣΙΝ ΕΡΙΚΛΥΤΑ . . . . Ἢ ὅτι Τρῶες, ἐν προλαβόσαις μάχαις, Μυσῶν τῶν ὁμόρων ἐπικρατέςεροι ὤφθησαν, ἢ καὶ διὰ τὸ ἐφ' ὅλης δεκαετίας περικαθήμενον καὶ πολιορκῶν τὸ Ἑλληνικὸν, μετὰ συχνὰς ἀγῶνας τε καὶ πολέμους, τῶν Ἰλίου ἐπάλξεων μηδαμῶς κατισχύσαι.

Στίχ: 259. ΤΕΤΡΑΚΙΣ ΑΥΤΟΝ ΥΠΕΡΘ' ΟΥΔΟΝ . . . . Καί τοι γὰρ τά τε ὑπέρθυρα, καὶ τὰ ἑκατέρωθεν τῆ πυλῶνος κατήρειπτο, ἀλλ' αἱ κατωτάτω φλιαὶ, καὶ οἱ τῆς πύλης βατῆρες, κατὰ χώραν ἔμενον, ἐφ' οἷς ἐπέσῃ προσκόψαν τετράκις τὸ εἰσελκόμενον.

Στίχ: 260. . . . . ΑΡΑΒΗΣΑΝ ΤΕΥΧΕΑ ΕΝΤΟΣ· ΕΦ' ἑκάςης προσκόψεως σφοδροῦ τῆ κραδασμῷ γινομένῳ τῷ μηχανήματι, διὰ τὸ περιὸν τῆ ὄγκῳ, καὶ τὸ ὑπερφυὲς τῆ βρίθει, ἐκ ἣν ὅπως τὰ ἐν τῷ κύτει μὴ διασαλευθείη κατασειθέντα, ὥςε ἄραβόν τινα, τετέσιν ἠχὼ ἔνθροον ἀποδῶναι.

Στίχ: 261. ΟΙ Δ' ΕΠΙ' ΕΓΚΕΙΜΕΣΘ'. . . . . Ὑπ' ἐκ οἶδ' ὅτῳ τῶν Θεῶν, φησὶ, τῶν εὐμενῶς ἔτι τοῖς καθ' ἡμᾶς πράγμασιν ἐπιβλεπόντων, ἡ τετραπλῆ τῆ Δωρείᾳ ἵππῳ σωθεῖσα σάσις τε καὶ ὑπήχησις, ὡς ἡμᾶς ἀναλαβόντας λογισμὸν ἐπίφρονα, ἐνταῦθα γοιῶ τῆς ἐγχειρήσεως σίωσι. Ἀλλ' ἡμεῖς μαινομένοις τε καὶ τυφλοῖς ἐοικότες, ἀκμιὼ ἐνεμένομεν τῇ προθέσει, ἅπαν τὸ ἐμποδὼν ἰσάμενον ὑπερβῆναι σπεύδοντες. Ὅ τέως καὶ ἐξετελέσαμεν, ὡς μὴ ὤφελεν! ἐπ' αὐτῆς τῆς Ἀκροπόλεως τὸ ὀλέθριον πέλωρ ἀναγαγόντες καὶ σήσαντες.

Στίχ: 263. ΤΟΦΡΑ ΔΕ ΚΑΣΣΑΝΔΡΗ κτ: Τί δ' ὅτι τοῖς ἀδηλοτέροις τουτοισὶ τὸν νῦν ἐ προσέχομεν τεκμηρίοις, ὁπότε, οὐδὲ τῆς Φοιβάδος Κασσάνδρας τὰ ἐπηρτημένα δεινὰ ὡς ἐκ τῆ Θεῆ ἡμῖν προθεσπιῳδέσης, οἱ δὲ οὐδὲν ἐπισεύομεν; ἡ μὲν γαρ, (ὡς ὁ Λυκόφ. ἐν Ἀλεξάνδρᾳ)

Quæ tantæ tenueræ moræ? quibus Hector ab oris
Expectate venis? ut te poſt multa tuorum
Funera, poſt varios hominumque urbiſque labores
Defeſſi aſpicimus? quæ cauſa indigna ſerenos
Fœdavit vultus? aut cur hæc vulnera cerno?
Ille nihil; nec me quærentem vana moratur:
Sed graviter gemitus imo de pectore ducens,
Heu fuge, nate Dea, teque his, ait, eripe flammis.
Hoſtis habet muros; ruit alto à culmine Troja.
Sat patriæ Priamoque datum; ſi Pergama dextrâ
Defendi poſſent, etiam hâc defenſa fuiſſent.
Sacra, ſuoſque, tibi commendat Troja Penates.
Hos cape fatorum comites: his mœnia quære
Magna, pererrato ſtatues quæ denique Ponto.
Sic ait, & manibus vittas, Veſtamque potentem,
Aeternumque adytis effert penetralibus ignem.
Diverſo interea miſcentur mœnia luctu:

Et

❀ ❀ ❀

„Ἔλυσε χρησμῶν, ὡς πρὶν, αἴολον σόμα·
Οἱ δὲ παρόντες, τὸ μέλλον προαναφωνῆσαν, καὶ κατὰ τὸ μηχανήματος
χαλεπαίνεσαν, (ὡς ὁ Καλαβρ. Βιβλ: ΙΒ'. 557.)
„Κείνῳ κερτομέοντες ἀπέτρεπον ἐυρέος ἵππου.
Τὸ δὲ τῆς ἀπιστίας αἴτιον ἄλλοι τε δὴ, καὶ Ἀπολλόδωρος (Βιβλ: Γ. Κεφ:
„ΙΒ'.) ἐκμυθευόμενος: ταύτην γὰρ σωνελθεῖν, φησὶ, βουλόμενος Ἀπόλλων,
„τῷ Μαντικῷ ὑπέχετο διδάξειν· ἡ δὲ μαθοῦσα ὑ συνῆλθεν· ὅθεν Ἀπόλ-
„λων ἀφείλετο τῆς Μαντικῆς αὐτῇ τὸ πείθειν· Ἀμέλειτοι ἐπεὶ ἐκ ἦν
„εἰκὸς ἀνταιρεθαι τὸ δῶρον, (τὰ γὰρ παρὰ τῶν Θεῶν δωρήματα ἐσὶν
ἀμετάθετα.) τῆς ἐξ αὐτῇ ὠφελείας ἐξέρησε. Φίλημα γὰρ αὐτῷ, ὡς
μήτι πλέον ἐπέτρεπεν, αἰτήσας, ἐνδόσῃ ἐνέπτυσεν εἰς τὸ σόμα, καὶ ἔτω
μηδαμῶς πισεύεθαι, οἷς ἂν χρήσειεν, ἐποίησεν. Οὕτω δὲ, ὡς Τζυφ. ἐν
Ἰλίᾳ Ἀλώσ.

„. . . . . τῇ δ' ἔτις ἐπείθετο· τῷ γὰρ Ἀπόλλων
„Ἀμφότερον, μάντιν τ' ἀγαθὸν, καὶ ἄπισον ἔθηκεν.

Στιχ. 267. ΤΟΤΤΑ΄ΚΙ ΤΡΕΠΤΟ ΠΟ΄ΔΟΣ . . . . . Οὕτω καὶ παρ' Ὁμὴρ. Ἰλι. Θ. 485.

„Ἓν δ' ἔπεσ' ὠκεανῷ λαμπρὸν φάος ἠελίοιο,
„Ἕλκον νύκτα μέλαιναν ἐπὶ ζείδωρον ἄρεραν.

Στίχ: 272. ΄ΑΡΓΟΛΙΚΗ΄ ΔΕ΄ ΦΑ΄ΛΑΓΞ κτ. Ὁ τῶν Ἑλλήνων σρατὸς· ἀμφότερα γὰρ σωνεκδοχικῶς ἐκ τῦ μέρες ἐμφαίνεσι τὸ ὅλον.

Στίχ: Ἄυτ: . . . . . ΔΙ΄ ΕΥ΄ΚΗ΄ΛΟΙΟ ΣΕΛΗ΄ΝΗΣ. . . . . Δι' ἠρεμαίας τε καὶ ἡσύχε τῆς νυκτός. Ὁ γὰρ νυκτερινὸς χρόνος ἐν ᾧ δαδεχεῖ ἡ Σελήνη, σιγηρὸς· οὐ γὰρ ἀκεσέον τῦ τὸ εὔκηλον τῆς Σελήνης, εἰς τὸ ἀσέληνον τῆς νυκτὸς μεταλαβόντος. Καὶ γὰρ καὶ Θεόκριτος ἐν Φαρμακευτ: τῷ Σελήνῃ περίλαμπτον νύκτα εὔκηλον εἶπε.

„Χαῖρε Σελαναία λιπαρόχροε, χαίρετε δ' ἄλλοι
„Ἀσέρες, εὐκήλοιο κατ' ἄντυγα νυκτὸς ὀπαδοί.

„Ἐπεὶ καὶ Καλλιθένης (παρὰ τῷ Σχολ. Εὐριπίδ.) ἔαλω, φησὶν, ἡ Τροία
„Θαργηλιῶνος Μηνὸς, ὡς μὲν τινες Ἰσορικῶν, ἢ ἰσαμένε· ὡς δὲ ὁ τῷ μι-
„κρᾶν Ἰλιάδα, ἢ Φθίνοντος· διορίζει γὰρ αὐτὸς τῷ ἅλωσιν συμβῆναι, ἡνίκα:

„Νὺξ μὲν εἴω μεσάτη, λαμπρὰ δ' ἐπέτελλε Σελήνη.

„μεσονύκτιος δὲ μόνον τῇ ἢ Φθίνοντος ἀνατέλλει. (Ὅρα Οὐρσῖν. ἐν ταῖς
„Παραθέσ.)

Στίχ:

Χρῆσε Θεὸ νεύσει, πιςευτέα ἅπτοτε Τεύκροις.
Αὐτοὶ δ' ἱρὰ Θεῶν οἰκτροὶ (κεῖν' ὤφελεν ἦμαρ
Ἦν πύματον!) θαλλοῖς ςέφομεν φαιδροῖς κατὰ Ἄξυ.
Τετάκει τρέπτο πόλος, νύξ δ' ὠκεανοῖο ἀπῶρτο,
Πέπλῳ ἠερόεντι καλύπτασ' ὐρανὸν ἐυρὺ,
Καὶ γιῶ ςείδωρον, καὶ Μυρμιδόνων δὲ δολῶσις.
Τοιγάρ κιδναμένων κατὰ Ἄξυ ἀπάντοσε Τεύκρων,
Νήδυμος ὕπνος ῥῶσα δαμάσσατο γυῖα ἐκήλων.
Ἀργολικὴ δὲ φάλαγξ ἐφ' ἑτοίμαις νήεσ' ἐχώρει,
Ἐκ Τενέδε πλώουσα δι' ἐυκήλοιο Σελιώης.
Σπεύδασ' ἀκτὰς ὀκ ἀγνώτες· εὖτε ῥὰ πυρσὸν,
Ναῦς βασιλὶς πρύμνης ἐξῆρεν· ὁ δ' ἄρ κατὰ μοίρας,
Τάς γε Θεῶν ἀνίσας, περισωθεὶς, λαθριδίως περ
Κλεῖθρ' ἀνέηκε Σίνων Δαναοῖς, καὶ δῶρον ἀνῶξε
Κευθομένοισιν· τὸς δ' ἀναπεπταμένος προτὶ αὔρας
Ἵππος ἀνεξέδοτο. Δρυὸς ἐξέσσωτο δὲ κοίλης,
Θέρσανδρος, Σθένελός τε ἀγὸς, καὶ γ' αἰνὸς Ὀδυσσεὺς,



❁ ❁ ❁

Στίχ: 276. ΤΑ'Σ ΓΕ ΘΕΩΝ 'ΑΝΙ'ΣΟΥΣ κτ: Τῶν Μοιρῶν ἀδικίαν Ἀνείας καταιτιᾶται, ἐπὶ ταῖς ὑ δικαίως (ἦπερ ᾤετο) τῇ πατρίδι, ἢ οἱ αὐτῷ, ἐπενεχθείσαις συμφοραῖς. τᾶτο δὲ κυρίως ἐςὶ τὸ μεμψιμοιρεῖν, ὅπερ οἱ ἐν δεινοῖς περιςατόμενοι τὰ πλεῖςα εἰώθασιν.

Στίχ: 277. ΚΛΕΙ'ΘΡ' 'ΑΝΕ'ΗΚΕ ΣΙ'ΝΩΝ κτ: Ὁποῖα ἆρα κλεῖθρα; πότερον τὰ ἔσωθεν τᾷ δερατέε ἵππε ἀνοίγεθαί τε καὶ ἐπιζυγᾶθαι δυνάμενα; ἢ τὰ ἔξωθεν; τὸ δεύτερον ἔοικεν ὧδε: Laxat clauſtra Sinon. Τό γε μὶν πρῶτον Ὅμηρος ὑπέθετο, ἐν οἷς τὸν Λαέρτε ἐπάγει λέγοντα: Ὀδυσ. Λ. 523.

„ . . . . . Ἐμοὶ δ' ἐπὶ πάντα ἐτέταλτο,
„Ἠμὲν ἀνακλῖναι πυκινὸν λόχον, ἠδ' ἐπιθεῖναι.

Ὅ καὶ πιθανώτερόν πως δοκεῖ, καὶ ἀσφαλέςερον. Ἔςι δ' ὅτε συμβιβάσαι τὸς Ποιητὰς διαςείλασιν: ὡς Σίνωνα μὲν ἔξωθεν ἔδει τὸ πρὸς τίνι διάνοιξιν εὐκαιρον τᾷ χρόνε διασημήνασθαι· εἶτα τῶν κλείθρων ἔσωθεν ἀνεθέντων, συνεργεῖν ἔτι τὸν αὐτον καὶ ἔξωθεν, τὰς τῶν πλευρῶν τᾷ μηχανήματος ἁρμονίας διαλύοντα, καὶ ἐυρυτέραν τε καὶ ἐυπορωτέραν παρασκευάζοντα τοῖς ἐγκαθημένοις τίνι ἔξοδον. Ταύτητοι καὶ laxat, ἔπεν ὁ Μάρων, ἐχὶ aperit. τᾶτο γὰρ κυρίως ἐςὶν εἰπεῖν: (ἀνοίγει·) ἐκεῖνο δὲ, (παραλύει. καὶ χαυνοῖ, καὶ ἀνίησιν.

Στίχ: 279. ΊΠΠΟΣ Α'ΠΕΞΕΔΟΤΟ . . . . . Ὥσπερ παρακαταθήκίν τινὰ, ἵν πρὸς καιρὸν τηρεῖν ἐπιτεύθη· ἤ, οἷόν τι κύημα, ὅπερ ἐν γαςρὶ φέρων ἐν καιρῷ τεταγμένῳ εἰς φῶς ἐξίωσεγκεν.

Στίχ: 280. ΘΕ'ΡΣΑΝΔΡΟΣ, ΣΘΕ'ΝΕΛΟ'Σ ΤΕ . . . . . 'ΟΔΥΣΣΕΥ'Σ. Θέρσανδρος (ὃν οἱ μὲν Θέσσανδρον, οἱ δὲ Τίσανδρον εἶπον·) ἦν υἱὸς Πολυνείκες καὶ Ἀργείας, τῶν ὑπὸ Ἀλκμαίωνι ἐπὶ Θήβας ςρατευσάντων ἐπιγόνων εἷς. (Ἀπολλόδ. Βιβλ. Γ. Κεφ: Ζ.) Σθένελος δὲ ἦν υἱὸς Καπανέως καὶ Εὐάδνης, ὁμοίως τῶν εἰρημένων καὶ ἕτος ἐπιγόνων εἷς. (Αὐτ: αὐτόθι.) Ὀδυσσεὺς δὲ ὅτι Λαέρτε ἦν υἱὸς καὶ Ἀντικλείας, ἐκ ἄδηλον. Καὶ τᾶτον σὺ ἀγὸν μὲν, ἀπὸ κοινᾶ, σωμα τοῖς δυσὶν ἅπλοις ἐνέηκεν, αἰνὸν δ' ἰδιαίτερον προσεῖπε: durum: τετέςι χαλεπόν τε, καὶ ἀπηνῆ, καὶ σκληρὸν καὶ ἄγριον· ἢ καθ' ἕτερά τινα τῶν Ἀντιγράφων, dirum: ἤτοι ἐπάρατον, ὡς ὑπὲρ ἅπαντας Ἕλληνας γεγονότα Τρωσὶ δυσμενέςατον.

Στίχ:

Et magis atque magis (quanquam ſecreta parentis
Anchiſæ domus, arboribuſque obtecta receſſit)
Clareſcunt ſonitus, armorumque ingruit horror.
Excutior ſomno, & ſummi faſtigia tecti
Aſcenſu ſupero, atque arrectis auriqus aſto.
In ſegetem veluti cum flamma furentibus Auſtris
Incidit: aut rapidus montano flumine torrens
Sternit agros, ſternit ſata læta, boumque labores,
Præcipiteſque trahit ſylvas: ſtupet inſcius alto
Accipiens ſonitum ſaxi de vertice paſtor.
Tum vero manifeſta fides, Danaûmque pateſcunt
Inſidiæ: jam Deiphobi dedit ampla ruinam
Vulcano ſuperante domus: jam proximus ardet
Ucalegon: Sigæa igni freta lata relucent.
Exoritur clamorque virûm, clangorque tubarum.
Arma amens capio; nec ſat rationis in armis.

Sed

❁ ❁ ❁

Στίχ: 281. ΣΠΑΡΤΩΙ ΣΦΑΣ ΚΑΘΙΕΝΤΕΣ. . . . . Ἀπὸ τῶν διανοιχθέντων κλείθρων προκύψαντες, διὰ καλωδίων εἰς ἔδος κλίμακος πεπλεγμένων ἑαυτὰς καθῆκαν. Τοῦτο δὲ τῷ μεγέθει τῷ ἵππῳ ἐοικὸς παραξατικὸν, κατ' ἔμφασιν ἐδέη τῆς παρ' Ὁμήρῳ ἐκείνης (Ὀδυσ. Λ. 522.) χειρονα, περὶ ἧς σεσημείωται ἀνωτ: στίχ: 15.

Στίχ: Αὐτ: . . . . ΑΘΑΜΑΣ ΤΕ, ΘΟΑΣ ΤΕ. Ὁ μὲν Ἀθάμας υἱὸς ἦν Αἰόλου τῶν Θηβῶν βασιλεύσαντος, ὡς Ἀπολλόδωρος (Βιβλ. Α. Κεφ: Ζ.) αὐτὸν γενεαλογεῖ. Ἀλλ' ἔτω μὲν καλεῖσθαι τὸν ἐν τῷ Δηρείῳ Ἵππῳ Σέρβιος ὑπέθετο, ἔκ τινων Κωδίκων μαθὼν· παρ' ἄλλοις μέν τοι ἔκειν' Ἀθάμας, ἀλλ' Ἀκάμας ὠνόμασαι, ὡς καὶ παρ' Ὑγίνῳ, τῷ ἐν Μύθ. 108. τὰς ἐγκλεισθέντας τῷ λόχῳ καταλέγοντι. Ἀκάμας ἔν παρ' Ὁμήρῳ (Ἰλ; Β. 823.) υἱὸς Ἀντήνορος ἀναγινώσκεται, ὃς ὑπὲρ Τρώων ἦγε τὰς Θρήϊκας· (Αὐτ: 844.) οὗπερ ἕτερον ἐπάναγκες εἶναι, τὸ γένος Ἕλλωα, τὸν περὶ ἧ λόγος ὧδε Ἀκάμαντα, εἰ μὴ ἄρα ἐπὶ τὰς πολεμίδας μεταχωρῆσαι καὶ τὸν υἱὸν χρὴ λέγειν, ὅ καὶ περὶ τῷ γενέτῃ πεφήμισαι. Θόας δὲ υἱὸς ἦν Ἀδρέμονος (κατὰ Σέρβιον) Ἦν δὲ καὶ Θόας ἕτερος, ὁ Ἰκαρίᾳ καὶ Περιβοίας Νύμφης, περὶ ἧ Ἀπολλόδωρος Βιβλ: Β'. Κεφαλ: Γ'.

Στίχ: 282. ΠΗΛΕΪΔΗΣ ΤΕ ΝΕΟΠΤΟΛΕΜΟΣ . . . . . Ἐξ Ἀχιλλέως ὤν, καὶ Δηϊδαμείας θυγατρὸς Λυκομήδους ὁ Νεοπτόλεμος (Ἀπολλόδ. Βιβλ. Γ. Κεφ: ΙΓ.) Πηλείδης ὧδε ὡς ἐκ τῆ πάππε παρωνυμῆται Πηλέως· Πύῤῥος μὲν τὸ πρῶτον κληθεὶς, ἅτε πυῤῥάκης τινὶ ὄψιν, Νεοπτόλεμος δὲ ὕστερον μετονομασθεὶς, ὡς ἔτι νεὰν ἐπὶ Ἴλιον στρατεύσας, τῷ πατρὸς αὐτῷ δολοφονηθέντος. Ἀντίπατις δὲ τῆς στρατείας ἥψατο μετακληθεὶς διὰ τὸ χρησμῷ φέρεσθαι, μηδαμῶς ἁλώσιμον ἔσεσθαι Τροίαν, ἢν μήτις τῶν Αἰακιδῶν παρῇ στρατοδόμενος.

Στίχ: Αὐτ: . . . . : ΠΡΟΤΎΧΩΝ ΤΕ ΜΑΧΑΌΝ, Ἀσκληπιῷ μὲν υἱὸς, ἀδελφὸς δὲ Ποδαλειρίου· τιμᾶται δὲ, ὡς τιὼ Ἰατρικὼ τέχνῃ προέχων. καὶ παρ' Ὁμήρῳ δὲ, Ἥρως προσαγορεύεται. (Ἰλ: Δ. 200.) καὶ ἰσόθεος φὼς. (Αὐτ: 212.)

Στίχ: 283. ΚΑΙ ΜΕΝΕΛΑΟΣ . . . . ΕΠΕΙΟΣ. Μενέλαος μὲν ὁ τῷ Ἀτρέως, κασίγνητος δὲ Ἀγαμέμνονος· ὑπὲρ ἧ καὶ ὁ Τρωϊκὸς πόλεμος συνεῤῥάγη. Ἐπειὸς δὲ ὁ τῷ Πανοπέως, ὁ τῷ Δηρείῳ ἵππῳ μηχανοργὸς· περὶ ἧ σεσημείωται. (ἀνωτ: στίχ: 15. Αὐτ:.)

Στίχ: 284—286. ΑΣΤΥ Δ' ΑΡ ΕΙΣΕΒΑΛΟΝ κτ: Ἀνεῤῥάφθαι πως ὧδε ἡ τῶν γενομένων ἔοικε τάξις κατὰ τὸ πρότερον καὶ ὕστερον. Εἰκὸς δὲ Α. ἀνεῶχθαι

Σπάρτῳ σφᾶς καθιέντες· ἀτὰρ τ' Ἀθάμας τε Θόας τε,
Πηλάδης τε Νεοπτόλεμος, πρέχων τε Μαχάων,
Καὶ Μενέλαος, καὶ δολοτέκτων αὐτὸς Ἐπειός.
Ἄξυ δ' ἄρ εἰσέβαλον δεδμημένον ὕπνῳ ἰδ' οἴνῳ,
Καὶ φρουρὸς κτάναν· πυλέων ἀνέτων δὲ ἑταίρους
Εἰσδέχνωτ' ἀθρόους. πάρα δὲ σίφε εἰδότα ἔσσαν.
Ἦμος δ' ἠρεμίη θνητοῖσι κατάρχεται πρώτη,
Ὕπνος ἀτὰρ, δώρημα Θεῶν τόδε, νήδυμος ἕρπει,
Ἠνίδ' ὀνείρῳ, σφόδρ' ἀχέων γε, ἐμοῖν ποτὶ ὄσσοω
Ἕκτωρ δόξε παρεῖναι, ἄληκτά τε δάκρυα χεύειν.
Ἑλκόμενος δίφροιο ἱμάντεσιν, ὡς ὅτε τρῆτο
Οἰδαλέα σφυρὰ, καὶ πεπάλακτο λύθροις τε κόνει τε.
Ὤμοι, ὁποῖος ἦην! ὅσσον κείνῳ δ' ἀλλοῖος
Ἕκτορος, εὖθ' ὅγ' ἔχων ἀχιλῆϊα ἔναρ' ἀνῆει!
Ἢ Δαναῶν νέεσι φρυγίης φλόγας ἠκόντιζεν!
Αὐχμήεις πώγων', ἀνάφυρτός θ' αἵμασι χαίτιω·
Τρώματα πολλὰ φέρων, ἅττ' ἀμφὶ πατρώϊα τείχη

Οὔτατ'

❀ ❀ ❀

ῶχθαι τὰ τῷ ἵππῳ κλεῖθρα· Β'. τὰς τρεῖς τῶν καταλεχθέντων Ἀνδρῶν τριττύας ἐκ τῷ κοίλῳ λόχῳ προελθεῖν. Γ. τὰς φρουρὰς τῶν τῷ Ἄξεος πυλῶνων ὑπὸ τέτων ἀναιρεθῆναι. Δ'. ἔσω τῆς πόλεως, τές τε τῷ ἵππῳ ἐκθορόντας, καὶ τὰς ἀπὸ τῶν ἀκτῶν συμβοήσαντας εἰσελθεῖν, καὶ τὰς πολίτας ἄφνω ἐπικαταλαβέσθαι, οἵ κατ' ἐκεῖνο, ὡς ὁ Καλαβρὸς ἔφη: (Παραλειπ: ΙΓ'. στίχ. 27.)

„ . . . . . λεχέεσσι πανύστατον ὕπνον ἴαυον,
„Πολλῷ ὑπ' ἀκρήτῳ, βεβαρηότες . . . . . .

Στίχ: 288. . . . . ΔΩΡΗΜΑ ΘΕΩΝ ΤΟΔΕ, . . . . Ὅμηρ. Ἰλ: Ι. στίχ. ἑξάτ.

„ . . . . . Ὕπνε δῶρον ἕλοντο.

Στίχ: 291. ΕΛΚΟΜΕΝΟΣ ΔΙΦΡΟΙΟ κτ: Καὶ ταῦτα δὲ ἐκ τῆς Ὁμήρε Γραφικῆς. Ἰλ: Χ. 396—403.

„Ἀμφοτέρων κατόπισθε ποδῶν τέτρηνε τένοντε
„Ἐς σφυρὸν ἐκ πτέρνης, βοέης δ' ἐξῆπτεν ἱμάντας
„Ἐκ δίφροιο δ' ἔδησε κάρη δ' ἕλκεσθαι ἔασεν.
„ . . . . . .
„Τῷ δ' ἦν ἑλκομένοιο κονίσαλος· ἀμφὶ δὲ χαῖται
„Κυάνεαι πίλναντο· κάρη δ' ἅπαν ἐν κονίῃσι
„Κεῖτο πάρος χαρίεν . . . . . .

Στίχ: 294. . . . . ΕΤ' Θ' ΟΓ ΕΧΩΝ ΑΧΙΛΗΪΑ κτ: Τίω γὰρ ἀπὸ κεφαλῆς Πατρόκλε κωνείω, ἢ πήληκα ἱπποκόμαν, ἢ αὐλόπιν τευφάλειαν εἰπεῖν, (ὡς ἐν ὀλίγοις ἔπεσιν, ἡ περὶ τὰ ὀνόματα ὑπέρπλετος Ὁμηρικὴ Μῶσα διαφόρως ὠνόμασε.) πεσεῖσαν τε καὶ ποσὶν ὑφ' ἵππων κυλινδομένῳ, Ἰλ: Π. 799.

„ . . . . . τό τε δὴ Ζεὺς Ἕκτορι δῶκεν
„Ἠι κεφαλῇ φορέειν. . . . . .

Στίχ: 295. Ἢ ΔΑΝΑΩΝ ΝΕΕΣΙ κτ: Ἡνίκα δηλονότι, Τρώων κατισχυσάντων, καὶ ἄχρι τῶ Δαναῶν ναυσάθμε κεχωρηκότων· Ἰλ: Ο. 704—716.

„Ἕκτωρ δὲ πρύμνης νεὸς ἥψατο ποντοπόροιο.
„ . . . . . .
„Ἕκτωρ δὲ πρύμνηθεν ἐπεὶ λάβεν ἀχὶ μεθίει,
„Ἄφλαστον μετὰ χερσὶν ἔχων, Τρωσὶν δ' ἐκέλευεν. Καὶ Ἰλ: Χ. 373.
„ . . . . . ἢ ὅτε νῆας ἐνέπρησεν πυρὶ καλέῳ.

Sed glomerare manum bello, & concurrere in arcem
Cum ſociis ardent animi: furor, iraque mentem
Præcipitant, pulchrumque mori ſuccurrit in armis.
Ecce autem telis Panthus elapſus Achivûm,
Panthus Othryades, arcis Phœbique ſacerdos,
Sacra manu, victoſque Deos, parvumqve nepotem
Ipſe trahit, curſuque amens ad littora tendit.
Quo res ſumma loco, Panthu? quam prendimus arcem?
Vix ea fatus eram, gemitu cum talia reddit:
Venit ſumma dies & ineluctabile tempus
Dardaniæ: fuimus Troës, fuit Ilium, & ingens
Gloria Teucrorum, ferus omnia Jupiter Argos
Tranſtulit: incenſâ Danai dominantur in urbe:
Arduus armatos mediis in mœnibus aſtans

Fundit

❁ ❁ ❁

Στίχ: 297. ΤΡΩΪ́ΜΑΤΑ ΠΟΛΛΑ᾽ ΦΈΡΩΝ, Ἐπεί τοι, Ἰλ: Χ. 369.
„ . . . . . ἄλλοι δὲ περίδραμον ὗες Ἀχαιῶν·
„ . . . . . Οὐδ᾽ ἄρα οἵ τις ἀνατητίγε παρέξη.
Καὶ Αὐτ: 375. „Ὡς ἄρα τις εἴπεσκε, καὶ ἐτήσασκε παρασὰς.

Στίχ: 301. ΤΙΊΠΤΕ ΣΕ ΔΗΘΎΝΟΝΤΑ ΤΌΣΟΝ . . . . Καιμὶὼ ἐκ εἰχεν ἀγνοεῖν Αἰνείας, ἄττα ἰῶ Ἕκτορ προπέπονθως. Ἀλλὰ γὰρ τὰ κατ᾽ ὄναρ κινδύνια τιὼ φαντασίαν τὰ πολλὰ δυσξύμβλητα, καὶ ὑπεναντίως ἀλλήλοις ἔχοντα, διὰ τιὼ εἰκῆ καὶ ἀτάκτως ἐν ὕπνοις συμβαίνασαν τῶν ἐν τῷ ἐγκεφάλῳ ἰχνῶν διατύπωσιν.

Στίχ: 310. . . . . ΑΙΊΠΕΙΝΗ᾽ Δ᾽ ῞ΗΡΙΠΕ ΤΡΟΊΗ, Ὁμη. Ἰλ: Ν. 772.
„ . . . . . ιιῶ ὄλετο πᾶσα κατ᾽ ἄκρης
„Ἴλιος αἰπεινὴ . . . . . .

Στίχ: 311. ῾Η ΜΆΛ᾽ ᾽ΑΠΈΣΧΕΝ ῞ΑΔΙΣ . . . . Τιὼ παρὰ Σᾷ, φησὶν, ἥ τε πατρὶς, ὅ τε Πρίαμος ἄλις ἀπέλαβον προθυμίαν, εἰς τὸ ὑπὲρ αὐτῶν ἀγωνίσασθαι καὶ κινδιωεῦσαι μηδέν τι πλέον ὑπὸ σᾷ πάρεσιν αὐτοῖς εἰς σωτηρίαν ἐλπίζειν· οὐδ᾽ ἂν οἷός τε εἴης ἐπιχρεσμῆσαι τι περαιτέρω ὅ τι καὶ δράσειας.

Στίχ: 312. . . . . ῞ΗΚΕΝ ῞ΑΜΥΝΕΝ. Καὶ ἡ χειρ αὕτη ἐπήμιωεν ἄν· τετὶ δὲ διχῶς ἄντις ἐνδέξαιτο. ἤτοι γὰρ (αὕτη) ἡ σὴ δηλονότι, ἢ γοιῶ (αὕτη) ἡ ἐμὴ. Ἀλλὰ τὸ μὲν δεύτερον ἀλαζονικώτερον ἂν ὑπὸ τᾶ῞Ηρως ὑπὲρ ἑαυτᾶ ῥηθείη, ἐκεῖνο δέπως ὑπὲρ τᾶ Αἰνείᾳ θωπευτικώτερον.

Στίχ: 313. ΙΡΆ ΤΕ κτ: Καὶ ταῦτα δ᾽ ἐξῆς (Στίχ: 16. 17.) τὰ Ἱερὰ εἰδικώτερον καταλέγει. Ἦν δὲ ἄρα τὰ Θεῶν πέπλα, ἃ καλά τε καὶ ποικίλα προσάγειν αὐτοῖς εἰώθεσαν ἑξιλασκόμενοι· οἷον τὸ τᾷ Ἀθιωᾷ (Α. Αἰν: 523.) ὑπὸ τῶν Ἰλιάδων μητέρων προσενεχθὲν καὶ τὰ ῥέμματα δέ, ἅπερ αὐτοῖς ἀνέκειτο· καὶ ἡ κρατὶςη Ἑστία, καὶ τὸ πῦρ τὸ μὴ σβεννύμενον.

Στίχ: Αὐτ: . . . . . ΠΑΤΡΩΪ́ΟΥΣ ΤΕ ΘΕΟΎΣ . . . . . ῞Ητοι τὰς Τρωϊκὰς τέτας λέγει Penates: (Ἑφεσίας), οὓς καὶ Θεὰς δωατὰς, καὶ μεγάλας, καὶ χρησὰς, ὁ Ποιητὴς πολλαχᾶ ὀνομάζει. Ζῆνα τε αὐτὸν, καὶ ῞Ηραν, καὶ Ἀθιωᾶν, καὶ Ἑρμιῶ δ᾽ ἐπὶ τέτοις· οὓς περ ὁ Δημαράτε τᾷ Κορινθίᾳ γὸς, ὁ τὰς Σαμοθράκων ἀγιςείας μεμυημένος, ἐν ἑνὶ Φέρων ἱερῷ σιωεφίδρυσεν. (Σέρβιος.) Ἢ πατρῴας ὧδε ἰδιαίτερον Θεὰς νοητέον, δύο τινὰ Ξοάνια, δυοῖν νεανίσκων παρασατικὰ, ἐν χήματι καθημένων, καὶ γερόσφας ἢ ὑσσὰς τῇ χειρὶ κατεχόντων. (περὶ ὧν Διονὺσ. ὁ Ἁλικαρ· ἐν τῷ Α. τῶν περὶ Ῥωμ. Ἀρχαιολ.) ἃ δὴ Ξοάνια ἐκ Σαμοθράκης τυχὸν καὶ ταῦτα μετενεχθέντα, ἐν τῇ Ἰλίᾳ διεσώζετο Ἀκροπόλει, τὰ ἐπὶ Ῥώμης ἐκεῖθεν ὕςερον μετακομιθησόμενα.

Στίχ:

Οὕτατ'· ἐγὼ δ' ἐδόκευν αὐτὸς δὴ δάκρυα χεύων,
Τὸν ῥὰ προαυδήσαθ', ὀλοφυδνά τε ῥήματ' ἀφεῖναι·
Ὦ φῶς Δαρδανίης, ὦ θάρσος πάμμεγα Τεύκρων·
Τίπτε σε δηθύοντα τόσον κατὰ Ἕκτορ, ἔχεσκεν;
Ὁππόθεν ἄρ γαίης ἡμῖν μιμνόντεσιν ἵκεις;
Ὅππως πολλὰ τεῶν μετὰ κήδεα, ἠδὲ πόνους τε
Παντοίους ἀνδρῶν, πόλεώς τε σ' ὀπώπαμεν ἄθλους,
Κεκμηῶτες; πῶς δ' ἄρ ἀεικῶς καλὰ πρόσωπα
Ὧδε μιάνθη; οἷα τετληότα Τρώματα λεύσσω;
Μὰψ δ' ἐπανειρομένῳ, ὁ δὲ μηδὲν ἐμοὶ προτιέχεν,
Αἰνῶς δὲ σεναχων μυχόθεν σηθῶν ἀπὸ βένθος,
Φεῦ, φάτο, φεῦγε Θεῆς γόνε, τῆδε πυρὸς δ' ἄπο χάζευ.
Τείχεα δὴ ἑάλωκ', αἰπεινὴ δ' ἤριπε Τροίη.
Ἦ μάλ' ἀπέχον ἄλις πατρίς τ' αὐτὴ, Πρίαμός τε.
Εἴτις ἀμωῦ ἔχε κεν Τροίῃ χεὶρ, ἦκεν ἄμυνεν.
Ἱρά τε, πατρῴης τε Θεὰς, σοὶ πάρθετο Τροίη.
Τὰς ἄρ ὀπάζεσθαι, τείχη δ' αὐτοῖσι ματεύειν,
Ἄττα τέως σήσεις μεγάλα πλαγχθεὶς διὰ πόντου.
Ἦ, καὶ σέμματά τε, κρατερὼ θ' Ἱσίην, καὶ πῦρ
Ἔκφερεν ἄσβεσον, μετὰ χείρεσιν ἐξ ἀδύτοιο.
Τόφρα δὲ παντοίοις θροέοντο ῥὰ τείχεα θριώοις,
Ἔς δ' ἐπὶ μᾶλλον (κ' ἔκεν ἀπώτερα δώματ' ἔκειτο
Ἀγχίσω πατρὸς, πυκνοῖσι κατάσκεγα δένδροις.)
Θοὰς προϊὼν κελάδει· ἀράβει δέ τε τείχεα αἰνῶς.
Ὕπνος δ' ἐκ ῥὰ σέσειστο· τέγος κορυφιὼ δ' ὑπὲρ ἄκρου,
Αἶψα δραμὼν ἀνέβαιν', ὀρθοῖσι τε ἔασιν ἔστω.



❋ ❋ ❋

Στίχ: 316. . . . . ΚΡΑΤΕΡΗ'Ν Θ' 'ΙΣΤΙ'ΗΝ, ΚΑΙ' ΠΥ'Ρ. Εἰ μή τι Βρέτας ἦν ἰδίᾳ ἢ τοῦτο ἐν μέρει ἄκελον τῆς Ἑστίας, ἀλλ' αὐτὸ δὴ τὸ πῦρ τὸ ἀσβέστως διατηρούμενον, ἐκδεκτέον ἐνταῦθα τὸ ἓν δηλοῦσθαι διὰ δυοῖν. Ὑπὸ γὰρ τῷ τῆς Ἑστίας ὀνόματι αὐτῇ ἐτίμων τινὲς γῆν, καὶ τὸ ἐν αὐτῇ πῦρ τὸ κεντροῦσον, δι' οὗ τὰ ἐπὶ τῆς γῆς πάντα ὑποθάλπεται καὶ ζωογονεῖται. ἤ, ὡς ἄλλοι φασὶν, ὑψηλότερόν τι ἐπιβαλλόμενοι, τὸν σύμπαντα κόσμον, καὶ τινὲς ἐν „αὐτῷ πυρώδη ἑστίαν. Νομᾶς γὰρ λέγεται τὸ τῆς Ἑστίας ἱερὸν ἐγκύκλιον „περιβαλέσθαι τῷ ἀσβέστῳ πυρὶ φρουρὸν, ἀπομιμούμενος τὸ τοῦ κόσμου „σχῆμα τῆς γῆς, ὡς Ἑστίας οὔσης, ἀλλὰ τοῦ σύμπαντος κόσμου, ἣ μέσον οἱ Πυθαγορι„κοὶ τὸ πῦρ ἱδρῦσθαι νομίζουσι, καὶ τοῦτο Ἑστίαν καλοῦσι, καὶ μονάδα· τινὲς δὲ „γῆν εἴτε ἀκίνητον, εἴτε ἐν μέσῳ τῆς περιφορᾶς οὖσαν, ἀλλὰ κύκλῳ περὶ „τὸ πῦρ εἰλουμένην, εἴτε τῶν τιμιωτάτων, εἰδὲ τῶν πρώτων τοῦ Κόσμου μορίων „ὑπάρχειν· Ταῦτα δὲ καὶ Πλάτωνα, φασὶ, πρεσβύτην γενόμενον διανενοῆ„σθαι περὶ τῆς γῆς, ὡς ἐν ἑτέρᾳ χώρᾳ καθεζώσης, τὴν δὲ μέσην καὶ κυριωτά„την ἑτέρῳ τινὶ κρείττονι προσήκουσαν. (Πλάτ. εἰς Βί. Νομ.) Παρὰ τῷ αὐτῷ δὲ Συγγραφεῖ, καὶ τὰ περὶ τῶν Ἑστιάδων εὑρήσεις αὐτόθι ἐξισορέμενα, ὁπόσας τε αὐτὰς ἔχειν εἶναι, καὶ ὅπως ἀγνεύειν, καὶ ὅπως περὶ τὸ τοῦ ἀσβέστου καὶ ἀθανάτου πυρὸς φυλακήν τε καὶ θεραπείαν ἐναχολεῖσθαι· καὶ ὅπως, ἀποσβεσθὲν εἰ τύχοι, αὖθις ἀνεζάπτειν. κτ: περὶ ὧν ἐνταῦθα πλείονα λέγειν οὐκ ἄκαιρον.

Στίχ: 318. . . . . ΤΕΙΧΕΑ ΘΡΗ'ΝΟΙΣ, Συνεκδοχικῶς τὸ περιέχον ἀντὶ τοῦ περιεχομένου· τῶν τειχῶν, ἀντὶ τῶν ἐν τοῖς τείχεσι, θροεῖσθαι λεγομένων.

Στίχ:

Fundit equus: victorque Sinon incendia miſcet
Inſultans. portis alii bipatentibus adſunt,
Millia quot magnis unquam venere Mycenis.
Obſedere alii telis anguſta viarum
Oppoſiti: ſtat ferri acies mucrone coruſco
Stricta, parata neci: vix primi prœlia tentant
Portarum vigiles, & cæco Marte reſiſtunt.
Talibus Othryadæ dictis, & numine Divûm
In flammas, & in arma feror: quò triſtis Erynnis,
Quò fremitus vocat, & ſublatus ad æthera clamor.
Addunt ſe ſocios Ripheus, & maximus armis
Iphitus, oblati per lunam, Hypaniſque, Dymaſque,
Et lateri agglomerant noſtro; juveniſque Chorœbus
Mygdonides, illis qui ad Trojam fortè diebus,
Venerat, inſano Caſſandræ incenſus amore,
Et gener auxilium Priamo, Phrygibuſque ferebat:
Infelix, qui non ſponſæ præcepta furentis
Audierat.
Quos ubi confertos audere in prælia vidi,

Incipio

❀ ❀ ❀

Στίχ: 324. ΩΣ Δ' ΟΤΕ ΠΥΡ ΛΑΒΡΟΝ . . . . . Οὕτω καὶ Ὅμηρ. Ἰλ: Β. 455.

„Ἠύ τε πῦρ αἰδηλον ἐπιφλέγει ἄσπετον ὕλιν
„Οὔρεος ἐν κορυφῇς, ἔκαθεν δέ τε φαίνεται αὐγή.

Ἔνθα Μακρόβιος (ἐν Ε. τῶν Κρονικ. Κεφ: ΙΓ.) τῆς Ὁμήρου μεγαλοφωνίας μηδαμῶς ἐφικέσθαι, φησὶ, τὸν Μάρωνα.

Στίχ. 325. . . . . ΕΙΣΙ ΔΕ ΧΕΙΜΑΡΡΟΥΣ ΚΑΤ' ΟΡΕΣΦΙΝ. Παρ' Ὁμήρῳ δὲ ἔτως. Ἰλ. Δ. 452.

„Ὡς δ' ὅτε χείμαρροι ποταμοὶ κατ' ὄρεσφι ῥέοντες,
„Εἰς μισγάγκειαν συμβάλλετον ὄβριμον ὕδωρ,
„Κρηνῶν ἐκ μεγάλων, κοίλης ἔντοσθε χαράδρης

Καὶ Ἰλιάδος δὲ Ε'. στίχ. 87.

„Θοῶε γὰρ ἀμπεδίον ποταμῷ πλήθοντι ἐοικὼς
„Χειμάῤῥῳ, ὅς τ' ὦκα ῥέων ἐκέδασσε γεφύρας·
„Τὸν δ' ἔτ' ἄρ τε γέφυραι ἐεργμέναι ἰσχανόωσιν,
„Οὔτ' ἄρ ἔρκεα ἴσχει ἀλωάων ἐριθηλέων,
„Ἐλθόντ' ἐξαπίνης, ὅτ' ἐπιβρίσῃ Διὸς ὄμβρος.

Ἐφ' ὧν αὖ Μακρόβιος τιὰ αὐτιὼ ἐπήνεγκε ψῆφον, ἣν καὶπὶ τῶν ἀνωτέρω. Ἀλλὰ καὶ Ἰλ: Λ. στίχ. 492.

„Ὡς δ' ὁπότε πλήθων ποταμὸς πεδίονδε κάτεισι,
„Χειμάῤῥοος κατ' ὄρεσφιν, ὀπαζόμενος Διὸς ὄμβρῳ·
„Πολλὰς δὲ δρῦς ἀζαλέας, πολλὰς δέ τε πεύκας
„Ἐσφέρεται, πολλὸν δέ τ' ἀφυσσετὸν εἰς ἅλα βάλλει·

Στίχ: 328. ΠΟΙΜΗΝΗΙΣ . . . . ΗΧΕΙΤ' . . . . Ἰλ: Δ. 455.

„Τῶν δέ τε τηλόσε δῆπον ἐν ἔρεσιν ἔκλυε ποιμὴν.

Στίχ: 329. ΤΟΦΡΑ ΔΕ ΠΙΣΤΙΣ, ΚΑΙ ΔΑΝΑΩΝ κτ: Τὸ πίστις κατ' ἀντίφρασιν, ἀντὶ τῆς ἀπιστίας. Ἀνεφάνη καὶ γάρ φησι, τιὼικαῦτα, ἡ περὶ τὰ βεβλεύματα τῶν Δαναῶν δολιότης· ἡ περὶ τὰς σκευωρίας αὐτῶν ῥᾳδιουργία τε καὶ πανουργία.

Στίχ: 330. ΔΗΙΦΟΒΟΥ κτ: Δηΐφοβος ὁ Πριάμε ἐξ Ἑκάβης (Ἀπολλόδ. Βιβλ. Γ. Κεφ: ΙΒ) μετὰ τιὼ Πάριδος τὸ ὁμαίμωνος ἀναίρεσιν, Ἑλένιω ἠγάγετο, ἐπιτρέψαντος τῷ πατρός. (ἀνωτ: Σημ. 175.) ὅθεν αὐτῷ, ὡς ἐχθίστῳ, τὸν ἵππον ἐν τοῖς πρώτοις οἱ Δαναοὶ κατενέπρησαν. Δηΐφοβον δὲ ὁ Καλαβρὸς παρίστη-

Ὡς δ' ὅτε πῦρ λάβρον μέγα μαιομένοιο νότοιο,
Λῆϊα πρήθει· εἶσι δὲ χαμάδρυς κατ' ὄρεσφιν
Ἀνσκεδάων ἀγρούς τε, ἀλωάς τ', ἔργα βοῶν τε,
Πολλιὼ ἠδ' ὕλιω ῥυσάζων· θαμβαλέος δὲ
Ποιμιὼ νῆϊς, ὑπερθ' ἐξὼς ἠχεῖτ' ἀπὸ σύρβου.
Τόφρα δὲ πίϛις, καὶ Δαναῶν λόχος ἐξεφαάνθη.
Δηϊφόβῳ δ' ἤδη ὑψηρεφὲς ἤριπε δῶμα,
Ἡφαίϛοιο βίῃ· ἅμα δ' ἤδη πίμπρατο ἄγχι
Οὐκαλέγων· πορθμοὶ Σιγήϊοι ἀντελάγιζον·
Κραυγὴ δ' ἀνδρῶν καὶ σαλπίγγων κλαγγὴ ἐνῶρτο.
Λάζομαι ὅπλα ἄνυς, ἀδὲν δὲ ὄνειαρ ἐν ὅπλοις.
Καὶ ῥά με χεῖρα σιωάψ' ἐς φύλοπιν, αὐτὰρ ἀν' Ἄκριω,
Αἶψα μάλ' ὤτρωεν θυμὸς δραμέειν μεθ' ἑταίρων·
Οἶϛρος ἐπεὶ μανίης τ', ὀργῆς τ', ἐς κρημνὸν ἐώθει·
Καλὸν ἀμιωομένῳ δ' ἐδόκει τεθνήμεν' ἐν ὅπλοις.
Ἠνὶ δ' ἄρ' ἐκ βελέων Πάνθυς ἀπαλύξατ' Ἀχαιῶν.

Πάνθυς

❀ ❀ ❀

περίεπτον, ἐπὶ λέχες τῷ τῆς Ἑλένης καρηβαρέντα, καὶ μαχαίρας ἔργον τῆς Μενελάε γενόμενον. (Παραλειπ. Π. στίχ. 354.)

„Καὶ τότε δὴ Μενέλαος ὑπὸ ξίφει ϛονοέντι
„Δηΐφοβον κατέπεφνε, καρηβαρέοντα κιχήσας
„Ἀμφ' Ἑλένης λεχέεσσι δυσάμμορον . . . .

Στίχ: 332. ΟΥΚΑΛΕΓΩΝ. Οὗτος εἷς τῶν ἀμφὶ Πρίαμον ἦν δημογερόντων (Ἰλ: Γ. 148.) ἃς Ὅμηρος ἐπὶ σκαιῇσι πύλῃσι παρέϛησε καθημένους, ὡς θεατὰς τῆς ἀμφὶ Πάριν καὶ Μενέλαον συϛησομένης μονομαχίας.

Στίχ. Λυτ: . . . . . ΠΟΡΘΜΟΙ ΣΙΓΗΪΟΙ κτ: Τὸ τοῖς Ἑλλήσποντον εἰσπλέουσι πρῶτος ἁπάντων δεξιόθεν ἐπὶ τῆς Τρωϊκῆς γῆς Ἀκρωτήριον, Σίγειον κέκληται, ἐκ τῆς Ἡρακλέους, φασὶ, σιγῆς· ὃς τῆς παρὰ Λαομέδοντι μὴ τυχὼν ξενίας, καὶ διὰ τοῦτο ἐπιμίωίσας, ἐκεῖθεν ἔπειτα κατὰ Τροίας σιγῇ ἐϛράτευσεν. Ἐπὶ τῆς αὐτῆς δὲ ἄκρας καὶ ὁ Ἀχιλλέος τύμβος ἐδείκνυτο, ὃν ὁ Μακεδὼν ὕϛερον κατιδὼν ἐμακάρισε τὸν Ἥρωα, ὡς Ὁμήρου τετυχηκότα τῆς ἀρετῆς κήρυκος. Οἱ γὰρ πορθμοὶ τῆς ἐγγὺς θαλάσσης, οἱ ἀπὸ τῆς ἄκρας παρωνυμέμενοι Σίγειοι, τὸ ἀπὸ τῆς ἀθεσφάτου φλογὸς διὰ τοῦ ἐμπρησμοῦ σέλας ἀντιδιδόντες ἀντέλαμπον.

Στίχ: 334. ΛΑΖΟΜΑΙ ΟΠΛΑ ΑΝΟΥΣ κτ: Ἄνυς δὲ τῷ ὄντι καὶ ἔκφρων, ὁ μηδ' ἐξ ὧν ἔναρε κατῶδε καὶ ἤκουσε, μηδ' ἀφ' ὧν, ὑπαρ ἤδη, τὰ αὐτὰ ἐπαληθεύοντα προσεθεᾶτο, τίω ἐκ τῶν ὅπλων βοήθειαν περαιτέρω φρεδίου αὐτῷ ἐσομένίω μὴ σωιδών. Ἐπαινεῖται δὲ ὧδε ἐπὶ τῷ Ουἱργιλιακῷ τέτε ἔπει, τὸ διὰ τῶν ἐκ παραλλήλε κειμένων δυοῖν α, α, εὐρυχαδὲς χασμώδημα: arma amens. ὃ καὶ ἡμῖν ἐπιτετήδευται: (ὅπλα ἄνυς) ὡς τῷ ὑπὸ ἀμηχανίας τοῖς πράγμασιν οἷον ἐπιχαίνοντος παραϛατικόν.

Στίχ: 338. ΚΑΛΟΝ ΑΜΥΝΟΜΕΝΩι Δ' ΕΔΟΚΕΙ κτ: Οὐκ ἔχων ἐλπίσαι νίκιω, ἔκφρων τε καὶ μανικὸς ὑπ' ὀργῆς, τῶν πραγμάτων ἀπεγνωκότος ἔργον ἐτόλμα.

Στίχ: 339. . . . . ΠΑΝΘΟΥΣ, κτ: Πάνθοος καὶ σιωαιρέσει Πάνθυς· ὡς ὁ νόος νοῦς, καὶ χνόος χνοῦς, καὶ χρόος χροῦς, καὶ τὰ ὅμοια. Ἐκφέρει δὲ τὸ ὄνομα καὶ ὁ Ποιητὴς τῇ κατ' αὐτὸν διαλέκτῳ ὡσαύτως: Panthus. Τι δ' ὅτι οἱ Γάλλοι τὸν Πάνθρον, ἢ Πάνθεν εἰς τὸν Πάνθεον ἢ Πανθέα ἡμῖν μετωνόμασαν; Panthée λέγοντες; ἢ, ἵν' εἰς τίω ἰδίαν φωνὴν μεθαρμόσωσιν; Ἀλλ' ἔδει, τὸ γοῦν ὕφος, παρὰ Ουἱργιλίῳ, ἥπερ ἐϛὶν ἔχον ἐᾶσαι ἀπαραβίαϛον, κατὰ τὰς ἄλλας Λατίνας Ἑρμηνευτάς, Panthus, οὐχὶ Pantheus καὶ αὐτὰς ὀνομάζοντας.

Incipio ſuper his: Iuvenes; fortiſſima fruſtra
Pectora, ſi vobis audentem extrema, cupido eſt
Certa ſequi, (quæ ſit rebus fortuna videtis.
Exceſſere omnes, adytis ariſque relictis,
Dii, quibus imperium hoc ſteterat:) ſuccurritis urbi
Incenſæ: moriamur, & in media arma ruamus.
Vna ſalus victis, nullam ſperare ſalutem.
Sic animis juvenum furor additus. Inde lupi ceu
Raptores atrâ in nebulâ, quos improba ventris
Exegit cœcos rabies, catulique relicti
Faucibus expectant ſiccis; per tela, per hoſtes
Vadimus haud dubiam in mortem, mediæque tenemus
Vrbis iter; nox atra cavâ circumvolat umbrâ.
Quis cladem illius noctis, quis funera fando
Explicet? aut poſſit lacrymis æquare labores?
Vrbs antiqua ruit, multos dominata per annos:
Plurima perque vias ſternuntur inertia paſſim

Corpo-

❁ ❁ ❁

Στίχ: 340. ΠΑΝΘΟΥΣ ΟΘΡΥΑΔΗΣ, Καὶ τῇ τε ὀνόματος ἐπαναλήψει ἐξ ὑπαρχῆς πάλιν, τε ἀνδρὸς ὑπεμφαίνει τιὼ ἐπιφάνειαν, καὶ αὐτὸν πως ἐπισεμνιώει τῷ χήματι, ἔθει χρησάμενος Ὁμηρικῷ, ὃς δίς τε καὶ τρὶς ὠνόμασεν ἐφεξῆς τὸν Νιρέα (Ἰλ: Β. 671.) ἐπειδὴ τότε ἀλλαχῆ μνείαν ποιεῖσθαι οὐκ ἐμελλε. Καλεῖται δὲ τὸ χῆμα τόδε Παραλογισμός, (παρὰ Ἀρις. Βιβλ. Γ. Ρητορικ. Κεφ: ΙΒ.) συμβάλλεται δὲ καὶ ἐπὶ τῶν μικρῶν, ἢ μικρὸν πρὸς αὔξησιν. (Ὅρα καὶ Δημήτρ. Φαληρ. περὶ Ἑρμην. §. 61.) Τὸν μὲν ἓν Πάνθοον τέτον καὶ Ὅμηρος ἀναφέρει ἐν τοῖς ἐπὶ τῶν Σκαιῶν πυλῶν καθημένοις Δημογέρασι, πρῶτον εὐθὺς μετὰ Πρίαμον, καταλέγων. Ἰλ. Γ. 145.) Καὶ Δίκτυς δὲ τὸν αὐτὸν, (ἐν Β. τῶν περὶ τε Τρωϊκ. πολέμ.) Ὀδυσσέως παρὰ Τρῶας περὶ Διαλύσεων πρεσβεύοντος, πρῶτον καθίζησιν ἀποκρινόμενον, μεθ' ὃν τὸν Ἀντήνορα, καὶ ἑξῆς τὰς ἄλλας. Ἦν δὲ Ἀπόλλωνος ἱερεὺς ὁ Πάνθης ἔτος ἐπὶ τῆς Ἀκροπόλεως, ὃς τὰς ἐπικαταλαβόντας ἤδη τιὼ ἄκραν πολεμίας φεύγων, ἐδὲ τῶν ἱερῶν ὅμως ἠμέλησε τε Ναε, ὡς μὴ συμπαραλαβεῖν μεθ' ἑαυτε καὶ διασῶσαι ὅσα ἰσχύσειε, σωσφελκόμενος ἅμα καὶ νήπιον αὐτε ἔκγονον.

Στίχ: 342. ΗΙΕ . . . . . ΑΚΤΑΣ ΔΕ . . . . Τῶν Ἀντιγεάφων τὰ μὲν, ἐπὶ τὰς ἀκτὰς ἀπένδοντα φέρει τὸν Πάνθεν, ad Littora: τὰ δὲ ἐπὶ τὰς ϛαθμὰς, ἢ τὰς πύλας, ad Limina: τετέχιν, ἐπὶ τὸν Αἰνείε ὶκον· ὧν τὸ μὲν ὑποτεθὲν, Αἰνείαν δήπε σωίζησιν, ὡς ἕνα μόνον ὄντα τῶν περιόντων, πρὸς ὃν ἄντις καταφυγὼν ἐλπίσειε σώζεθαι· τὸ δὲ, ἐμβροντησίαν κατηγορεῖ τε ὄντι τε Ἀρητῆρος καὶ ἄνοιαν, ὡς ἀπὸ τῶν ἧττον ἐπὶ τὰ μᾶλλον ἐπισφαλῆ ἀνατρέχοντος.

Στίχ: 346. ΔΑΡΔΑΝΙΗΣ· ΗΜΕΝ ΠΟΤΕ· ΤΡΩΕΣ . . . . Πολυώνυμος ἡ χώρα. Δαρδανία μὲν γὰρ ὠνόμασαι ἀπὸ Δαρδάνε, τε ἐκ Διὸς καὶ Ἠλέκτρας. (Α. Αἰν. 33. Σημ.) τε ἔτε ἐξ Ἀρκαδίας ὥς τινες βέλονται, ἔτε ἐκ Σαμοθράκης, ὡς ἄλλοι, εἰς Φρυγίαν μεταναςεύσαντος τιὼ Ἑλάσσονα. (ὁρ. Α. Αἰν. 415. καὶ 516. Σημ.) Τροία δὲ εἴρηται ἀπὸ Τρωὸς τε Ἐριχθονίε, καὶ Ἀξυόχης. (Α. Αἰν. 253. Σημ.) Ἴλιον δὲ, ἀπὸ Ἴλε τε ἐν Τρωσὶ βασιλεύσαντος. (Α. Αἰν. 292 Σημ.) Καὶ Τεῦκροι δὲ τέως ὅλον τὸ ἔθνος ἀπὸ Τεύκρε τε Σκαμάνδρε, καὶ Νύμφης Ἰδαίας. (Α. Αἰν. 257. Σημ:)

Στίχ:

Πάνθυς Ὀθρυάδης, Ἀκρίς Φοίβυ ἀρητὴρ,
Ἱρά τε χερσὶ, Θεούς τ', ἰδὲ νήπιον ἔκγονον ἕλκων.
Ἧιε δ' ἐμβρόντητος ἰὼν ἀκτάςδε θαλάσσης.
Πάνθοε, ὕςαθ' ὅποῖα; ἐς ἦν φευξούμεθα δ' ἄκριω;
Οὔπω πᾶν ἐφάμιω, γοόων ὅ δ' ἀμείψατο τοῖα:
Ἦλυθε δὴ ἦμαρ τό γε λοίθον· καιρὸς ἄλυκτος
Δαρδανίης· ἦμεν ποτὲ Τρῶες, ἰδ' Ἴλιος ἰρὴ,
Τεύκρων ἐυρύτε κῦδος. Ἄφαρ πάντ' αἰνότατος Ζεὺς
Μέτθετο εἰς Ἄργος· κρατέει Δαναὸς κατὰ Ἄξυ
Πιμπράμενον· μέσσοις δ' ἐξηῶς τείχεσιν ἵππος
Αἰπὺς, ὁπλιτοπάλας προχέει· νικῶν δὲ σὼ ὕβρει,
Ἐν ῥὰ φλοξὶ Σίνων, βροτόεντ' ἀνὰ αἵματα φύρει.
Οἱ δ' ἀναπεπταμένων σφι πυλάων, ἔνδοθι εἰσὶν,
Ὅσσαι χιλιάδες ῥὰ Μυκήνης ἐυραγείης
Οὔποθ' ἵκονθ'· οἱ δὲ ξεινωποῖς ἀντιόωσιν,
Εἴργοντες βελέεσσι· σιδήρυ δ' ἴξαται ἀκμὴ,



❋ ❋ ❋

Στίχ: 347. . . . . ΑΙΝΟΤΑΤΟΣ ΖΕΥΣ. Κάτοχος ὢν τῷ πάθει ὁ Ἀρητὴς, καὶ τῷ Ζηνὸς αὐτῷ προπετῶς καταφέρεται, ἀπήνειαν αὐτῷ καὶ ὠμότητα καὶ θηριωδίαν ἐπιμεμφόμενος· καθάπερ οἶμαι καὶ τῇ Τριτογενείᾳ ἀνωτέρω Αἰνείας ὁ εὐσεβὴς (στίχ. 242. Σημ.) παραπλησίως χαλεπότητα ἐπενέτριψε, καὶ ταῖς Μοίραις δὲ τῶν Θεῶν, ἀδικίαν (στίχ. 276. Σημ.) μεμψιμοιρῶν· ὥστε μοι θαυμάζειν ἔπεινα, πῶς Σέρβιος ὁ γενναιότατος τῶν Ουιργιλίου Σχολιαστῶν, τὸν Ἱερέα ὧδε κατὰ τῶ Ζηνὸς βλασφημοῦντα εἰκότως ἀποδοκιμάζων, τὸν Αἰνείαν διὰ παντὸς τῷ τοιούτῳ ἀποχέσθαι φησὶν, (ἄτε δὴ ἄνδρα ὅσιον, καὶ θεοφιλῆ σφόδρα τυγχάνοντα.) καὶ μηδαμῆ μηδέποτε τὸν Ποιητὴν τῷ Ἥρᾳ προσανάψαι τὸ εἰς τὸ τοιόνδε παρενεχθῆναι ἀτόπημα. Cum eſſet ſacerdos in convitia ruit Deorum: quod ſervat Virgilius ne unquam tradat Æneæ.

Στίχ: 348. ΜΕΤΘΕΤΟ ΕΙΣ ΑΡΓΟΣ. Οὐ σωνεκδοχικῶς ἐνταῦθα, ὡς ἐν ἄλλοις, ἐκδεκτέον εἶναι τὸ Ἄργος ἀντὶ τῆς Ἑλλάδος, φησὶ Δονάτος· ἀλλ' ἰδίως, ἀντὶ τῆς ἐν τῇ κατὰ Πελοπόννησον Ἀργολίδι πρωτευούσης πόλεως, ἧς Ἀγαμέμνων ἐβασίλευεν.

Στίχ: 350. . . . . ΠΡΟΧΕΕΙ . . . . . ΑΛΛ' ἤδη μὲν πρὸξέχεεν· ἵνα δὲ κατ' ἔμφασιν τὸ πλῆθος τῶν ἐνεδρευκότων δηλώσῃ, κατὰ τὸν ἐνεστῶτα χρόνον, ἀένναον οἷον τιὼ προεξέλευσιν τῶν ῥύδιω προχεομένων ἐπὶ πολὺ παρέσησε διαρκέσαν· ἤ, ἵνα καὶ ἐντεῦθεν ἡμῖν ἑαυτὸν ὁ ἀρητὴς ἀναδείξῃ καταπλήγα τε καὶ ἐμβρόντητον ὑπὸ φόβυ γενόμενον, τοιαῦτα πρὸς τὸ Ποιητὸ λέγων πεποίηται.

Στίχ: Αὐτ: . . . . ΝΙΚΩΝ . . . . . Τῷ σκοπευμένῳ τυχὼν· εὐτυχῶς ἐκπεράνας τὸ σκευώρημα· ἐκτελέσας κατ' ἔφεσιν, ὅπερ δὴ καὶ ἐβάλετο.

Στίχ: 351. ΕΝ ΡΑ ΦΛΟΞΙ ΣΙΝΩΝ κτ: Ἐν μέσῳ τῶν φλογῶν ἐλαύνει σκεδαννυμένους, καὶ ἡμιφλεγεῖς κατακτείνει, διὰ πυρὸς τῷ ὄντι καὶ σιδήρυ ἀπολλυμένους· νοητέον δὲ αὐτὸ δὴ τοῦτο ποιεῖν ὡσάυτως καὶ τὸς περὶ Σίνωνα.

Στίχ. 353. ΟΣΣΑΙ ΧΙΛΙΑΔΕΣ κτ: Ἤτοι τὰ δεινὰ προσεπάυξει, ἢ ἐπ' αὐτοῖς δεινῶς αὐτὸς τεθορυβημένος τοιαῦτα λέγει, ὡς ἄριστα Σέρβιος σημειοῖ ἤ, τίνα γὰρ καὶ λόγον ἔχει πλείονας τῶν ἐξ ἀρχῆς στρατευσάντων τηνικαῦτα λέγειν παρεῖναι, τοσούτων ἐπὶ τῷ δεκαετεῖ πολέμῳ, ἄλλως τε, κἂν ταῖς συνεχέσι μάχαις, ἤδη προδιεφθορότων;

Στίχ: 358 . . . . . ΑΛΑΩΙ ΕΝΣΤΑΝΤΕΣ ΕΝ ΑΡΕΙ. Τὸν ἐν τῷ σκότει λέγει, ὅτι διετέλουν νυκτομαχοῦντες· ἢ ὅτι ἐπὶ τῷ ἀέλπτῳ τῆς τῶν πολεμίων ἐφόδυ, καὶ αὐτοὶ οἱ τῶν πυλῶνων φύλακες ἔτω τεθρύλητο, ὡς μηδ' εἰδέναι ἔχειν ὅποι καὶ τράπωνται, ἢ τὶ καὶ δράσειαν.

Στίχ:

Corpora, perque domos, & religioſa Deorum
Limina. Nec ſoli pœnas dant ſanguine Teucri:
Quondam etiam victis redit in præcordia virtus;
Victoreſque cadunt Danaï: crudelis ubique
Luctus, ubique pavor, & plurima mortis imago.
Primus ſe Danaûm, magna comitante caterva,
Androgeos offert nobis, ſocia agmina credens,
Inſcius, atque ultro verbis compellat amicis.
Feſtinate viri; nam quæ tam ſera moratur
Segnities? alii rapiunt incenſa, feruntque
Pergama: vos celſis nunc primum à navibis itis?
Dixit: & extemplo (neque enim reſponſa dabantur
Fida ſatis) ſenſit medios delapſus in hoſtes.
Obſtupuit, retroque pedem cum voce repreſſit.
Improviſum aſpris veluti qui ſentibus anguem
Preſſit humi nitens, trepiduſque repente refugit
Attolentem iras, & cærula colla tumentem.
Haud ſecus Androgeos viſu tremefactus abibat.
Irruimus, denſis & circumfundimur armis;
Ignaroſque loci paſſim, & formidine captos
Sternimus: aſpirat primo fortuna labori.
Atque his exultans ſucceſſu, animiſque Chorœbus,

O

❀ ❀ ❀

Στίχ. 360. . . . . ΕΝΘΑΤ' ΕΡΙΝΝΥ'Σ. Κατὰ Μετωνυμίαν, ἢ Ὑπαλλαγὴν, ἀντὶ τῆς Ἐριννύος νοείσθω ὁρμήτις ἰσχυρὰ καὶ ἀκάθεκτος τῆς ψυχῆς εἰς μανίαν μονονυχὶ ἐκκεκινημένης.

Στίχ. 362. ΞΥ'Ν Δ' ΟΠΕ'ΩΝΕΣ ΙΚΟΝΤΟ κτ: Addunt ſe: προσέθεντο ἑαυτὲς τῷ ἐλθεῖν, φησὶν ὁ Μάρων· τετέχιν ἑκόντες συνέρρευσαν ὑπὸ μηδενὸς μετάπεμπτοι· αὐτόκλητοι, αὐτεπάγγελτοι, ἐθελονταὶ. ἵκοντο γὰρ, ὃ προσεκλήθησαν.

Στίχ. 363. . . . . ΑΜΦΙ' ΣΕ'ΛΑΣ ΜΗ'ΝΗΣ. Εἰκὸς γὰρ, τῷ μὲν ἀρχῷ τῆς νυκτὸς ἀσέληνον εἶναι τότε· προϊούσης δὲ, καὶ τῷ Σελήνῃ ἀνίσχουσαν φαίνειν ἀπάρξασθαι. (Ὅρα ἀνωτ: στίχ. 273. Αὐτ:)

Στίχ. 364. ΣΠΕΙΡΗΔΟ'Ν . . . . . Ἰλαδὸν συνάντες. Σπεῖρα γὰρ, καὶ Ἴλη, καὶ Τάγμα, καὶ Φάλαγξ, πλῆθος ἐξὶ στρατιωτῶν συνιόντων, καὶ εἰς μάχην παρατεταγμένων, ὡς ὁλοχερέστερον εἰπεῖν. Λαμβάνεται δὲ ἀπραγμονέστερον ἐνίοτε ἀντ' ἀλλήλων, καί τοι ὃ μικρὸν διαφέροντα τὰ τοιάδε συνήματα· περὶ ὧν, οἱ τὰ Τακτικὰ πραγματευόμενοι.

Στίχ. Αὐτ: . . . . ΚΟΡΟΙΒΟΣ κτ: Α΄. περὶ Κοροίβε φησὶ, τῷ Μύγδονος καὶ Ἀναξιμένης ὁ Μάρων ὧδε, ταῦτα καὶ παρ' Ὁμήρῳ περὶ τῷ Ὀθρυονέως ἀναγινώσκεται τὰ αὐτὰ Ἰλ: Ν. 364.

„Ὅς ῥὰ (Ὀθρυονεὺς) νέον πολέμοιο μετὰ κλέος εἰληλάθει,
„Ἤλθε δε Πριάμοιο θυγατρῶν εἶδος ἀρίστην
„Κασσάνδρην, ἀνάεδνον· ὑπέχετο δὲ μέγα ἔργον,
„Ἐκ Τροίης ἀέκοντας ἀπωσέμεν ὔας Ἀχαιῶν· κτ:

Εἰ μὲν ἓν ὁ αὐτὸς ἑκατέρωσε, δυώνυμος ἦν. Ἀλλὰ γὰρ ὃ μὲν ἡ τῶν ὀνομάτων, καὶ τῷ ἐκ τῆς πατρίδος γνωρίσματος, ἐνέγκαι διαφορὰ· (ὁ μὲν γὰρ Κέροιβος, ὁ δ' Ὀθρυονεὺς· καὶ ὁ μὲν Μυγδόνιος, ὁ δὲ Καβησόθεν.) (ἢ τοι καὶ ἡ ἀπὸ Μύγδονος Μυγδονία, ὡς ἡ Καβησὸς, μοῖρα Μακεδονίας ἦν, κατὰ Στέφαν' τὸν Βυζ.) Ἀλλ' Ὀθρυονεὺς μὲν, ὑπὸ Ἰδομενέως καθ' Ὅμηρον ἀνῄρητο· (Αὐτ: 370.)

„Ἰδομε-

Γυμνὰ τ' ἀποσίλβει κτανέμεν δὴ φάσγαν' ἑτοῖμα.
Πρῶτοι μὲν ῥὰ μόγις πειρῶνται δηϊοτῆτος
Οἱ πυλέων φρουροὶ, ἀλαῷ ἐνσάντες ἐν Ἄρεϊ.
Τοίοις Ὀθρυάδαο ἔπεσσι, Θεῶν τ' ἰοτῆτι,
Ἀμ φλόγας ἰθύω, ἀνά τ' ἔντεα ἔνθα τ' Ἐριννὺς
Λευγαλέη κάλεεν, κέλαδός τ', ἰαχή τ' ἐπιῶρτο.
Ξιὼ δ' ὀπέωνες ἴκοντο, Ῥιφεύστε, καὶ ἔξοχος ὅπλοις
Ἴφιτος, ἀμφὶ σέλας Μήνης, Ὕπανίς τε, Δυμᾶς τε,
Σπειρηδὸν δὲ πάρ ἔσσαν· ἰδ' ὁπλότερός τε Κόροιβος
Μυγδονίδης, νέον ὃς Τροίηνδ' ἐνὶ ἤμασι κείνοις
Ἦλυθ', ἐπεί γε ἔρῳ μανιώδει φλέκτο Κασάνδρης,
Γαμβρός τ', ἠδ' ἐπίκουρος ἰὼν Πριάμῳ, Φρυγίοις τε.
Δυσάλας! ἐντολίας ἔνθ' μνηστῆς παρακούσας.
Τὼς δ' ἐσιδὼν ἀθρόους δῆριν τολμᾶν' μεμαῶτας,
Ὧ δὴ μᾶψ, ἐφάμιλλα, ὔμμες μεγαλήτορες Ἄνδρες,
Αἴ κέν μοι θαρσοῦντι ὁλοίθια, θυμὸς ἀνώγει
Ἔμπεδος ἑσπέσθαι, παρεῦσαν δαίμον' ἀθρεῖτε.
Πάντες ἀπέσιχον, ἱρά τε βωμούς τε προλιπόντες,
Τοῖσι Θεοῖς ἤδρασο κράτος· πόλεως ἴτ' ἀρωγοὶ
Πιμπραμένης· τεθναῖμεν· ἀν' ἔντεα ἐνθὺ προβῶμεν.
Ἐλπίς γ' ἠττηθεῖσι μόνη περιλείπεται ἥδε·
Αὐτὸς μηδαμόθεν σωθῆναι μηκέτι ἔλπειν·
Τὼς ἄρ ἐγὼ σφίσι θυμὸν ἐνὶ στήθεσφιν ὄρινα.

Ὡς

❁ ❁ ❁

„Ἰδομενεύς δ' αὐτοῖο τιτύσκετο δερὶ Φαεινῷ.
Κόροιβος δ' ἐνταῦθα παρὰ Μάρωνι, ὡς κατωτέρω: (στίχ. 453.)
„Πηλέως κτάνθη παλάμῃφι. . . . . .
Ἢ ὑπὸ Διομήδεος, ὡς παρὰ Κοΐντῳ τῷ Καλαβρῷ (Παραλειπ. Βιβλ: ΙΓ. στίχ. 168.)
„Καὶ τότε Τυδέος υἱὸς ἀνὰ μόθον ἀντιόωντα,
„Αἰχμητῆρα Κόροιβον, ἀγαυὸν Μύγδονος υἱα,
„Ἐγχείῃ κοίλοιο διὰ σομάχοιο πέρησεν,
„Ἦχι θοαὶ πόσιός τε καὶ ἔδματος εἰσὶ κέλευθοι.
Ἢ ὑπὸ Νεοπτολέμου, ὡς ἱστόρησε Παυσανίας ἐν τοῖς Φωκικοῖς. Καὶ Ὀθρυονεὺς μὲν Τροίας ἔτι ἐσώσης, κατὰ τὴν ἐπὶ ταῖς Ναυσὶ μάχην πίπτει· Κόροιβος δὲ ὕστερον, πιμπραμένης ἤδη τῆς πόλεως καὶ ἐκπορθουμένης· καὶ ἐκ ἔστιν ὅς τον αὐτὸν δὶς τεθνᾶναι ἐρεῖ εἰκὸς ἔν οἴεσθαι, τὰ ὑπὸ Ὁμήρου περὶ Ὀθρυονέως ῥαψῳδηθέντα, ὑπὸ Μάρωνος ἐπὶ Κόροιβον μεταπλασθῆναι, ἐπαυθεντήσαντος ποιητικώτερον τοῖς πράγμασι, καὶ κατὰ τὴν ἰδίαν προθεσιν ἀποχρησαμένου τῷ δράματι. Ἀπορήσειε δ' ἄντις ἴσχυν ἔτι καὶ περὶ τὰ παρὰ Οὐιργιλίῳ Κορυβα, εἴπερ αὐτὸς ἔτος ἐστὶν ὁ σωσάμενος Βεταλίωνι, καὶ Μελιτίδῃ, καὶ τοῖς τοιούτοις, ἐπ' εὐηθείᾳ τε καὶ ἠλιθιότητι διακωμῳδούμενος, καὶ εἰς τοσοῦτον ἀνοίας ἐλάσας, ὥστε καὶ τὰ παρὰ τοῖς αἰγιαλοῖς προσκαθήμενον ἀναμετρεῖν ἐπαναῤῥέοντα κύματα· περὶ ὃ καὶ ἡ παροιμία: (ἠλιθιώτερος Κορυβα) Ὅρα Αἴλ, περὶ τούτου, Ποικίλ. Ἱστορ. Βιβλ: ΙΓ. Κεφ: ΙΕ. Καὶ τὸν Ἀριστοφ. Σχολιαστ. ἐν Βατρ. Καὶ Σουίδ. ἐν Λέξει.

Στίχ: 368. . . . ΕΝΤΟΛΙΑΣ ΕΝΘΟΥ ΜΝΗΣΤΗΣ ΠΑΡΑΚΟΥΣΑΣ, Ἡ γὰρ Κασάνδρα, ὡς εἴθιστο ὑπὸ τῆς αὐτῷ κινούσης μαντικῆς ἐπιπνοίας, τελευτῶντι τῷ μνηστευομένῳ Κορυβα προκαταγγέλλουσα οὐκ ἔσχε πείθειν· δίκῃ Ἀπόλλωνι τούτῳ δικᾶσα, τὸ ἐφ' οἷς αὐτὴ ἀπεφοίβαζε μὴ πιστεύεσθαι, ὡς προειρηται. (Ἀνωτ: 263. Σημ.)

O ſocii, quæ prima, inquit, fortuna ſalutis
Monſtrat iter, quàque oſtendit ſe dextra, ſequamur.
Mutemus clypeos, Danaûmque inſignia nobis
Aptemus: dolus, an virtus, quis in hoſte requirat?
Arma dabunt ipſi: ſic fatus, deinde comantem
Androgei galeam, clypeique inſigne decorum
Induitur, laterique Argivum accommodat enſem.
Hoc Ripheus, hoc ipſe Dymas, omniſque juventus
Læta facit: ſpoliis ſe quiſque recentibus armat.
Vadimus immiſti Danais, haud numine noſtro:
Multaque per cæcam congreſſi prælia noctem
Conſerimus; multos Danaûm demittimus Orco.
Diffugiunt alii ad naves, & littora curſu
Fida petunt: pars ingentem formidine turpi
Scandunt rurſus equum, & notâ conduntur in alvo.
Heu nihil invitis fas quemquam fidere Divis.
Ecce, trahebatur paſſis, Priameia virgo
Crinibus à templo Caſſandra, adytiſque Minervæ,
Ad cœlum tendens ardentia lumina fruſtra;
Lumina: nam teneras arcebant vincula palmas.
Non tulit hanc ſpeciem, furiatâ mente Chorœbus;

Et

❁ ❁ ❁

Στίχ: 379. ΩΣ Δ' ΑΡΠΑΚΤΗΡΕΣ ΛΥΚΟΙ. Συχνὰ παρ' Ὁμήρῳ αἱ τοιαῦται παραβολαί. Οὕτω καὶ Μυρμιδόνες ὑπὸ Ἀχιλλέως εἰς μάχην θωρηξάμενοι: Ἰλ. Π. 156.

„ . . . . . Λύκοι ὡς
„Ὠμοφάγοι, τοῖσιν τε περὶ φρεσὶν ἄσπετος ἀλκὴ
„Οἵτ' ἔλαφον κεραὸν μέγαν ἔρεσι δηώσαντες
„Δάπτουσιν· πᾶσιν δὲ παρήϊον αἵματι φοινόν. κτ:

Καὶ οἱ περὶ Ὀδυσσέα καὶ Διομήδην ἐπὶ τὴν κατασκοπὴν ἀπερχόμενοι: Ἰλ: Κ. 297.

„Βὰν ῥ' ἴμεν, ὥϛε λέοντε δύω, διὰ νύκτα μέλαιναν,
„Ἀμ φόνον, ἀν νέκυας, διά τ' ἔντεα καὶ μέλαν αἷμα.

Στίχ: 384. ΑΛΛΑ' ΝΥ ΤΙΣ ΚΕ ΦΟΝΟΥΣ κτ: Πλεῖον τι, ἢ εἴπερ ἐπὶ λεπτῇ διεξῆλθεν ἔκϛασα, διὰ τῆς παρεντεθείσης νοεῖν παρέσχεν ἐπιφωνήσεως. Ἀλλ' ἴϖω δὴ καὶ Νέϛωρ πρὸς Τηλέμαχον παρ' Ὁμήρῳ. Ὀδυσ. Γ. 113.

„ . . . . . Τίς κεν ἐκεῖνα
„Πάντα γε μυθήσαιτο καταθνητῶν ἀνθρώπων;

Στίχ: 386. ΗΡΙΠΕΝ ΑΣΤΥ ΠΑΛΑΙΟΝ κτ: Τῇ τῆ Τρωϊκῆ Ἀχεος ἀρχαιότητι καθ' ὑπερβολὴν ἄγαν ἐπεδαψιλεύσατο Σέρβιος, διχίλιά τε καὶ ὀκτακόσια ἔτη (ταῦτα δὲ ὁλογράφως, ἐν τῇ κατά τὸ Ἀμϛελόδ. Ἐκδόσ. παρὰ Ἀβραὼ Οὐολφάγγῳ Τόμ. Β. τῶν Οὐιργ. Ποιημ. Σέλ. 393. Σημ. στίχ. 3 3.) διαγενέϑαι αὐτὸ κρατῆσαν, ἐκ διὸ ὅϑεν, ἐὸ ὅπως ἐξιϛορήσας. Ἀνάγει γὰρ ἕτω τὴν τῆ Τευκρίᾳ Κράτες ἀρχὴν, ἐς γ' ἐπ' αὐτὴν τῶν πραγμάτων τὴν πρωτίϛην καταβολὴν, ἢ, καὶ τὴν μετὰ τὸν Κατακλυσμὸν (ἐι ϑέλει) ἀποκατάϛασιν. Εἴπερ γὰρ Ὅμηρον πρὸ τῆ Σωτηρίᾳ ἔτες, ἐνιαυτοῖς ὡσεὶ χιλίοις ϑῶμεν, τὸν ἐκ ὀλίγον ἔμπης μετὰ τὰ Τρωϊκὰ ἐπακμάσαντα, ὡς ἄλλοι τε δή, κ' Ὀυελλέϊος ὁ Πάτερκλος (Βιβλ: Α'. Κέφ. Ε'. τῆς Ἐπιτ.) οὐκ ἀλόγως οἴεται· Προσεπιλογισώμεϑα δ' ἐπὶ τέτοις, καὶ τὰ κατὰ τὸν Σχολιαϛὴν Ἔτη 2800. Ἔτη ἀνακύψει τὰ πάντα σχεδὸν 4000. κἀντεῦϑεν ἡμῖν ὑπὲρ τὲς Ἀρκάδας

Ὡς δ' ἁρπακτῆρες λύκοι ἐν ὁμίχλῃ ζοφοέσσῃ,
Τὲς λιμαγχομένης γαστρὸς λύσσημ' ἀλάωσε,
Τάων τ' ἀυχμηρῇσι φάρυγξι σκύμνια λεῖφθεν,
Ἁμ βέλε, ἀμ φονίης τε ὀρώμεν, ἦ ῥὰ πεσόντες·
Μέσσον δ' ἄξυδ' ἰόντας ἐρεμνὴ νὺξ ἐκάλυπτεν.
Ἀλλά νυ τίς κε φόνης, τὶς δ' οἶτον νυκτὸς ἐκείνης
Μυθήσαιτο; μόθων τ' ἀντίῤῥοπα δάκρυα χεύσας;
Ἤριπεν Ἄξυ παλαιόν, ἔτεσσι μακροῖς ἐπὶ ἄρξαν.
Στόρνυτ' ἀγειαῖς πλεῖς' ἀμενηνὰ πτώματα πάντῃ,
Ἔν τ' οἴκοις ἀνδρῶν, αὐτοῖς τε Θεῶν ἱεροῖσιν.
Οὐδ' οἷοι τίνυσι δίκας σφῶν αἵμασι Τεῦκροι
Τοῖς καὶ προητιηθεῖσι, μένος δ' οὐ ἄυτ' ἐπανῆει.
Πίπτον καὶ Δαναοὶ μετὰ νίκιω· αἰνὸς ἀπάντῃ
Θρῆνος· ἀπάντῃ δεῖμα τε, ἠδ' ὄψις θανάτοιο.
Πρῶτος δὴ Δαναῶν μεγάλῃ σιχοώμενος ἄλῃ
Ἀντίασ' Ἀνδρόγεως, δοκέων λόχον ἔμμεν ἑταίρων,
Νῆϊς· ἀτάρ τε φίλῳ ἡμᾶς ἠνίπαπε μύθῳ.
Σπέρχεθ' ἄνδρες· τὶ σφέας ἴχει ὄπνος ὁ τόσσος;
Πιμπράμεν' ἁρπάξσι φέρσί τε Πέργαμα ἄλλοι.
Οἱ δ' ὀρθοκραίρων ἀπὸ νηῶν ἧκετε πρῶτον.
Ἦ, ἀτάρ αἶψ' (ὡς ἦκ αὐτῷ σιωθήματ' ἀπήντα)



❁ ❁ ❁

δας ἔσονται οἱ Φρύγες Περσέλλιοι, καὶ τῷ ὄντι Φᾶναι Βεκκεσέλλιοι· ἢ τῇ λοιπῇ περιττὸν ἂν εἴη τὸ ΒΕΚΚΟΣ ἐκεῖνο πρὸς ἔνδειξιν τῆς Φρυγῶν ἀρχαιότητος, τὸ ἐκ τῆς Ψαμμιτίχε, ἢ Σεσογχόσιος πείρας, ὑπὸ τῶν ἀγλώσσως ἀνατραφέντων παίδων προενεχθέν. Ἀλλ' ἐπιεικῶς πολύ τις χαριεῖται Σερβίῳ, εἰ τὲς δισχιλίης ἀπαλείψας, μόνης τὲς ὀκτακοσίης ἀπάσεται τῆς Τρωϊκῆς δωδεκαετίας ἐνιαυτές. Καὶ γάρ τοι καὶ Σχρεβέλιος, ἐν τῇ κατ' αὐτὸν ἐκδόσει τῶν Οὐιργιλίε Ποιημάτων (ἐκ τῆς Ἀκκιανῆς Τυπογρ. 1666.) οὐ πλείης ἐνιαυτῶν τριακοσίων καὶ δώδεκα τῇ Τρώων Βασιλείᾳ ἀπέδωκεν.

Στίχ: 389. ΟΥΔ' ΟΙΟΙ ΤΙ'ΝΟΥΣΙ κτ: Ὅμοιον τῷ παρ' Ὁμήρῳ Ἰλ: Ξ. 480.
„Οὔ θην εἴσισίν γε πόνος τ' ἔσεται καὶ ἐπίζυς
„Ἠμῖν, ἀλλὰ ποθ' ὧδε κατακτανέεσθε καὶ ὔμμες.

Στίχ: 394. . . . . ΑΝΔΡΟ'ΓΕΩΣ κτ. Οὗτος ἐμοὶ ἐδὲ παρ' Ὁμήρῳ ἔυρηται, οὐδ' οἱ Σχολιασταὶ Οὐιργιλίε προσέθεντό τι περὶ αὐτῦ, ὥστε γνωρίσαι τὸν ἄνδρα. Ἀπολλόδωρος δὲ (Βιβλ: Β'. Κεφ: Ε'.) Ἀνδρόγεων ἱστορεῖ Μίνωος υἱόν, καὶ υἱὲς δὲ τέτε, Ἀλκαῖον καὶ Σθένελον ἀναφέρει, ὃς Ἡρακλῆς ἀνεῖλεν ἐν τῇ τῆς Νήσε Πάρε πολιορκίᾳ. Ὁ δ' αὐτὸς (Καὶ ἐν Βιβλ: Γ'. Κεφ: „ΙΕ'.) διέξεισιν „Ἀνδρόγεων τὸν Μίνωος παῖδα, ἐπὶ τῷ τῶν Παναθηναίων „ἀγῶνος, τῷ ὑπὸ Αἰγέως ἐπιτελεμένε, νικήσαντα πάντας, ἔπειτα ὑπὸ „τῷ αὐτῷ ἐπὶ τὸν Μαραθώνιον Ταῦρον πεμφθέντα, διαφθαρῆναι· ἢ (ὡς „ἔνιοι λέγεσι) πορευόμενον εἰς Θήβας ἐπὶ τὸν Λαΐε ἀγῶνα, πρὸς τῶν ἀ„γωνιςῶν ἐνεδρευθέντα, διὰ φθόνον ἀπολέσθαι. Ἀλλ' ἐπεὶ γὰρ ταῦτα πρὸ τῶν Τρωϊκῶν σωέβη γενέσθαι, ἄλλος ἔτος Ἀνδρόγεως ἔσαι ἡμῖν ὁ ἐνταῦθα, ἀδὲν ἄλλ' ἢ τέκνομα κοινὸν ἔχων πρὸς τὸν τῷ Μίνωος.

Στίχ: 399. . . . . (ΩΣ ΟΥΚ Α'ΥΤΩΙ ΣΥΝΘΗ'ΜΑΤ' ΑΠΗ'ΝΤΑ) Τὸ Σωθημα (τῷθ' ὃ παρὰ Λατίνοις ἐσὶν ἡ Tessera.) λόγος ἐσὶν ἐν πολέμοις ὑπὸ τῶν στρατηγέντων τοῖς στρατευομένοις διδόμενος, ἐπὶ γνωρισμῷ τῶν οἰκείων καὶ συμμάχων, καὶ τοῖς ἐναντίοις ἄδηλος ὤν. Περὶ τέτε Ξενοφὼν ἐν Κυροπαιδ.

Et ſeſe medium injecit moriturus in agmen.
Conſequimur cuncti, & denſis incurrimus armis.
Hic primum ex alto delubri culmine telis
Noſtrorum obruimur, oriturque miſerrima cædes,
Armorum facie, & Grajarum errore jubarum.
Tum Danai gemitu, atque ereptæ virginis irâ,
Vndique collecti invadunt: acerrimus Ajax
Et gemini Atridæ, Dolopumque exercitus omnis.
Adverſi rupto ceu quondam turbine venti
Confligunt, Zephyruſque, Notu que, & lætus Eois
Eurus equis: ſtridunt ſylvæ, ſævitque tridenti
Spumeus, atque imo Nereus ciet æquora fundo.
Illi etiam, ſi quos obſcurâ nocte per umbram
Fudimus inſidiis, totâque agitavimus urbe,
Apparent: primi clypeos, mentitaque tela
Agnoſcunt, atque ora ſono diſcordia ſignant.
Ilicet obruimur numero: primuſque Chorœbus
Penelei dextrâ, Divæ armipotentis ad aram
Procumbit: cadit & Ripheus juſtiſſimus unus
Qui fuit in Teucris, & ſervantiſſimus æqui.
Diis aliter viſum. Pereunt Hypaniſque, Dymaſque,

Con-

❁ ❁ ❁

ροπαιδ. „Ταῦτα εἰπὼν καὶ σιώθημα παρεγγυήσας: Ζεῦ σῶτερ καὶ Ἡγεμών) ἐπορεύετο. Καὶ Ἀντίοχος δὲ ὁ Σωτὴρ ἐπικληθεὶς, Γαλάταις μέλλων „συμβάλλειν, ὅναρ εἶδεν Ἀλέξανδρον αὐτῷ παρεστῶτα, κελεύειν σιώθημα „πρὸ τῆς μάχης δοῦναι τῇ στρατιᾷ, ὑγιαίνειν) καὶ ὑπὸ τούτῳ τῷ Σωτῆ„ματι, τῷ θαυμαστῷ ἐκείνῳ νίκῳ ἐνίκησε. (Λουκιαν. ἐν τῷ περὶ Ὀρχήσ.)

Στίχ 402. ΑΠΡΟΙΔΗΣ ΤΙΣ ΟΦΙΝ κτ: Καὶ τοῦ ἐξ Ὁμήρου, τὸ Πάριν ποιοῦντος, τῇ Μενελάου ὄψει ἐπὶ τῆς Μονομαχίας ἐκπεπληγμένον, καὶ ἄψ ἑτάρων εἰς ἕθνος χαζόμενον; Ἰλ: Γ'. 33.

„Ὡς δ' ὅτε τίς τε δράκοντα ἰδὼν παλίνορσον ἀπέῃη,
„Οὔρεος ἐν βήσσῃς, ὑπό τε τρέμος ἔλαβε γυῖα,
„Ἄψ τ' ἀνεχώρησεν, ὦχρός τε μιν εἷλε παρειάς-
„Ὡς ἄνθις καθ' ὅμιλον ἐὺν Τρώων ἀγερώχαν. κτ:

Στίχ: 409. ΤΟΙΣΔ' ΕΠΙ ΓΗΘΗΣΑΝΤΙ ΚΟΡΟΙΒΩι κτ: Ὁρᾶς τὸν ἡλίθιον καὶ ἐυπίθη; (Ἄνωτ: στιχ. 365. Σημ.) Α'. μετεσχηλ σαλπίζοντα πρὸ τῆς νίκης τὸν θρίαμβον. Β. τῷ ἀμετρίῳ τῶν ὅπλων ὡς ἀνυσιμέντι καὶ τελεσιουργὸν ἀναμφιλέκτως συμβαλέουντα, ὑφ' ἧς ἐδέη ὄφελος, ἀλλὰ καὶ ζημία εἰς τέλος ἐμελλεν ἕψεσθαι. Γ. καὶ θεμιτὸν ἐχ ὅπως τὸ δόλοις χρῆσθαι κατὰ τῶν πολεμίων ὑπαγορεύοντα, (τοῦτο γὰρ ἐπὶ τῶν ἐν πολέμοις στρατηγημάτων ἐνίοτε φιλοτεχνεῖσθαι ἴσως ἐκ ἄλογον. Κατὰ γὰρ Πίνδαρον, Ἴσθμ. Εἰδ. Δ. „Χρὴ δὲ πᾶν ἔρδοντ' ἀμαυρῶσαι τὸν ἐχθρόν.) Ἀλλὰ καὶ τὸ ἁπλῶς οὕτω περιελθεῖν τὸν ὑπεναντίον, εἴτε δόλῳ καὶ πανουργίᾳ, εἴτε δι' ἀρετῆς καὶ ἀνδραγαθίας εἰς ταὐτὸ νομίζοντα ἥκειν, καὶ μηδὲν τὸ παράπαν διαφέρειν εἰσηγέμενον.

„Τίς κατὰ δυσμενέων δόλον, εἴτ' ἀρετῇ ἐρεείνει; (Στίχ: 413.) ὡς εἰ μηδὲν ἦν καθ' αὐτὸ ἡ τλήμων ἀρετὴ, ἀλλ ἐκ τῆς τῶν ἄλλων ἡ πᾶσα ἠρτημένη εἴη, ὡς ἂν αὐτοῖς δόξειεν, ὑπολήψεως.

Στίχ: 417. . . . ΟΠΛΟΤΕΡΩΝ ΔΕ ΕΚΑΣΤΟΣ, Τὸς ὁπλοτέρους, ἤτοι τὸς νεωτέρους ὁ Ποιητὴς εἰσάγων, (Αἰεὶ δ' ὁπλοτέρων ἀνδρῶν φρένες ἠερέθονται· Ἰλ: Γ. 108.) τὸς γεραιτέρους ἔοικεν ὑπεξηρηκέναι. Σωφάλειον γὰρ ἴσως, οἷς τι

Δήϊον αἰθόμενος περιπεπταμένως κατὰ ἄλλων
Θάμβησ', ἄψ τε πάλιν πόδα καὶ φωνῶ ἐπανεῖκεν.
Ἀπροϊδής τις ὄφιν, τρηχύτατος ὡς ὅτ' ἀκάνθας
Θλίψεν ἰὼν κατὰ ὁδὸν, ὁ δ' ἐβαρ ἐχάσσατο δείσας
Ὀργὰς τ' ἄϊροντα, φλεγμαινομένους τε τραχήλους·
Αὔτως Ἀνδρόγεως τρομέων ὑπεχάζετο ὄψιν.
Τοιγὰρ ὀρόμεν, ἀμφὶ δὲ ταρφέσι χεύμεθα ὅπλοις.
Χῶρον δ' ἀγνώσσοντας ἁπάντη, ἀμφιδεεῖς τε
Κτάνομεν· ἐν πρώτοις πνέε δ' ἡμῖν ὄριος Ἄρης.
Τοῖς δ' ἐπὶ γηθήσαντι Κορύβῳ ἦλατο ἦτορ·
Καὶ πρῶτον, φίλοι, ἔνθ' ἡ δαίμων ξεῦτο σαώσειν,
Τὴν χωρῶμεν, ἔφη, τρίβον· ἦδ' ἐνδέξιος ὤφθη.
Ὅπλα δ' ἀμειβόμενοι Δαναῶν ὑπὸ σήματα δῦτας
Τὶς κατὰ δυσμενέων δόλον, εἴτ' ἀρετῷ, ἐρεείνει;
Τεύχεα τοὶ πόρσω. Ὡς δ' εἰπὼν ἱπποδασείην
Ἀνδρόγεω κόρυν, ἠδὲ φαεινῷ ἀσπίδ' ἔδυσεν.
Καὶ ξίφος Ἀργεῖον δ' οἷσιν περιβάλλετο ὤμοις.
Τὼς δὲ Ῥιφεύς τε, Δυμᾶς τε, καὶ ὁπλοτέρων δὲ ἕκαστος,
Ἔρδον προφρονέως, ἐνάροισι νέοις δ' ὤπλισθεν.
Καὶ δὴ ξυὼ Δαναοῖσι μιγέντες ὀρόμεν ἄντα·
Οὔτι μὲν ἡμετέρῳ ὑπὸ δαίμονι· ἀλλὰ περ ἔμπης,
Συχνὰς ξησάμενοι δήϊους ἀλαλῶ κατὰ νύκτα,
Πολλὰς δὴ Δαναῶν Ἄϊδος προϊάψαμεν ἔσω·
Τῶν δ' ἄλλοι ῥά φέβοντο νέεσθε, φίλας τ' ἐπὶ ῥῖνας.

Οἱ

❁ ❁ ❁

τι περιῶν διὰ τὴν ἡλικίαν φρονήσεως, ὅτι τὰ σωπῆθ ὅπλα τῶν ἀσιωπήθων, μᾶλλον ἐνάρμοσα καθέσηκε τοῖς ὁπλιζομένοις, καὶ πολλῷ ἐκ τῦ ἑπομένε ἐυχρηστότερα.

Στίχ: 419. ΚΑΙ ΔΗ ΞΥΝ ΔΑΝΑΟΙΣΙ ΜΙΓΕΝΤΕΣ κτ: Οὐκεν, φησὶν, ἐκ τῦ ἀφανῦς ἐνεδρεύοντες, ἐδ ἐξ ἀπόπτε ἐπιθέμενοι, ἢ καὶ πόρρωθεν τιτυσκόμενοι, ἀλλ' αὐτοῖς ἅμα τοῖς πολεμίοις συνεπεμίγημεν ἐμπεσόντες· ὃ μεγίσης δήπε προθυμίας, καὶ μάλα γενναίε ψυχῆς ἦν παρασήματος. Τοιῦτον τὸ Ἰδομενέως, πρὸς Μηριόνιν εἰπόντος: Ἰλ: Ν. 262.

„ . . . . . Οὐ γὰρ οἴω,
„Ἀνδρῶν δυσμενέων ἑκὰς ἱσάμενος πολεμίζειν·

Ἐντεῦθεν καὶ Ὅμηρος Διομήδιν θαυμαῖον ἐποίησεν, Ἰλ: Ε'. 85.

„Τυδείδιν δ' ἐκ ἂν γνοίης ποτέροισι μετεἰη,
„Ἠὲ μετὰ Τρώεσσιν ὁμιλέοι, ἢ μετ' Ἀχαιοῖς·

Καὶ γὰρ (Αὐτ: στίχ. 134) . . . . . ἐξ αὐτῖς ἰὼν προμάχοισιν ἐμίχθη·
Καὶ κατὰ τὸν, καὶ τὰς αὐλὰς αὐτὰς ὑπεράλμενον, καὶ τῦ θριγκῦ ἐντὸς ὀρέοντα λέοντα (Αὐτ: 143.)

„Ὡς μεμαὼς Τρώεσσι μίγη κρατερὸς Διομήδης.

Ἐνθεντοι καὶ Σθένελος πρὸς αὐτὸν ὁ Καπανῆος: (Ἰλ: Αὐτ: 249.)

„ . . . . . μηδὲ μοι ἔτω
„Θωῦξε διὰ προμάχων, μήπως φίλον ἦτορ ὀλέσσης.

Στίχ: 420. ΟΥ̓ΤΙ ΜἘΝ ΗΜΕΤΈΡΩι ΥΠῸ ΔΑΙΜΟΝΙ· Τετέσι τῶν Θεῶν μηδένα ἡμῖν αὐτοῖς ἔχοντες προσατῆντα· ἢ, ἐκ ἐπ' ἀγαθῷ ἡμετέρῳ. ἐκ ἀγαθῇ τύχῃ.

Confixi à ſociis: nec te tua plurima, Panthu
Labentem pietas, nec Apollinis infula texit.
Iliaci cineres, & flamma extrema meorum,
Teſtor; in occaſu veſtro, nec tela, nec ullas,
Vitaviſſe vices Danaûm; & ſi fata fuiſſent
Ut caderem, meruiſſe manu. Divellimur inde
Iphitus, & Pelias mecum: quorum Iphitus ævo
Jam gravior, Pelias & vulnere tardus Vlyſſei.
Protinus ad ſedes Priami clamore vocati.
Hic vero ingentem pugnam, ceu cætera nuſquam
Bella forent, nulli totâ morerentur in urbe:
Sic Martem indomitum, Danaoſque ad tecta ruentes
Cernimus, obſeſſumque actâ teſtudine limen.
Hærent parietibus ſcalæ, poſteſque ſub ipſos,
Nituntur gradibus, clypeoſque ad tela ſiniſtris
Protecti objiciunt; prenſant faſtigia dextris.
Dardanidæ contra, turres, ac tecta domorum
Culmina convellunt: his ſe (quando ultima cernunt)
Extremâ jam in morte parant defendere telis:
Autataſque trabes, veterum decora alta parentum
Devolvunt. alii ſtrictis mucronibus imas

Obſe-

❀ ❀ ❀

Στίχ: 424. . . . . ΔΕΌΣ ΑΙΌΣΧΙΟΝ, Ἐν τοῖς μετὰ τῶν πολεμίων συμβολαῖς τε καὶ μάχαις, τὸ ὑποχωρεῖν καὶ νῶτα τρέπειν δειλίας τε καὶ ἀνανδρίας ἔλεγχον φέρον, ἀεὶ αἰσχρόν· αἴσχιον δὲ πολλῷ τὸ τοιοῦτον, ἐπειδὰν οἱ φεύγοντες τὸ φρονοῦν ὑπὸ τῇ φόβῳ οἷον παραιρεθέντες, ἐκεῖσε ποι τράπωνται, ὅθεν ἐκ ἔσιν ὅτε σωθῆναι ἐλπίσαι, ὅτε ἀντισῶσαι πάλιν, καὶ τινὶ ἦτταν ἀναμαχέσασθαι. Τοιοῦτον δὲ ἰῷ τὸ ἐν τῇ τῶ ἵππε γαστέρι ἐθελῆσαι κρυβῆναι· τὶς γὰρ ἡ ἐκεῖθεν ἔνησις;

Στίχ: 426. ΦΕΥ! ΑΛΛ' ΟΥΚ ΕΛΠΕΣΘ' ΕΝΙ κτ: Ἐξ Ὁμήρε καὶ τόδε τὸ γνωμικὸν ληφθὲν, κατ' Ὀυρσῖνον ἐν ταῖς Παραθέσ. Ἰλ: Μ. 9.

„ . . . . . Θεῶν δ' ἀέκητι τέτυκτο·
„Ἀθανάτων· τῷ κ' ἔτι πολλὼ χρόνον ἔμπεδον ἦεν.

Στίχ: 427. . . . . ΘΥΓΑΤΗΡ ΠΡΙΑΜΟΙΟ ΚΑΣΑΝΔΡΗ, Αὕτη θεσπιῳδὸς ἔσα καὶ μαντικὴ, ἔτι καὶ Ἀθηνᾶς ἦν νεωκόρος· διὸ καὶ ἐπὶ τῆς ἐξωπιναίας διαπορθήσεως, εἰς τὰ τῆ Ναῆ ἄδυτα καταφυγεῖσαν, Αἴας ὁ τῆ Οἰλέως παραπασάσας ἐκεῖθεν δέσμιον εἷλκε, πρός τῆ τῆς θεῆ ἀγάλματος πρότερον παραβιασάμενος τινὶ παρθένον, καὶ διακορεύσας· ἀνθ' ὧν καὶ δίκας ἔτισε τὰς προσηκέσας ὕστερον, περὶ ὧν εἴρηται (Ἐν Α. Αἰν: Σημ. στίχ. 46—50.) Ὀυίδιος μὲν ἔν ταύτῳ Ἱέρειαν φαίνεται ποιήσας Ἀπόλλωνος, ἀφ' οὗ καὶ τῆ ἱερῆ τῶν ἀδύτων ἀποπαθῆναι: tracta comis antiſtita Phoebi. κατά γε μὴν τὰ ἀνωτ· (στίχ: 263.) σημειωθ. ἐξ Ἀπολλοδ. εἰκὸς μᾶλλον τῇ Παλλάδι, ἢ τῷ Ἀπόλλωνι νεωκορῆσαν, καὶ ἐν τῆ ἱερῆ ἐκείνης ἀνελκυσθῆναι, ὡς καὶ Ὀυϊργίλιος ἐνταῦθα φησὶν· ὅπερ δὴ καὶ Παυσανίας ἐν Βιβλ: Ε'. ἐπιμαρτυρεῖ λέγων, ὅτι Αἴας ἦν ἕλκων Κασσάνδραν ἀπὸ τῆ Ἀγάλματος τῆς Ἀθηνᾶς.

Στίχ: 432. . . . . ΚΟΊΡΟΙΒΟΣ ΕΜΗΝΑΤΟ ΜΥΡΙ. Ἡ δὲ μανία αὕτη Κοροίβω, οὐκ ἐξ εὐηθείας καὶ ἠλιθιότητος, ἀλλ' ἐξ ὀργῆς δικαιοτάτης προῆλθε, κέντροις ἔρωτος παροξυνομένης τε καὶ ἐπιῤῥωννυμένης, μηδαμῶς ἔτως ὑβριζομένῳ ἀναχομένῳ πρὸ ὀφθαλμῶν καθορᾶν τινὶ φιλτάτῳ, ἀλλ' ὥστε ἀμῦναι καὶ τῆς ψυχῆς αὐτῆς ἀφειδήσαντι.

Στίχ:

Οἱ δὲ ὅσσ᾽ περ ἔλεν δέος ἄχιον, αὖθις ἀν᾽ ἵππον
Πάμμεγαν ἀμβαῖνον, πεύθοντό τε γαστρὶ σωήθη.
Φεῦ! ἀλλ᾽ οὐκ ἔλπεθ᾽ ἕνι ἀθανάτων ἀέκητι.
Ἦνί ῥα παρθενικὴ θυγάτηρ Πριάμοιο Κασάνδρη,
Εἵλκετ᾽ ἀπ᾽ ἐκ Νηοῖο, Ἀθηναίης τ᾽ ἐξ ἀδύτοιο,
Καλὰς χεναμένη τε κόμας, αὐταὶρ φλογόεντα
Οἰκτρῶς ἀντείνασα ἐς ἠρανόν ὄμματα, μάψπερ.
Ὄμματ᾽, ἐπεὶ εἶργε φρυφερὰς δεσμήματα χεῖρας.
Τῇ δ᾽ ἐπ᾽ ἀεικελίῃ γε Κόροιβος ἐμήνατο ὄψει.
Αἶψα δὲ μεσσατίλιν ῥὰ φάλαγγα ἐσάλτο τεθνήξων.
Ἑσπόμεθ᾽ οἰῷ ἀθρόοι, πυκινοῖς δ᾽ ἐνιπίπτομεν ὅπλοις.
Ἔνθα πρῶτον ὕπερθ᾽ ἱερὸ ἐξ ἀψίδος ἄκρης,
Εὖτε χάλαζα βέλη ἡμῖν οἰκεῖ ἐπαφᾶτο·
Ὧδε δὲ οἰκτίζη ἀνδροκτασίη ἐπιῶρτο,
Ἐξ ἀπάτης ὅπλων τε καὶ ἑλλαδικῆς τρυφαλείης.
Τόφρ᾽ ἰαχαῖς μεγάλαις διὰ τ᾽ ἀρθεῖσαν σφίσι κύριν
Πάντοθ᾽ ἀολλῆες Δαναοὶ χολόωντες ὄρυσαν.
Αἴας τ᾽, Ἀτρεΐδαι δύο, πασσυδίῃ Δόλοπές τε·
Εὖθ᾽ ὑπεναντίοι, ὡς λαίλαψ ὅτε ῥήγνυτ᾽, ἀῆται
Ξυμβάλετον, Ζέφυρός τε, Νότος τε, ἰδ᾽ ὅς τε Ἑῴοις
Ἵπποις γαίει Εὖρος· ἀταὶρ μέγα βρύχεται ὕλη·

Ο 2 Νηρεὺς

❁ ❁ ❁

Στίχ: 436. . . . . ΒΕΆΔΗ ΉΜΙΝ ΌΙΚΕΊ ΈΠΑΦΕΊΤΟ. Τοιγαροῦν τὸ σφίσι σωτελέσειν μέλλειν, ὡς ἐδόκει, ἐκ τῆς ἐναλλαγῆς τῶν ὅπλων στρατήγημα, εἰς ζημίαν αὐτοῖς περιέστη. κάτωθέντε ὑπὸ τῶν ἐναντίων, καὶ ὑψόθεν ἅμα ἐκ τῶν οἰκείων οἰκτρότατα ἀπολεμένοις.

Στίχ: 441 ΑΙΆΣ Τ', ΑΤΡΕΙΔΑΙ, Αἴαντος τὲ Τελαμωνίε, διὰ τὴν τῶν Ἀχιλλείων ὅπλων ἀποτυχίαν, αὐτόχειρος περαναιρεθέντος, Αἴας ἦν ἔτος ὁ τὲ Οἰλέως ἄρα, ὁ καὶ τὴν Κασσάνδραν ἐκ τὲ ἀδύτε ἁρπάσας καὶ βιασάμενος, ὡς προείρηται. (στίχ. 427. 430.)

Στίχ: 442. ΕΥΘ' ΥΠΕΝΑΝΤΊΟΙ, κτ: Καὶ Ὅμηρος δὲ Ἰλ: Ι. στίχ. 4. κξ.

„Ὡς δ᾽ ἄνεμοι δύο πόντον ὀρίνετον ἰχθυόεντα,
„Βορέης καὶ Ζέφυρος, τώ τε Θρῄκηθεν ἄητον,
„Ἐλθόντ᾽ ἐξαπίνης· ἅμυδις δέ τε κῦμα κελαινὸν
„Κορθύεται, πολλὸν δὲ παρὲξ ἄλγα φῦκος ἔχευαν·

Σκαλίγερος κάνταῦθα τὰς ἀμφοτέρων τῶν Ποιητῶν παραβολὰς παρατιθεὶς ἀλλήλαις, ἐν μαθητὲ τάξει τὸν Ὅμηρον πρὸς Μάρωνα τίθησιν. Ὅτι τυχὸν οὗτος ἐκεῖνε περιττότερον τὴν εἰκόνα ἐπεξειργάσατο· Οὐ καλῶς δὲ σωεῖδεν ὁ Κριτικὸς, ἢ δοκεῖ, τῶν Παραβολῶν ἑκατέρας τὸ τέλος. Ὁ γὰρ Μάρων, στρατὸς ὧδε δύο ἐθνῶν πολεμίων εἰς χεῖρας συμπλέκει, διὸ καὶ πλείονος αὐτῷ τῆς παραχῆς προσεδέησε, καὶ τραχυτέρας τῆς ζάλης, ὥστε εἰκονίσαι τὸ παρισάμενον· Ὅμηρος δὲ τὸς ἐν τῷ ἑνὶ καὶ μόνῳ στρατῷ ὑποβάλλει, ἐδὲν ἄλλ᾽ ἢ ταναντία νοῦντας καὶ βουλομένους. Ἰλ: Ι'. στίχ 8.

„Ὡς ἐδαίζετο θυμὸς ἐνὶ στήθεσσιν Ἀχαιῶν.

„Δαίζονται γὰρ (ὡς Εὐσταθ. ἄρισα) ὁ ἐσὶ μερίζονται ταῖς βουλαῖς, εἴτε μένειν, εἴτε φεύγειν χρεών· διὸ καὶ θαυμασῶς ἐποίησεν ἀπὸ μιᾶς τῆς Θράκης ἀμφοτέρους τὸς ἀνέμους ἐπὶ τὴν ὑποκειμένην θάλασσαν πνέοντας, ἣν καὶ βορρῆθεν ἐκ μέρους, καὶ δυσμόθεν ἡ Θρακώα χώρα ἐκπερατοῖ. (Ὅρ. Στράβ. Βίβλ. Α'. Σελ: 49.)

Στίχ:

Obſedere fores: has ſervant agmine denſo.
Inſtaurati animi Regis ſuccurrere tectis,
Auxilioque levare viros, vimque addere victis.
Limen erat, cæcæque fores, & pervius uſus
Tectorum inter ſe Priami, poſteſque relicti
A tergo: infelix quà ſe, dum regna manebant,
Sæpius Andromache ferre incomitata ſolebat
Ad ſoceros, & avo puerum Aſtyanacta trahebat.
Evado ad ſummi faſtigia culminis; unde
Tela manu miſeri jactabant irrita Teucri.
Turrim in præcipiti ſtantem, ſummiſque ſub aſtra
Eductam tectis, unde omnis Troja videri,
Et Danaûm ſolitæ naves, & Achaïca caſtra:
Aggreſſi ferro circum, quà ſumma labantes
Juncturas tabulata dabant, convellimus altis
Sedibus, impulimuſque: ea lapſa repente ruinam
Cum ſonitu trahit, & Danaûm ſuper agmina late

In-

❀ ❀ ❀

Στίχ. 445. ΝΗΡΕΥΣ . . . . Υἱὸς Πόντε καὶ Γῆς. (Ἀπολλόδ. Βιβλ: Α΄. Κεφ: Β΄.) ἢ Ποσειδῶνος καὶ, Κανάκης· (Αὐτ: Βιβλ. Α΄. Κεφ: Ζ΄.) ἐξ οὗ Νηρέως, καὶ Δωρίδος τῆς Ὠκεανῦ, αἱ Νηρηίδες· (Αὐτ: αὐτ Κεφ: Β΄.) ἢ τοίνυν Θεὸς Θαλάσσιος, τῇ Τριαίνῃ εἰσάγεται τὴν θάλασσαν ἐκ βάθους διακυκῶν, ἀνὰ τ' ἄγρια κύματ' ἐρίνων. Πῶς δ' ὧν ἐν τῷ Α΄. τῆς Αἰνειάδος (στιχ. 152.) ὡς ὅπλον ἴδιον Ποσειδὼν ἑαυτῷ τὴν Τρίαιναν ὑπεξήρει πρὸς Αἴολον διατεινόμενος;

„Οὐχ οἱ κειρανίη πελάγευς, αἰνή τε Τρίαινα,
„Ἀλλ' ἐμοὶ ἦκε λάχος. . . . . .

Ἰδὲ ὧδε καὶ Νηρεὺς χρῆται Τριαίνῃ· Ἀλλὰ χρῆται ὡς ὀργάνῳ, τῷ Ποσειδῶνος αὐτῷ ἐνδιδόντος καὶ ἐπιτρέποντος· Ὃν δήπε τρόπον καὶ Ὀδυσσεὺς ὑπὸ Ἀγαμέμνονος ὡς τὸν κρατὸν πεμφθεὶς, ἐφ' ᾧ τὸ νόσε μεταπεῖσαι, Ἰλ: Β. 186.

„Δέξατο δὲ σκῆπτρον πατρώϊον ἄφθιτον αἰεί,
„Σιὼ τῷ ἔβη κατὰ νῆας Ἀχαιῶν χαλκοχιτώνων.

Στίχ: 453. . . . . ΒΡΙΑΡΗΣ ΒΩΜΩ ΠΑΡ' ΑΘΗΝΗΣ. Ἀλλ' εἰ γὰρ ἀσυλίας χάριν, ἐπὶ τὸν Ἀθηνᾶς κατέφυγε Ναὸν, ἐπίσημόν τινα καὶ τεῦθεν ὁ Κόροιβος τὴν εὐήθειαν ἐπεδείξατο· Πῶς γὰρ ἀσυλίαν ἔλως εἶχεν ἐλπίσαι, ὅθεν ἀρτίως ἔτως ἀισχρῶς ἀρπαθεῖσαν τὴν νεωκόρον ἐθεάσατο;

Στίχ: 453. . . . . ΡΙΦΕΥΣ Δ' ΕΠΙΠΙΠΤΕΝ. Ἐπὶ τῷ Κορύβῳ Ῥίφεὺς ἀνῃρεῖτο, ἐν τῷ Ναῷ ἔτος, ἀσφαλείας ἐπιτυχεῖν ἄξιος ὤν, ὡς θεοφιλὴς, καθότι Τεύκρων ἁπάντων δικαιοσύνῃ ὑπερέχων ἦν καὶ εὐθύτητι. (Δόξε Θεοῖς δ' ἄλλως:) Ὅ καὶ δισσῶς ἂν ἐκληφθείη νοούμενον· ἤτοι γὰρ, ὅτι ἐ τοιοῦτος ἦν ἐνώπιον τῶν Θεῶν ὁ Ῥίφεὺς τῷ ὄντι, οἷος περ ἐν ἄψει ἀνθρώπων ἐφάνετο· ἢ ὅτι Θεοῖς ἔδοξε, μηδ' εἴτινες ἐν Τρωσὶν, ἀρετῆς ἐτύγχανον καὶ ὁσιότητος βίῳ ἐπιμελούμενοι, μηδὲ τούτων λόγον τινὰ ποιήσασθαι φεισαμένους, ἐπειδὴ Τροίαν ἅπαξ καθαιρεθῆναι ἐπέπρωτο. Ὅ δὴ καὶ μάλιστα σωτέλει τοῖς ἀμφ' Αἰνείαν, Τυρίοις περὶ αὐτῶν οἰεσθαι, μηδ' ἑτέραν τινὰ περὶ τούτων ὑποτρέφειν σκαιοτέραν ὑπόληψιν.

Στίχ: 456, ΕΞ ΕΤΑΡΩΝ ΚΤΑΜΕΝΟΙ. Ὕπανις καὶ Δυμᾶς, ὑπὸ τοῖς Δαναῶν ὅπλοις (κατὰ τὸ ἀνωτέρω στρατήγημα, στιχ. 409.—417.) λανθάνοντες, παρὰ τῶν οἰκείων ἴσως ἀγνοούμενοι ἀνῃρέθησαν.

Στίχ:

Νηρεὺς δ' ἀφροκόμης χαλεπαίνων, αἰνὰ Τριαίνῃ
Νειόθεν ἐκ βένθος, ἀνὰ ἄγρια κύματ' ὀρίνει.
Πρὸς δὲ καὶ αὐτοὶ, τὸς ἤδη σκιερὶῳ κατὰ νύκτα
Χέναμεν ἐλοχόωντες, ἐληλάκαμέν τε κατ' Ἄξυ,
Ἄυθι παρέξαν, πρῶτοι οἳ ἀσπίδας, ἠδὲ βέλεμνα
Ψευδόμεν' ἔγνων, καὶ ϛόματ' ἀλλοιόθροα ἤχῳ.
Αἶψα δ' ὑπὸ πλήθος ποντόμεθα· ἠδὲ Κόροιβος,
Τῶν ἄλλων πρῶτος, βριαρῆς βωμῷ παρ' Ἀθήνης,
Πηνέλεω κτάνθη παλάμῃφι. Ῥίφεὺς δ' ἐπὶ πίπτεν,
Ὅς τίεσκ' ἰσότητα ἁπάντων ἔξοχα Τεύκρων.
Δόξε Θεοῖς δ' ἄλλως. Ὤλονθ' Ὑπανίς τε Δυμᾶς τε,
Ἐξ ἑτάρων κτάμενοι· μηδ' ἡ σέο Πάνθοε πολλὴ
Ὤνησ' εὐσεβίη πίπτοντ', ὀ ϛέμμα τὸ Φοίβου.
Ὦ Τρωὴ ἀοδός! Ὦ φλὸξ οἰκείων πυμάτηγὲ!
Μάρτυροι ἐξέμοι. Ἴσε γὰρ ὡς ὑμῶν ἐπὶ λόιθε,
Οὐ βέλε', ὀ χεῖρας Δαναῶν ἐφάμιω ἀλέασθαι·
Κ' ἄμε πεσεῖν πέπρωτο μάχῃ, οὐδὲν καθυφῆκα.
Χασσάμεθ' οἰῶ μόγις. Ἴφιτος ἄμμιγα, καὶ Πελίας τε·
Ἴφιτος ἡλικίῃ τελέθων νωθέϛερος ἤδη·
Τρώματι δ' αὖ Πελίας, τὸν βάλλων ὄπασ' Ὀδυσσεύς.
Κραυγὴ δὲ, Πριάμιε ἐπ' Ἀνάκτορα κέκλετο ὦκα,
Ἔνθ' ὦρτο κρατερὴ ὑσμίνη, ἀργαλέη τε·
Φαίης κ' ἄλλῳ μή τινα δῆριν ἀν' Ἄξυ κροτεῖσθαι.

Ἔνθ'

❁ ❁ ❁

Στίχ: 457. Ὤ ΝΗΣ' ΕΤΣΕΒΙΗ . . . . Καθάπερ οἰῶ ὠδὲ τῷ Ῥίφεῖ (Ἄνωτ: ϛίχ: 453.) ὤνησέτι ἡ ἰσότης, καὶ ὁ φιλοδίκαιον, οὕτως ὠδὲ τῷ Πάνθῳ ἡ ὁσιότης, καὶ τὸ Ἀπόλλωνος ϛέμμα, ᾧπερ ὡς ἱερεὺς ἐνεκοσμεῖτο, εἰς σωτηρίαν τι συμπέλεσεν. Ὡς ὠδὲ τῇ Κασσάνδρᾳ, καὶ τῷ Κοροίβῳ, τὰ Θεῶν ἀγάλματα, ὧν κατενώπιον, ἡ μὲν κατεβιάσθη πρὸς Αἴαντος, ὁ δὲ ὑπὸ Πηνέλεω κατεσφάγη.

Στίχ: 458. Ὦ ΤΡΩΗ' ΣΠΟΔΟ'Σ ! Περιπαθῶς τὰ φίλτατα, ὧν ἦν αὐτῷ ἐν τῷ βίῳ, μάρτυρας ἀνακαλεῖται, διαβεβαιέμενος ὠδὲν ἐλάσσονι τῶν ἄλλων ὠδ' αὐτὸς τῇ προθυμίᾳ προσχρήσασθαι, καὶ προαπάντων τῇ ὑπονοίᾳ, ἣν ἄντις περὶ αὐτῦ λάβοι, ἤτοι ἀνανδρίαν, ἢ προδοσίαν τέτῳ καταψηφισάμενος, ὅτι τῶν ἄλλων ἐν ἐκείνῃ τῇ νυκτομαχίᾳ πεσόντων, σῶος αὐτὸς διεγένετο. Ἀνάγει δὲ τὸ σωτηρίαν ἐπὶ τὸ Εἱμαρμένῳ, καθ' ἣν ἔτως αὐτῷ πεπρωμένον ἦν διασωθῆναι, ἀσινῆ καὶ ἀδιαλώβητον.

Στιχ: 462. . . . . Ἴ ΦΙΤΟΣ Ἄ ΜΜΙΓΑ ΚΑΙ' ΠΕΛΙΑΣ ΤΕ κτ: Σωίζησιν ἄρισα Αἰνείας τὸν ὑπὲρ τῆς περὶ αὐτὸν προνοίας λόγον, διὰ Ἰφίτε καὶ Πελίε τῶν αὐτῷ σωδιασωθέντων. Ἐι γὰρ Ἴφιτος, φησὶν, ὁ διὰ γῆρας ἤδη νωθέϛερος ὤν, καὶ Πελίας, ὃς καὶ τραυματίας ἰῷ ὑπὸ Ὀδυσσέως, τὸ θανεῖν ἐπὶ τῆς συμβολῆς διεξέφυγον· τί θαυμαϛὸν κἀμὲ, τὸν καὶ τῇ ἡλικίᾳ ἀκμαλέον, καὶ ἄτρωτον, περιγενέσθαι; οὕτω κἀμοὶ πάντως, οἷαπερ κἀκείνοις, σωθῆναι ἐπέπρωτο.

Στίχ: 467. ΦΑΓΗΙΣ Κ' Ἄ ΛΛΗΝ ΜΗ'ΤΙΝΑ ΔΗ'ΡΙΝ. . . . . Ἀεὶ γὰρ τῶν καὶ αἰθήσει ληπτῶν τὰ σφοδρότερα καὶ ἐπικρατέϛερα, τῆς ἐπὶ τὰ μετριώτερα καὶ ἀθενέϛερα προσοχῆς μέρος ἔτι μικρὸν παραιρεῖται, καὶ πρὸς ἑαυτὰ τὸ πλεῖϛον ἀντιμεθέλκεται. Ἦν δ' ὡς εἰκὸς τότε ἡ περὶ τὰ βασίλεια κατισχύσα δῆρις· τῶν μὲν ἐκπορθῆσαι προθυμεμένων, τῶν δὲ ἀμύνειν τε καὶ σώζειν ἀνταγωνιζομένων, ὡς ἐνταῦθα ἑκατέρων τὸ τέλος ἔργε πέρας ἔσνθαι ἐκ ἀλόγως οἰομένων, καὶ τῆς ὅλης ἐγχειρήσεως τὸ κεφάλαιον.

Incidit: Aſt alii ſubeunt; nec ſaxa, nec ullum
Telorum interea ceſſat genus.
Veſtibulum ante ipſum, primoque in limine Pyrrhus
Exultat telis, & luce coruſcus ahenâ.
Qualis ubi in lucem coluber mala gramina paſtus,
Frigida ſub terrâ tumidum quem bruma tegebat,
Nuuc poſitis novus exuviis, nitiduſque juventâ,
Lubrica convolvit ſublato pectore terga,
Arduus ad ſolem, & linguis micat ore triſulcis.
Vnà ingens Periphas, & equorum agitator Achillis,
Armiger Automedon, unà omnis Scyria pubes
Succedunt tecto, & flammas ad culmina jactant.
Ipſe inter primos correptâ durâ bipenni
Limina perrumpit, poſteſque à cardine vellit
Æratos: jamque exciſâ trabe, firma cavavit
Robora, & ingentem lato dedit ore feneſtram.
Apparet domus intus, & atria longa pateſcunt;
Apparent Priami, & veterum penetralia regum;
Armatoſque vident ſtantes in limine primo.
At domus interior gemitu, miſeroque tumultu
Miſce-

❋ ❋ ❋

Στίχ. 470. ΕΙ᾽ΔΟΣ ΦΡΑΞΑΜΈΝΟΥΣ ΤΟ ΧΕΛΏΝΗΣ κτ. Ἦν δὲ ἡ χελώνη παρατάξεως εἶδος καὶ σωματισμὲ, καθ᾽ ἣν ἐπὶ τῶ ἀγήματος, οἱ μὲν πρωτοταγεῖς τῶν στρατιωτῶν ὀρθιοι ἑστῶτες, οἱ δὲ δευτεροταγεῖς μικρὸν ὑποκαμπτόμενοι, οἵ τε τρίτοι, καὶ οἱ τέταρτοι ὁμοίως ἔτι μᾶλλον καὶ μᾶλλον· οἱ δ᾽ ἔσχατοι τὸ ἀριστερὸν γόνυ τῇ γῇ προσερείσαντες, ἄλλας ἐπ᾽ ἄλλαις τὰς ἀσπίδας ὑπὲρ κεφαλῆς αἰωρεμένας σωῆπτον, ὡς μίαν ἐξ ἁπασῶν σωίσασθαι ἐπιφάνειαν ἰσχυράν τε καὶ κρατερὰν ἐς τοσῦτον, ὥστε καὶ ἄνδρας ἐπ᾽ αὐτῆς βαδίζειν ἔχειν ὁπλίτας, καὶ ἵππους ἐπιπορεύεσθαι, καὶ ὀχήματα ἐπελαύνεσθαι· μηδὲν τῶν ὑπὸ τῶ τοιῦτω στεγάσματι παχόντων, διά τε τὸ εὐσκέπαστον, καὶ τιὼ ἐκ πολλῶν ἅμα δυνάμεων, εἰς ἓν σωιεσῶν, ἰσχὺ καὶ ἀντέρεισιν. Ἄριστα ἡμῖν τὸν χελωνοειδῆ τόνδε σωασπισμὸν ὑπέγραψεν Ἀπολλώνιος ἐν Β. τῶν Ἀργοναυτ:

„Ὡς δ᾽ ὅτε τις κεράμω κατερέψεται ἐρκίον ἀνὴρ,
„Δώματος ἀγλαίην τε, καὶ ὑετῦ ἔμμεναι ἄλκαρ·
„Ἄλλω δ᾽ ἔμπεδον ἄλλος ὁμῶς ἐπαμοιβὸς ἄρηρεν·
„Ὣς οἵ γ᾽ ἀσπίσι νῶτα σωαρτώσαντες ἔρεψαν.

Καὶ Κόιντος δ᾽ ὁ Καλαβρὸς (ΙΑ΄ τῶν Παραλειπ. στίχ. 360.)

„Ἀσπίδας ἐντώσαντο, βάλον δ᾽ ἐφύπερθε κάρηνα,
„Θέντες ἐπ᾽ ἀλλήλοισι, μιῇ δ᾽ ἅπαν ἤρμοσεν ὁρμῇ.
„Φαίης κεν μεγάροιο κατηρεφὲς ἔμμεναι ἔρκος
„Πυκνὸν, ὅ ἔτ᾽ ἀνέμοιο διέρχεται ὑγρὸν ἀέντος
„Ῥιπὴ ἀπειρεσίη, ἔτ᾽ ἐκ Διὸς ἄσπετος ὄμβρος.
„Τοῖαι Ἀργείων πεπυκασμέναι ἀμφὶ βοείαις
„Καρτώαντο φάλαγγες, ἔχεν δ᾽ ἕνα θυμὸν ἐς ἀλκιὼ.
„Εἰς ἓν ἀρηράμεναι. . . . . .

Διττιὼ δὲ τῆς τοιᾶσδε χελώνης εἶναι τιὼ χρῆσιν, Δίων, ἢ Ξιφιλῖνος ὁ τέτε Ἐπιτομεὺς, εἰσηγήσατο· (εἰς Βί. Αὐγ.) τιὼ μὲν, ὅτε πρὸς φρέρίον „τι προσμίσγοντες προεπορεύοντο· τιὼ δὲ, ὅτε ὑπὸ τοξοτῶν περιεσοιχίζον„το. Διὸ καὶ τῆς χελώνης, φησὶ, τιὼ ἐπίκλησιν εἰληφέναι, πρός τε τὸ ἰσχυρὸν, καὶ πρὸς τὸ εὐσκέπαστον αὐτῆς. Παρὰ ταύτιω δὲ τιὼ κατὰ σωασπισμὸν, καὶ

ἄλλαι

Ἔνθ' ἄρα ὁρμαίνοντα ἀτειρὲς ὀπώπαμεν Ἄρηι,
Καὶ Δαναὸς ἀθρόος ἐπὶ σευομένους γε μέλαθρα,
Εἶδος φραξαμένους τὸ χελώνης, πρόσθε πυλάων.
Τοιγὰρ ἐρηρέδαται προτὶ τείχεσι κλίμακες ἤδη,
Βαθμὸς δ' ἐσσυμένως ἀμβαῖνον ὑπαὶ σταθμοῖσιν,
Ἀσπίδας ἐν λαιῇσι προβαλλόμενοι κατὰ τόξων,
Ἧδ' ἅμα δρασσόμενοι κορυφάων δεξιτερῇσιν.
Ἄντα δὲ Δαρδανίδαι, βαρυδάς τ' ὀροφώματ' ὄικων
Ἄκρα διέσπων. Τοῖς δὲ τ', (ἐπεὶ ἆρα λοίσθια λεῦσσον')
Ὡς βέλεσ', ὑσατίως ἐπεχείρων κῆρας ἀλάλκειν,
Καὶ ῥὰ δοκὰς χρυσέας, προγόνων κοσμήματα κεδνὰ,
Ἐξεκυλίνδων· οἱ δὲ ἐρυσσάμενοίγε μαχαίρας,
Ἀμφικατασχόντες πρώτας πυλεῶνας ἐφρούρουν,
Πολλοὶ ἀολλῆες ξυσάντες ἀγήμασι πυκνοῖς.



❁ ❁ ❁

ἄλλαι τινὲς πολιορκητικαὶ σωιξαντο χελῶναι παρὰ τοῖς παλαιοῖς ἐκ ξύλων μηχανικῶς κατασκευαζόμεναι· ὧν αἱ μὲν, (Χωρίδες ἐκαλοῦντο·) δι' ὧν ταῖς ἐκ χωμάτων, καὶ ξύλων, καὶ λίθων συμφορήσεσι, τὰς ἀπαντώσας τάφρους τε καὶ καπέτας πληροῦντες, τὸ χωρίον, ὅπη δεήσειε, καθωμάλιζον. Αἱ δὲ (Κριοφόροι·) δι' ὧν τὰ τείχη καὶ τὰ πυργώματα κατεδονεῖτο συχνὰ καὶ κατηρείπετο, ὡς βατὸν ἔξῆς εἶναι καὶ εἰσιτητὸν εἰς τὸ Ἄστυ τὸ πολιορκέμενον. Περὶ μὲν οὖν τῶν χελωνῶν τούτων μέτεσθι Ἐρρίκ. Στεφαν. Θησαυρ. Τόμ. Δ. Σελ. 466 καὶ 467· ἔνθα πολλὰ ἐκ Συγγραφ. Λατίν. καὶ Ἑλλην. συνείλοχεν.

Στίχ. 471. ΤΟΙΓΑΡ ἙΡΗΡΕ΄ΔΑΤΑΙ ΠΡΟΤΙ΄ ΤΕΙ΄ΧΕΣΙ ΚΛΙΜΑΚΕΣ ΄ΗΔΗ, Τῆς διὰ κλιμάκων ἐφόδου ταύτης ἐπὶ τὰ Πριάμου Ἀνάκτορα, εἰκόνα τινὰ προκεῖσθαι φησὶν ὁ Σχολιογράφος Κέρδης παρὰ Θουκυδίδῃ, ἐν τῷ Γ. Βιβλ. ἔνθα ὁ Συγγραφεὺς διασκευάζει τῷ λόγῳ τιὼ τῶν Πλαταιῶν ὑπὲρ τὰ τείχη ἀνάβασιν· ὃν μετέλθε βεληθείς· ἐμοὶ γὰρ ἀπεύδοντι ἐν χερσὶ τὸ βιβλίον ἀ πάρεσιν.

Στίχ. 472. . . . ΄ΑΜΒΑΙ΄ΝΟΝ ΄ΥΠΑΙ΄ ΣΤΑΘΜΟΙ΄ΣΙΝ. ΄ΕΦ' ὑψηλὲ πύλας τινὰς ἢ πυλίδας νοητέον τῷ Πριάμου παλατίῳ, ὧν ἄχρις ἐπαναβῆναι διὰ κλιμάκων ἐπάναγκες ἦν, ἔξω τῶν δωμάτων γεγέσθαι, δι' αὐτῶν εἰσορέσαντας.

Στίχ. 480. . . . . ΠΡΩΤΟΥΣ ΠΥΛΕΩ΄ΝΑΣ ΄ΕΦΡΟΥ΄ΡΟΥΝ, Ἐν ᾧ τῶν ἐν τοῖς Ἀνακτόροις συνειληλυθότων Τρώων, μέρος τὰς βάρεις ὑπεκμοχλεύοντες, τά τε ἄκρα φατνώματα, καὶ τὰς περιχρύσους δοκὰς διαπῶντες, ὡς ὅπλοις ἐχρῶντο κατὰ τῶν τιὼ ἀνάβασιν διὰ τῶν κλιμάκων ἔζωθεν ἐπιχειρούντων, ἄλλοι ἐξ αὐτῶν συχνοὶ συλλεχθέντες ἔνοπλοι, τὰς πρώτον ἀπαντώσας εἰσόδους ἐφρούρουν, μὴ δι' αὐτῶν οἱ ἐμβάλλοντες εἰσερμήσειαν· τὰς δὲ τοιαύτας, imas fores ὁ Ποιητὴς εἶπε. Καί τοι γε ἐν Ἀντιγράφοις ἀρχαίοις, ἐσὶν οἵ, unas fores, εὑρίσκεσι. Τὸ μὲν ἓν unas ὑποτεθὲν, καὶ τὸ μόνας σημαῖνον, ἐννοεῖν παρέχεται, ὡς ἐκεῖναι μόναι αἱ τιὼ εἴσοδον ἐτύγχανον ἐπιτρέπουσαι. Οἱ δὲ τὰς imas ἀναγινώσκοντες, διαφόρως αὖθις αὐτὰς ἐξειλήφασιν. Οἱ μὲν γὰρ τὰς ἐνδοτάτας δηλοῦσθαι ὑπέλαβον, οἱ δὲ τὰς πρώτας, καὶ πρὸς τὰ ἐκτὸς ἐκκειμένας· σὺν οἷς καὶ ἡμεῖς· τὸ γὰρ imas (ἥπερ ἐσὶν ἡ κοινοτάτη ἀνάγνωσις) τὰς κατωτάτας δήπου παρίσησιν· ἤτοι τὰς πυμάτας· Ὅτι τὸ imum καὶ τὸ summum ἀντιπαράκειται, ὡς τὸ πύματον καὶ τὸ ἀκρότατον. Καὶ ἔσιν ἕτω, τὰς περὶ ὧν ὁ λόγος εἰσόδους ταύτας, ἢ θύρας, ταῖς ἀνωτέρω ῥηθείσαις, εἴτε πύλαις, εἴτε πυλίσιν ἀντιπαραθέσθαι, πρὸς ἃς ἔδει κλίμαξι χρήσασθαι. (στίχ. 472.) Πότερον δ' ἆρα αἱ ἐνδόταται αὗται ὑπῆρχον (Interiores) ὡς Περίῳ ἐδόκει τῷ Σχολιογράφῳ, ἢ αἱ πρῶτον ἀπαντῶσαι τοῖς προσιοῦσιν ἔξωθεν, ὡς δὴ τοῖς πλείοσι δοκεῖ, ἢ ἡμῖν; ἀλλ' ἔτις τὸ πρῶτον ἔλοιτο, θαυμάσαιμι ἄν. Φιλοῦσι γὰρ

Miſcetur, penituſque cavæ plangoribus ædes
Foemineis ululant: ferit aurea ſidera clamor.
Tum pavidæ tectis matres ingentibus errant:
Amplexæque tenent poſtes, atque oſcula figunt.
Inſtat vi patriâ Pyrrhus: nec clauſtra, nec ipſi
Cuſtodes ſufferre valent: labat ariete crebro
Janua, & emoti procumbunt cardine poſtes.
Fit via vi: rumpunt aditus, primoſque trucidant
Immiſſi Danaï, & late loca milite complent.
Non ſic aggeribus ruptis, cum ſpumeus amnis
Exiit, oppoſitaſque evicit gurgite moles,
Fertur in arva furens cumulo, campoſque per omnes
Cum ſtabulis armenta trahit. Vidi ipſe furentem
Cæde Neoptolemum, geminoſque in limine Atridas:
Vidi Hecubam, centumque nurus, Priamumque per aras
Sanguine fœdantem, quos ipſe ſacraverat ignes.
Quinquaginta illi thalami, ſpes tanta nepotum,
Barbarico poſtes auro, ſpoliiſque ſuperbi
Procubuere. Tenent Danai, quà deficit ignis.
Forſitan & Priami fuerint quæ fata, requiras.
Urbis ubi captæ caſum, convulſaque vidit
Limina tectorum, & medium in penetralibus hoſtem:

Arma

❀ ❀ ❀

γὰρ ὡς οἷόν τε πορρωτάτω τὲς ἐπιτιθεμένες ἀπείργειν, μηδ' εἰς τὰ ἐγγυτέρω χωρεῖν αὐτοῖς ἐφιέναι· ὅπως ἂν ἀπὸ τῶν ἔμπροσθεν εἰ τύχοι, οἱ φερεῖν τεταγμένοι ἀπελαθέντες, ἐπὶ τὰ ἐνδοτέρω, καθ' ὑπαναχώρησιν, δευτέραις πείραις πρὸς τὴν ἄπειρξιν ἐνίσαντο τοῖς προσβιαζομένοις τὴν πάροδον. Νοεῖν τοίνυν δέον imas ἐνταῦθα fores, τὰς πυμάτας τε καὶ κατωτάτας πύλας τῶν Ἀνακτόρων Πριάμε, ὡς ἀπὸ τῦ ὕψες ἔτως ἀφορωμένας τῦ οἰκοδομήματος. Τέτων δέτοι ἔμενεν τὰς ἐνδοτάτας, κατὰ Πιέριον, τὰς δὲ πρῶτον ἐρχομένοις ἔξωθεν ἀπαντώσας τοιαύτας ἔσας, ὥς γε πρὸς τὸ μέρος εἰπεῖν, ὅθεν εἰσβάλλειν ἔμελλον οἱ πολέμιοι. Οὕτω καὶ τῶν Γαλατῶν ἐρμηνευσάντων τὸν Μάρωνα, ὁ μὲν ἐπὶ τὰ κάτω προσέχων ἐξέδωκεν: D' autres rangés en bas derriere les portes. Ὁ δὲ, πρὸς τὰς πρώτας ἀπιδὼν ἐξέφρασεν: D' autres l' epée a la main gardoient les premieres portes. Ὁ δ' Ἰταλὸς Κάρος τὴν διαφορὰν ὑπεράλμενος, ἐξέθετο:

„Ed' altri unitamente, entro a la porta
„Stavan coi ferri baſſi, in folta ſchiera
„A guardia de l' entrata . . . .

Στίχ: 482. ΚΑΙ' ΔΗ' ΘΥΜΟ'Σ ἘΠΕ'ΣΣΥΤ' . . . . . Τῦθ' ὁ καὶ Ἕκτορ παῤ Ὁμήρῳ περὶ ἑαυτῦ ἔφασκεν: Ἰλ: Ζ. 361.

„Ἤδη γάρ μοι θυμὸς ἐπέσσυται, ὄφρ' ἐπαμύνω
„Τρώεσσ' . . . . . .

Στίχ: 488. . . . . ΑΝΔΡΟΜΑ'ΧΗ ΦΟΙΤΑ'Ν. . . . . Θυγάτηρ μὲν ἦν αὕτη Ἠετίωνος, Ἕκτορος δὲ ἀκοίτη, μήτηρ δ' Ἀστυάνακτος. Περὶ ταύτης Ὅμηρος, Ἰλ: Ζ. 395.

„Ἀνδρομάχη θυγάτηρ μεγαλήτορος Ἠετίωνος, κτ:

Ταύτης δὲ καὶ ὁ ἡμέτερος πλατύτερον ἔτι μεμνήσεται ἐν τῷ ἑφδόῃ Βιβλ: Γ'. ἐνταῦθα γὰρ περὶ αὐτῆς ἐκ παρόδε τοσῦτο μόνον, ὅτι διὰ τῆς ἐντὸς τῶν Βασιλείων ἀμφόδε, ὡς τὲς πενθερὲς συχνάκις ἐφοίτα· τετέχει πρὸς Πρίαμον καὶ Ἑκάβλν, φέρεσα ἅμα καὶ ὃν ἐξ Ἕκτορος ἔσχε παῖδα Ἀστυάνακτα.

„Τὸν

Καὶ δὴ θυμὸς ἐπέσσυτ', Ἄνακτος δώμασ' ἀμιῶειν.
Χραισμεῖν θ' ἡττηθεῖσι τε, καὶ σφίσι θάρσος ὀφέλειν.
Ἦν οὗ τις πυλεῶνος ὅπιθε μεσαύλιος οἴμη,
Καὶ κρύφιοι θύραι, ὧν διὰ εἰς οἶκος Πριάμοιο,
Ἐξ ἄλλα ἐπὶ ἄλλον, ἑτοίμη ἄμφοδος ἔσκεν·
Ἔνθεν ὀϊζυρὴ, εὖτ' ἔμπεδ' Ἀνάκτορα θάλε,
Δηθάκι Ἀνδρομάχη φοιτᾶν μενάξ γε ἐώθει,
Οἴη πρὸς γ' ἑκυρὸς, παῖδ' Ἀστυάνακτα ἔχουσα.
Ἔνθεν ἐγὼ ἄκριον ἐπὶ ἀψίδα δώματος εἶμι,
Οἰκτροὶ ὅθεν βέλεα προΐαλλον ἐτώσια Τεῦκροι.
Πύργον ἀτὰρ μεγάροισιν, ὃς ἵστατο ὑψερεφέσσι,
Τεῖνεν ὑπὲρ δὲ τέγης κορυφιὼ ἄγαν, ἕς θ' ὑπὸ ἄστρα·
Τῷ τε ἀπὸ Τροίη δ' ἐφύπερθ' ὠπτάζετο πᾶσα,
Καὶ Δαναῶν νῆες, καὶ Ἀχαιῶν στρατοπεδεύσεις·
Τὸν ῥὰ περιχόντες κύκλῳ τομόεντι σιδήρῳ,
Λύσαμεν ἁρμονίης πινακώσεις, ἦ διὰ χαῖνον·
Ἐκ δ' ἄρα ἐσπασάμεθ' ἐδράνων ἀπ' ἄνωθεν ἀφέντες.
Σιὼ δόπῳ μεγάλῳ δὲ μέγας κατὰ ἤριπε πύργος,
Καδδὲ πεσὼν ἀθρόας γε κατηλοίησε φάλαγγας.
Οἱ δ' ἄρ ἐφεξείης ἄλλοι προσίεσσαν ἐπ' ἄλλοις.
Τετάκι δ' ὁ λίθοι, ὁδὲ βελῶν γένος ἄλλο μεθεῖτο.
Πύρρος δ' ἐν προθύροισι, πρό τε σταθμοῖο πυλῶνος,
Δαΐεν ὀϊζοῖσιν, μάρμαιρε δὲ νώροπι χαλκῷ.

Ὡς

❁ ❁ ❁

„Τὸν ῥ' Ἕκτωρ καλέεσκε Σκαμάνδριον, αὐτὰρ οἱ ἄλλοι
„Ἀστυάνακτ'· οἷος γὰρ ἐρύετο Ἴλιον Ἕκτωρ. (Ἰλ: Ζ. 402.)

Ἦν δήπερ ἐτυμολογίαν ἐν Κρατύλῳ Πλάτων ἐπαινῶν, μάλα ὀρθῶς ἔχειν, φησὶ, τὸν τῷ σωτῆρος υἱὸν Ἀστυάνακτα ἀποκαλεῖν· (Ἄνακτα δηλ: τῷ Ἄστεος τότε, ὃ ἔσωζεν ὁ πατὴρ αὐτῷ. (Τοῦτον δὴ Σέρβιος σημειοῦται, τὸν Ἀστυάνακτα ἔτι παῖδα, ὑπὸ Ὀδυσσέως, (οἱ δ' ὑπὸ Μενελάου) ἁρπαθέντα, κατὰ χρημνῶν ὠθιῶαι. Ὅσσα γάρ τις περὶ αὐτῷ παρ' Ἕλλησι διέρρει κακὴ καὶ ἀπαίσιος, ὡς εἴπερ ἄν ὁ παῖς ἐπιζήσειέ τε καὶ ἀνδρωθείη, δίκας αὐτῷ δώσειν ἡ Ἑλλὰς ἔμελεν ὑπὲρ τῆς πατρίδος καὶ τῶν γονέων ἀμυνομένῳ, τὰς βαρυτάτας.

Στίχ: 492. ΠΥΡΓΟΝ ΑΤΑΡ ΜΕΓΑΡΟΙΣΙΝ, . . . . Οὐχ ὁ αὐτὸς πύργος τῷ παρ' Ὁμήρῳ ἕτος ἐστὶν, ἐφ' οὗ οἱ περὶ Πρίαμον Δημογέροντες εἰσάγονται καθήμενοι. (Ἰλ: Γ. 145.) ἐκεῖνος γὰρ ἕκειτο σκαιῇσι πύλῃσιν. (Αὐτ. 149.) οὗτος δὲ ἐπ' αὐτῶν ἵδρυτο τῶν βασιλείων μεγάρων. Ἀγεμιὼ ἀπὸ τῆ Ὀυϊεργιλιακῆ τῇδε πύργῳ πόρρωθεν εἰς θέαν ἀπίωτα, ὁμοια χεδὸν ἐστὶν οἷς Ὅμηρος ἐποίησε τὸν Ἐνοσιχθονα θεᾶσθαι (Ἰλ: Ν. 12.) καθεσθέντα·

„Ὑψῆ ἐπ' ἀκροτάτης κορυφῆς Σάμῳ ὑλήεσσης
„Θρηϊκίης· ἔνθεν γὰρ ἐφαίνετο πᾶσα μὲν Ἴδη,
„Φαίνετο δὲ Πριάμοιο πόλις, καὶ νῆες Ἀχαιῶν.

Στίχ: 503. ΠΥΡΡΟΣ Δ' ΕΝ ΠΡΟΘΥΡΟΙΣ κτ: Περὶ τῆ Πύρρῳ, ὃς καὶ Νεοπτόλεμος ὕστερον ἐπεκλήθη, ὅρα ἀνωτ: Σημ. στίχ: 282. Νεανικῶς οὖν ἐνταῦθα ὁ Ποιητὴς ἡμῖν τὸν νεᾶνα παρίστησι, πρῶτον ἐν προθύροις, καὶ ἄχρις αὐτῆ τῷ σταθμῷ τῷ πυλῶνος χωρεῖν τολμῶντα, οἰστοῖς τ' ἐπιγαννύμενον, καὶ τοῖς ἐκ τῆς χαλκῆς ὁπλίσεως ἀμαυρύγμασι περιλαμπόμενον· ἔπειτα σὺν τοῖς περὶ αὐτὸν προμαχῆνται· καὶ κραταιῶς μὲν τλῦ εἰς τὰ Ἀνάκτορα εἴσοδον παραβιαζόμενον, θηριωδῶς δὲ τέως τῇ περιόδῳ δωμάτων καταχρώμενον. Καὶ γὰρ:

Arma diu ſenior deſueta trementibus ævo
Circundat nequicquam humeris, & inutile ferrum
Cingitur, ac denſos fertur moriturus in hoſtes.
Ædibus in mediis, nudoque ſub ætheris axe
Ingens ara fuit, juxtaque veterrima laurus
Incumbens aræ, atque umbrâ complexa Penates.
Hic Hecuba, & natæ nequicquam altaria circum,
Præcipites atrâ ceu tempeſtate columbæ
Condenſæ, & Divûm amplexæ ſimulacra ſedebant.
Ipſum autem ſumptis Priamum juvenilibus armis
Vt vidit: Quæ mens tam dira, miſerrime conjux,
Impulit his cingi telis? aut quo ruis? inquit,
Non tali auxilio, nec defenſoribus iſtis
Tempus eget: non, ſi ipſe meus nunc afforet Hector.
Huc tandem concede; hæc ara tuebitur omnes;

Aut

❁ ❁ ❁

Στίχ: 501. Ὡς τ' ἐν φωτὶ δράκων κτ: Δράκοντι τὸν Νεοπτόλεμον εἰκονίζει, ἓν μὲν Ὁμήρῳ τίῳ παραβολίῳ ἀποξέσας, Ἰλ: Χ. 93.

„Ὡς δὲ δράκων ἐπὶ χειῇ ὀρέξεος ἄνδρα μένῃσι,
„Βεβρωκὼς κακὰ φάρμακ', ἔδυ δέ τε μίν χόλος αἰνὸς'
„Σμερδαλέον δὲ δέδορκεν ἑλισσόμενος περὶ χειῇ.

Προσφυέστατα δὲ πρὸς τὸν σκοπὸν αὐτίῳ μεφαρμόσας, καὶ τεχνικώτατα, ὡς μηδὲ ῥᾴδιον εἶναι ποτέραν τῶν εἰκόνων φάναι καλλίονα, τίῳ τῷ προσχεδιασαμένῳ, ἢ τίῳ τῷ ζηλώσαντος; οὕτω γὰρ ἑκατέρα τοῖς ὑποκειμένοις προσήρμοσαι πράγμασιν, ὡς ἐκ ἦν κάλλιον Ὁμήρῳ μὲν γὰρ πρέπκειτο, ἵον ῥᾴδιῳ μένοντα γράψαι τὸν ἐπιόντα πολέμιον. Οὐιργιλίῳ δὲ, τὸν ἐπάλμενον κατὰ τῆς δυσμενοῦς νεὸς, καὶ τὰ βασιλικὰ Ἀνάκτορα καθελεῖν τε καὶ διαπέρσαι ὀρεγόμενον, ὡς ἄρισα καὶ Σαμυὴλ ἐπέσησε Κλάρκιος, ἐν ταῖς εἰς τὰ Ὁμήρου παρασημειώσεσιν.

Στίχ: Αὐτ: . . . . . Ἐπεὶ κακὰ φάρμακ' ἀπέβρω. Τὸ δὲ (κακὰ) ὧδε, οἷα καὶ παρ' Ὁμήρῳ, ἐχ ἁπλῶς εἰρῆθαι ὑπολητέον, ἀλλὰ καθ' ἣν ἐμποιεῖν πεφύκασι λύ ιν, ἢ τοῖς χρωμένοις, ἢ διὰ τῶν χρωμένων τοῖς ἄλλοις. Ἃ γὰρ εἰς νομίῳ ὁ Δράκων προσφέρεται, αὐτῷ μὲν ἀγαθὰ ἐςὶ, κακὰ δὲ, οἷς περ ἂν, ἐξ αὐτῶν κορεθεὶς ἐπεμμανείη παροξιωθεὶς καὶ καταδάκη. Καὶ γάρ τοι καὶ ὑοσκύαμος κακὸν μὲν ἀνθρώπῳ φαγεῖν, νὶ δὲ καὶ τῶν πάνυ ἐυχρήςων. Καὶ τὸ ἡδύοσμον (ἡ Μίνθη) καλὸν ἡμῖν εἰς γεῦσιν ἥδυσμα, καὶ ἡδύ ὀσφρανθῆναι, γυναιξὶ δὲ, φασὶν, ὀσμωμέναις λωβᾶται πρὸς εὐλληψιν.

Στίχ: 506. . . . . Οἰδαλέος κτ: Ὑπὸ ὀργῆς φλεγμαίνων: tumidus qui ſemper iraſcatur: (ὡς φησὶ Σέρβιος.) ἢ (οἰδαλέος) ὡς ἔμπλεος ἰᾦ, ὅτι καὶ ἐξ ἰᾦ οἴδημα γίνεται: tumidus, quia à veneno tumor: (ὡς ὁ Κέρδης.) Οὕτω καὶ ὁ Des—Fontaines: enflé de ſucs venimeux. Ἐν δὲ τῷ ὑπὸ τῆ Ἰταλῆ Κάρῳ μεταφράσματι:

„Tale un colubro mal paſciuto e gonfio.

τὸ mal paſciuto: (κακῶς τραφεὶς,) ἐχ ὡς τὸν ἄτροφον ἐκδηλῶν νοητέον· πῶς γὰρ ὅιον τε ἄτροφον εἰπεῖν, τὸν ἐκ τροφῆς ἐξωδηκότα; ἀλλὰ τὸν τροφαῖς ἀπροσφυέσιν ἑαυτῷ καὶ ἀνοικείοις χρησάμενον· ἀλλὰ τὸν τοιαύτοις, οἵπερ ἂν εἰς ἄλλων λύμίν τε καὶ φθορὰν μεταβάλοιεν. Τί δ' ἄρα ὁ Lallemand βέλεται ἡμῖν ἀποδεῖξ: Οὐ pendant l' hiver il s' eſt nourri de ſucs venimeux; πάντως ἐχὶ τῆτο φησὶν Οὐιργίλιος. Ἄλλως τε καὶ χειμῶνος ὁ Δράκων ἐ τρέφεται, ἀλλ' ἀπονενάρκωται τῷ ψύχει, καὶ νωθρὸς κεῖται ἀκινήτων· καί τοι ἐδὲ τότε ἄπεσιν αὐτῆ ὁ ἰὸς, (ἔν δηλ: ἐκ τῶν πρὸ τῆ χειμῶνος βρωθέντων σωήγαγεν) ὡς ὁ Σενέκας φησὶν Ἐπις. μβ. Dum riget

Ὡς τ' ἐν φωτὶ δράκων δὲ, ἐπεὶ κακὰ φάρμακ' ἀπέβρω, 505
Γῆν ὑπὸ οἰδαλέος ψυχρῷ ἐνὶ χείματι κεῦτο,
Ἄρτι λεβηριδ' ἀφείς, αὐτὰρ γανόων νεοτῆτι
Λεῖα τ' ἑλίσσει νῶτα, καὶ ὀρθὰ στέρνα δ' ἐπαίρει,
Ἠελίῳ ἄντιῳ γλώσσαν τριγλώχιν' ἰάλλων.
Σὼ τε δὲ οἱ Περίφας μέγας, ἱππελάτωρ τ' Ἀχιλῆος 510



get frigore, non defunt tamen illi venena, ſed torpent.

Στίχ: 507. ΑΡΤΙ ΛΕΒΗΡΙΔ' ΑΦΕΙΣ κτ. Λεβηρὶς λέγεται τὸ τῦ ὄφεος γῆρας, ὃ ἀποδύεται ὁ ὄφις, (ὡς ἐν τοῖς Γεωργ. Βιβλ: Γ'. στίχ. 516. ἔνθα ὄρα καὶ τιὼ Σημ.)

„Ἠΐκα ῥικνὴν Φολίδων ἄπο γῆρας ἀμέρσας, κτ:

Τὸ σωῦ διάκενον ἐκεῖνο δερμάτιον (ὃ καὶ Σύφαρ καλεῖται ὑπὸ Λυκόφρονος) „ἡ Λεβηρὶς ἐξίν· ἢ καὶ τὰς Παροιμίας ἀπέτεκε: (κενώτερος, ἢ γυμνότερος Λεβηρίδος· καὶ τυφλότερος Λεβηρίδος.) Παρὰ δὲ τῷ Σείφᾳ, καὶ πένης τις ἐγένετο Λεβηρὶς ὄνομα, ἐξ οὗ ἡ Παροιμία, φησὶ, μετείληπται.

Στίχ: 509. . . . . ΓΛΩΣΣΑΝ ΤΡΙΓΛΩΧΙΝ' ΙΑΛΛΩΝ. Ἐξ Ἀρτεμιδώρε (Βιβλ. Δ'. Κεφ. ΞΘ'.) σεσημείωκεν ὁ Κέρδης, ὅτι διττιὼ ἔχει τιὼ γλώτταν ὁ Δρακόντων· ἤτοι δισχιδῆ. Καί τοι καὶ παρὰ τῷ Ἀρις: (Περὶ Ζώ. Ἱστορ. Βιβλ: Β'. Κεφ. ΙΖ.) „δικρέαν, φησὶ δὲ τρικρόαν, τιὼ γλῶτταν ἔχειν ὁ ὄφις ἰσόρηται. (Ἀλλ' ὄρα τιὼ ἐν τοῖς Γεωργ. Σημ. Βιβλ. Γ'. στίχ. 520.)

Στίχ: 510. ΣΥΝ ΤΕ ΔΕ ΟΙ ΠΕΡΙΦΑΣ. . . . . Ἦν μέν τις Περίφας, Αἰγύπτε ἐκ Γοργόνος υἱὸς, ὁ λαχὼν εἰς γάμον μίαν τῶν Δαναϊδῶν, τιὼ Ἀκταίᾳ. (Παρὰ Ἀπολλοδ. Βιβλ: Β'. Κεφ: Α'.) Ἦν δὲ Περίφας ἕτερος, ὃν πελώριον Ὅμηρος ἀποκαλεῖ: (Ἰλ: Ε'. 843.)

„Λἰτωλῶν ὄχ' ἄριστον, Ὀχησίε ἀγλαὸν υἱόν.

Ἐπεὶ δὲ περὶ τέτε Ὅμηρος φθάσας (Αὐτ. στίχ. 843.) προσέθετο, ὡς αὐτὸν Ἄρης ἐξενάριζεν, ἕτερος ἄρα ἡμῖν τῦ Ὁμηρικῦ τέτε ὁ Περίφας ἔσαι ὁ Ουιργιλιακος, ὁ ἐνταῦθα τῷ Πύρρῳ ἑπόμενος, καί περ Ingenis ὁμοίως καὶ ἔτος κατὰ Ουιργίλιον ὅπερ ἐξὶ πελώριος. Θαυμάζειν σωῦ ἔπεισίμοι, πῶς εἰς τῶν Ουιργιλίε Σχολιαστῶν (Taubmannus) τὸν αὐτὸν τῦτον εἶναι διδάσκει, παρ' ἑκατέρῳ τῷ ποιητῇ Περίφαντα; λέγει γὰρ: Periphas Æolorum Princeps, quem Pallas Orci galea texit. Ὅπερ ἐξὶ: (Περίφας Ἀρχηγὸς Αἰτωλῶν, ὃν ἡ Παλλὰς τῇ Ἄιδος κυνέῃ ἐκάλυψε) περὶ τῦ Πύρρῳ ἑπομένε Περίφαντος λέγων· Ἀλλ' ἐδέν ὑγιὲς. Πῶς γὰρ τῷ Πύρρῳ παρωπήδει ὃς πρόανῄρητο; πῶς δ' ἡ Παλλὰς τῇ κυνέῃ Περίφαντα ἐκάλυψεν, ἡ τιὼ κυνέην αὐτὴ ὑποδῦσα, ἵνα ἀθέατος εἴη τῷ Ἄρει. Ἀπόχρη τὰ ὁμηρικὰ διελθεῖν ἔπη τῷ γνῶναι βελομένῳ ὅτι Ταυβμάννος ἔτος, ὃν ἐγίνωσκεν ἃ ἀνεγίνωσκεν. Ἔχει δ' ἔτω παρ' Ὁμήρῳ τὸ δράμα. Ἄρης κατὰ τῆς δοθείσης ὑποσχέσεως Τρωσὶν ἐπαμυνῶν, (Ἰλιάδ. Ε'. 832 — 834.)

„Ἦτοι ὁμὲν Περίφαντα πελώριον ἐξενάριζεν,
„Λἰτωλῶν ὄχ' ἄριστον, Ὀχησίε ἀγλαὸν υἱόν·
„Τὸν μὲν Ἄρης ἐνάριζε μιαιφόνος. . . . Αὐτ. (842. 844.)

Ἀθηνᾶ δ' ἐν τέτοις Διομήδει διφρηλατῦσα ἀντὶ Σθενέλε, (Αὐτ: 825 — 840.)

„Αὐτίκα ἐπ' Ἄρεϊ πρώτῳ ἔχε μώνυχας ἵππες. (στίχ. 841.)

Ὄφρα δὲ μὴ ἐπιγιὲς αὐτιὼ Ἄρης ἐκφύγοι, ὑποδῦσα τιὼ Ἄιδος κυνέιω ἀόρατος γίνεται. Στίχ: 844. 845.

„ . . . . . αὐταρ Ἀθήνη
„Δυῶ Ἄιδος κυνέιω, μὴ μὶν εἰδῇ ὄβριμος Ἄρης.

Τοιγαροῦν Ἄρης τιὼ Θεὸν ὁρᾶν διφρηλατῦσαν οὐκ ἔχων, ὡς Διομήδιν ἐθεάσατο μένον, Περίφαντα μὲν, ὃν προαπεκτονὼς ἐναρίζειν ἀνεβάλετο, ἔασε, Διομήδει δ' ἀπήντα.

„Ὡς

Aut moriere ſimul: Sic ore effata, recepit
Ad ſeſe, & ſacrâ longævum in ſede locavit.
Ecce autem elapſus Pyrrhi de cæde Polites,
Unus natorum Priami, per tela, per hoſtes,
Porticibus longis fugit, & vacua atria luſtrat,
Saucius: illum ardens infeſto vulnere Pyrrhus
Inſequitur: jam jamque manu tenet, & premit haſtâ.
Ut tandem ante oculos evaſit, & ora parentum,
Concidit, ac multo vitam cum ſanguine fudit.
Hîc, Priamus, quamquam in mediâ jam morte tenetur,
Non tamen abſtinuit, nec voci iræque pepercit.
At tibi pro ſcelere, exclamat, pro talibus auſis,
Dii (ſi qua eſt cœlo pietas, quæ talia curet),
Perſolvant grates dignas, & præmia reddant
Debita; qui nati coram me cernere letlıum
Feciſti, & patrios fœdaſti funere vultus.
At non ille, ſatum quo te mentiris, Achilles
Talis in hoſte fuit Priamo: ſed jura, fidemque
Supplicis erubuit, corpuſque exangue ſepulchro
Reddidit Hectoreum, meque in mea regna remiſit.

Sic

❋ ❋ ❋

„Ὡς δ' ἴδε βροτολοιγὸς Ἄρης Διομήδεα δῖον·
„Ἦτοι ὁ μὲν Περίφαντα πελώριον αὐτόθ' ἔασε
„Κεῖσθαι, ὅθι πρῶτον κτείνων ἐξαίνυτο θυμὸν·
„Αὐταρ ὁ βῆ δ' ἰθὺς Διομήδεος ἱπποδάμοιο. (σίχ. 846 — 849.)

Τὸ μὲν οὖν δρᾶμα τοιοῦτον, καὶ ἕτω σαφὲς· Ταυβμάννος δὲ ὑπὸ τῆς μονουμάβδ Ἀντωνυμίας (MIN) παραχθεὶς, τῷ κερκίνῃ ἐδραύξατο, καὶ πάντα συνέχεε. Δέον γὰρ τὸ ὑφ' Ὁμήρῳ ῥηθὲν περὶ τῆς κωφῆς. . . . . αὐταὰρ Ἀθλιὴν
Δῶν Ἄιδος κωφέλιν, μὴ MIN εἴδῃ ἔβριμος Ἄρης·
Πρὸς αὐτὸν ἀναγαγεῖν Ἀθλιᾶν, καὶ τόγε (μὴ MIN εἴδῃ) ἐρμηνεῦσαι, ne ipſam videret· ὁ δὲ πρὸς Περίφαντα ἀνέφερε, καὶ: ne ipſum videret, ὑπ' ἀριστερᾶς ἀγόμενος Μάσης. ἡρμήνευσεν.

Στίχ: 511. ΑΥΤΟΜΕΔΩΝ ΟΠΛΟΥΧΟΣ· Τέτε συχνὴ παρ' Ὁμήρῳ γίνεται μνεία, Ἰλ. Ρ. Ἦν δὲ ἄρα Αὐτομέδων ἕτος, τῷ μὲν πατρὸς, ἤτοι Ἀχιλλέως πάλαι διφρηλατης, τῷ δὲ ὑῒ ἤδη Πύρρῳ ὁ αὐτὸς ὑπασπιστὴς, ἢ ὁπλέχος.

Στίχ: Αὐτ: . . . ΟΛΗ ΤΕ ΣΚΥΡΙΟΣ ΗΒΗ. Πύρρῳ γὰρ, ὡς ἐκ Δηϊδαμείας τῆς Λυκομήδες, τῷ ἐν Σκύρῳ μιᾷ τῶν Κυκλάδων Νήσων βασιλέυοντος, τεχθέντι, (ὅρα ἀνωτ: σίχ. 282.) εἰκὸς γε ἦν καὶ τιὼ Σκύριον νεολαίαν συνεκστρατέυεθαι.

Στίχ: 518. . . . . ΑΡΧΑΙΩΝ Τ' ΑΝΑΚΤΩΝ. Καὶνταῦθα ὁ Ποιητὴς ἐπισεμύνεται τιὼ τῷ Τρωϊκῷ Κράτες ἀρχαιότητα, ὡς ἀνωτ. 386.

Στίχ: 519. . . . . , ΠΡΟΣΘΕ ΠΥΛΑΩΝ· Ἐκείνες δηλ. οἳ τὰς πρώτας πυλεῶνας ἐφρύρουν, ὥσπερ εἴρηται (σίχ. 480.)

Στίχ: 525. ΑΜΦΑΦΟΩΣ' ΕΚΤΟΝ ΔΕ ΘΥΡΑΣ. . . . ΣΤΑΘΜΟΥΣ ΤΕ. Ἱεραὶ γὰρ ὑπῆρχον Ῥωμαίοις μάλιστα ἐκ θρησκείας, αἵτε ἄνω καὶ αἱ κάτω φλιαὶ τῶν πυλῶν, καὶ οἱ σαθμοὶ, ἢ αἱ παρασάδες. καὶ αἱ θύραι τὸ σωλον· καὶ Θεὸς δέ τις ἐπ' αὐταῖς ἔφορος ἐτιμᾶτο καὶ ἐπισάτης, ὁ, Limentinus, οἷον εἰπεῖν Φλιαῖος, ἀπὸ τῶν φλιῶν καλέμενος. Ἐσεβάζοντο δὲ ἄρα καὶ Ἰανὸν, ὡς εὑρετιὼ τῶν Θυρωμάτων καὶ τῶν κλείθρων. Θυρᾶῖον τις

Αὐτομέδων ὁπλῆχος, ὅλη τε Σκύριος ἦβη,
Ἴθυσάν τ' ἀθρόοι, καὶ πῦρ ὀρόφοισιν ἐνῆκαν.
Αὐτὸς δ' ἐν προμάχοις πέλεκυν παλάμῃφιν ἀείρας,
Δικλίδας ἐκ θαιρῶν ἔσπα, χαλκῷ ἀραρυίας.
Ἔκ τε δοκὸς τμήσσων κοίλαν' ἀτεράμνια δῶρα.
Εὐρύπορον δ' οἷον τι θύρετρον τῆμος ἀνῴκτευ.
Ἀμφαδὰ δ' ἔσκε μέλαθρά τε εὐρέα πάντα·
Ἀμφαδὰ τὰ Ποιάμιο ἄδυτ', ἀρχαίων τ' ἀνάκτων.
Πάπταινον δ' ἐξῶτας ἐν ὅπλοις πρόθε πυλάων.
Δώματα δ' ἐνδοτέρω, οἰκτρῷ κελάδῳ τε γόῳ τε
Σωτετάρακτο· μυχαίτερ' ἀτάρτοι κοῖλα μελάθρων,
Ἐξολόλυζ' ἀνῶς κοπετοῖσιν θηλυτεράων.
Τῶν δέ τε ὑψηχὴς ὀλολυγὴ ϑρανὸν ἶκεν.
Μητέρες ἀν δὲ δόμους ἀμεγάρτας δειλαὶ ἀλῶντο.
Ἀμφαφόωσ' ἔκυον δὲ θύρας ἐδέων ϛαθμούς τε.
Πατρώῃ δὲ βίῃ κεχρημένος ἄντεχε Πύρρος·
Τὸν δ' ὅτ' ἄρ' κλεῖθρ', ὃ φύλακες μένον ἀντιβίην γε.
Κοπτομένη δ' ἤμυσε πύλη πυκνοῖσι κριοῖσι.
Θαιροὶ μὲν ῥῆχθεν, ϛαθμὼ δὲ τ' ἀνετράπετ' ἄμφω·
Οἶμος δ' ὤκτο βίῃ· παρόδους ῥηγνῦσι δὲ ῥεῖα·
Κτείνοντες προμόλους δὲ, ὅσοι ϛρίσιν ἀντίοι ἔϛαν,
Βῆ Δαναῶν ϛρατὸς ἔνδον, ἀτάρτοι πάντα κατέχον.

Οὐχ

❁ ❁ ❁

τις ἂν προσείποι τῶτον ἐξελληνίσας, ἢ Θυρῶον, ἢ Θύριον. Διὸ καὶ ἐξ αὐτῆ Ianuas τὰς θύρας ὠνόμασαν. Τοιγαροῦν αἱ Τρωϊάδες, διαπορθμένων αὐταῖς τῶν οἰκημάτων, τάς τε θύρας, καὶ τὰ περὶ αὐτὰς περιεβάλλοντό τε καὶ κατεφίλων, ἅμα μὲν ὡς τῶν φιλτάτων χαλεπῶς ἀποχωριζόμεναι, ἅμα δὲ καὶ τὰς ἐπιτεταγμένας αὐταῖς ἐφόρους Θεὰς οἷον ἐκδυσωπῶσαι, καὶ ἀρήγειν δεόμεναι. Ταύτῃ δὴ τῇ περὶ τὰς θύρας τῶν Τρωϊάδων μητέρων περιπάθειαν, Ὀυρσῖνος ἐν ταῖς Παραθέσεσιν ἀναμφιβόλως οἴεται τὸν Μάρωνα ἐξειληφέναι ἐκ τῆ Δ. τῶν Ἀπολλωνίε Ἀργοναυτικῶν.

„Κῦσε δ' ἑὸν τε λέχος, καὶ δικλίδας ἀμφιτέρωθεν
„Σταθμὰς, καὶ τοίχων ἐπαφήσατο, χερσί τε μακρὸν
„Ῥίψαμένη πλόκαμον θαλάμῳ μνημήϊα ματρὶ
„Κάλλιπε παρθενίης. . . . . .

Στίχ: 526. ΠΑΤΡΩΪΗ ΔΕ ΒΙΗ ΚΕΧΡΗΜΕΝΟΣ ΑΝΤΕΧΕ κτ. Πατρώζοντα τὸν Πύρρον ὧδε ὁ Ποιητὴς ἡμῖν παρίσάνει, καὶ κατὰ τὸν γεννήσαντα, καρτερὸν καὶ τῶτον ἐν πολέμοις καὶ ἀνυπόσατον.

Στίχ: 528. . . . . ΠΥΚΝΟΪΣΙ ΚΡΙΟΪΣΙ. Τὸν πολιορκητικὸν Κριὸν, τὸ ἐπὶ ταχομαχίαις τὸ πάλαι ἐν χρήσει μηχάνημα, καὶ Ἱστορικοὶ καὶ Λεξικοποιοὶ ἀγνοεῖσθαι οὐκ εἴασαν. Ἐπεὶ τοίνυν ἡ τῶν ἀνακτόρων Πριάμε πύλη μεγάλη τε ἰσχὺ, καὶ κραταιῶς ἐσήρικτο, κριοκοπῆντας ἐδέησεν αὐτίκα καθελεῖν. Ἐπύκνωσε δ' ὁ Ποιητὴς τὰς Κριὰς τῷ ἀριθμῷ πληθύσας, οὐχ ὡς πολλὰ τὰ κριόμορφα τῶν μηχανημάτων κατὰ μιᾶς πύλης περιττῶς προσεπισωρεύων, ἀλλ' ὡς πολλὰς τὰς ἐξ ἑνὸς καὶ μόνε, συχνάς τε καὶ ἀλλεπαλλήλας διὰ τῆ αὐτῆ Κριᾶ ἐμβολὰς ἐπιδηλώσων, πρὸς τίνα τῆς ἰσχυρῶς ἀντεχέσης πύλης καθαίρεσιν.

Στίχ: 529 ΘΑΙΡΟΪ ΜΕΝ ΡΗΧΘΕΝ. Οἱ ϛροφεῖς τῆς θύρας, ἤτοι αἱ ϛρόφιγγες, οἱ καὶ γιγγλυμοι, ἢ καὶ γιγγλυμοὶ ὀξυτόνως, οἱ ἐπὶ τῶν θυρῶν ϛρεφόμενοι γόμφοι.

Sic fatus ſenior, telumque imbelle ſine ictu
Conjecit: rauco quod protinus ære repulſum,
Et ſummo clypei nequicquam umbone pependit.
Cui Pyrrhus; Referes ergo hæc, & nuncius ibis
Pelidæ genitori; illi mea triſtia facta,
Degeneremque Neoptolemum narrare memento.
Nunc morere. Hæc dicens, altaria ad ipſa trementem
Traxit, &, in multo lapſantem ſanguine nati;
Implicuitque comam lævâ, dextrâque coruſcum
Extulit; ac lateri capulo tenus abdidit enſem.
Hæc finis Priami fatorum: hic exitus illum
Sorte tulit, Trojam incenſam, & prolapſa videntem
Pergama, tot quondam populis, terriſque ſuperbum
Regnatorem Aſiæ. Jacet ingens littore truncus:
Avulſumque humeris caput, & ſine nomine corpus.
At me tum primum ſævus circumſtetit horror;
Obſtupui: ſubiit chari genitoris imago,

Ut

❁ ❁ ❁

Στίχ: 533. ΟΥΧ ΩΣ ΧΕΙΜΑΡΡΟΥΣ ΑΦΡΕΩΝ κτ: Ταυβμάννος καὶ ταῦθα ὁ „Σχολιογράφος (ὡς ἐκ τῆς Σκαλιγέρε κρίσεως Βιβλ. Ε'. κεφ: Γ.) σεσημείω„κεν, ὅτι πολλὰς μὲν Ὅμηρος ἐκ τῶν ποταμῶν παραβολὰς προήνεγκεν ἐπὶ „τῆς ποιήσεως· ὁ δ' Ἡμέτερος ἅπαξ, μίαν δὴ ταύτην καὶ μόνην, τὴν „ὑπὲρ πάσας (τὰς Ὁμηρικὰς δηλονότι) τακτέαν. Noſter ſemel tantum, illis omnibus anteponendam. Τὸ μὲν οὖν τῆς Ταυβμάννε σημειώσεως, ὅτι Ὅμηρος πολλὰς, ἀληθὲς ἐστι καὶ ἐκ τῶν ἡμῖν ἀνωτέρω (στίχ. 325.) σημειωθέντων, πάρεστι μαθεῖν. Τὸ δὲ, ὅτι Ουϊργίλιος, ſemel tantum: (ἅπαξ μόνον) οὐκ ἀληθές. Οὐ γὰρ μόνον ἐνταῦθα τῷ τόπῳ ἐχρήσατο, ἀλλὰ καὶ ἀνωτέρω ἐπὶ τῇ αὐτῇ τῇδε Βιβλίᾳ (στίχ. 325) καὶ μὲν δὴ, καὶ ἐν τῷ Γ. τῆς Αἰνειάδ. κατωτέρω προσχρήσεται. (στίχ 637.) Καὶ ἐν τῷ ΙΑ'. (στίχ. 648.) καὶ τοι ἀπὸ τῆς παλιρροίας τῶν ἐπὶ τὰς ἀκτὰς ἐπιῤῥεόντων τε καὶ ἀναῤῥεόντων ποντίων ῥοθίων ἐκεῖ, ἀντὶ τῶν ὧδε χειμάῤῥων (ὃ μικρὸν διαφέρει·) ληφθείσης τῆς παραθέσεως. Ἐκεῖνο δὲ, ὅτι ἡ μία καὶ μόνη αὕτη τῇ Μάρωνος, τὰς τῇ Ὁμηρε ὑπέρκειται καὶ ὑπερῆρε πάσας· πότερον ἀληθὲς, ἢ μὴ, ἄλλοι κρινόντων. Πάντως πε Μακρόβιος (Βιβλ: Ε. Κεφ. ΙΓ.) ὡς ποῤῥωτάτω τῆς τοιᾶς δε ψήφε ἐγένετο.

Στίχ: 537: ΩΣ ΤΟΤΕ ΑΥΤΟΣ ΟΠΩΠΑ κτ. Ὃ κατ' ἀρχὰς ἔλεγεν: ὧν ὀπτὴρ αὐτὸς ἐγένετο, ὧν τε τὸ μέρος μετέσχε (Β'. Αἰν: στίχ. 5.) νῦν διέξεισι, πιστὰ λέγειν δοκῶν διὰ τὴν αὐτοψίαν, καὶ διὰ τὴν ταυτοπάθειαν εἰς ὄικτον ἅμα τὸν ἀκρωμένες κινῶν. Οἷον γὰρ καὶ ὅσων δακρύων ἄξια, γηραιάτε Ἄνασσα τῶν βωμῶν ἐχομένη; καὶ Νυῶν πλῆθος τοσούτων περὶ αὐτὴν, καὶ σὺν αὐτῇ γοῶσαι καὶ τρέμουσαι, Νεοπτολέμε τε καὶ τῶν Ἀτρειδῶν, καὶ τῶν ἄλλων ἄγαν μανικῶς εἰσρυέντων; καὶ Πρίαμος ὑπερήλιξ τε καὶ ἀπόλεμος, ἔθ' ἑαυτῷ, ἔτε τοῖς φιλτάτοις ἀμυνεῖν οἷός τε ὤν, ἀλλ' ἐν οἰκείοις αἵμασιν, ὅπερ ἰδίαις χερσὶν αὐτὸς ἀνῆψεν ἱερὸν πῦρ ὁρῶν βεβηλούμενον; κτ:.

Στίχ. 539. . . . ΝΥΟΥΣ Θ' ΕΚΑΤΟΝ. . . . . Τίων πεντήκοντα πατὴρ γενέθαι Πρίαμος αὐτὸς ἔφασκεν Ἰλ. Ω στίχ. 495.

„Πεντήκοντά μοι ἦσαν, ὅτ' ἦλυθον υἷες Ἀχαιῶν.

ὑπὲρ ὧν, καὶ τῶν τέτων ἀλόχων, οἱ ἐντὸς τῶν Ἀνακτόρων δεδομημένοι πεντήκοντα θάλαμοι· (Ἰλ: Ζ. 244.)

„Πεντήκοντ' ἔνεσαν θάλαμοι ξεστοῖο λίθοιο
„Πλησίοι ἀλλήλων δεδμημένοι· ἐνθάδε παῖδες

„Κοιμῶν-

Οὐχ ὥς χειμάρρους ἀφρέων διὰ χῶμα νεδάσσας,
Ἄντιω οἱ δ' ἐξῶτα ὑπερχὼν ἔρκεα δίνας,
Ἔξεισ' ἀμπεδίον, κατὰ τ' ἀγρὸς φέρτα ἀέξων,
Θώων τ' ἐμμανέως σὺν ἐπαύλεσι πώεα ἔλκει·
Ὡς τότε αὐτὸς ὄπωπα Νεοπτόλεμον μανιῶντα.
Αἱμάτεσιν προπάροιθε πυλῶν, δοιώ τε Ἀτρείδα.
Λεῦσσ' Ἑκάβην βωμοῖσι, Νύας θ' ἑκατὸν, Πριαμίδαις,
Πῦρ ἱερὸν χραίνοντα ἐν αἵμασι, τὸ προσανῆψεν.
Οἵ δ' ἔνεσαν θάλαμοι περικαλλέες ἔξοχα ἔνδον
Πεντήκοντα, τοσὴν ἐλπωρὴ ὀψιγενήων,
Βαρβαρικῷ χρυσοῖο παραιάσιν αἰγλήεντες,
Ἧν ἐνάροις ἀγέρωχοι, ἐπήμυσαν προτὶ ἕδας·
Ἄτται δὲ λᾶπε μένος τὸ πυρὸς, Δαναὸς κατὰ ἔσχεν.
Ἦπυ καὶ Πριάμοιο πυθέσθαι δίζεσαι αἶσαν.
Ἄσεος ὡς ὅγε ὅιτον ἐσιδὲν, ἰὸ' ἀναπαθέντα
Ἄρδιω σαθμὰ πυλῶν, δηΐας δέτε ἔνδον ἐόντας,
Τεύχεα γηραιῷ δηρὸν τελέθοντα ἀϊθη,
Ἡλικίης γε ἕκητι, τρέμεσ' ὑπεδύσσατο ὤμοις·



❁ ❁ ❁

„Κοιμῶντο Πριάμοιο παρὰ μνησῆς ἀλόχοισιν.
Περὶ ὧν καὶ Οὐιργίλιος ὡσαύτως: (κατωτ: στίχ. 541)
„Οἵ δ' ἔνεσαν θάλαμοι περικαλλέες ἔξοχα ἔνδον
„Πεντήκοντα. . . . . .
Πῶς οὖν Ἑκάβη τε καὶ Πριάμῳ Νυοὶ ἐνταῦθα ἑκατὸν εἰσάγονται; Ἀλλ' ἤτοι καθ' ὑπερβολῆς τρόπον τὸ ἑκατὸν εἴρηται, ἢ ἀορίστως ἀντὶ πολλῶν· ἢ τὰς Νυὰς ἀντὶ τῶν Νεογάμων, ἢ Νεανιδων ἐκδέχεσθαι χρὴ, ὡς ἐκ ἀγχιστείας ἀλλ' ἡλικίας δηλωτικὸν παραληφθὲν τέκνωμα. Ἢ, ταῖς Ἑκάβης τε καὶ Πριάμε πεντήκοντα Νυοῖς συμπιλογισέον καὶ τὰς ἄλλων τινῶν ἐν Τρωσὶν ἐγκρίτων καὶ ἐπιφανεστέρων, ἐπ' ἀσυλίᾳ καταφυγόσας καὶ αὐτὰς ἐν τοῖς Ἀνακτόροις. Ἢ τελευταῖον, καὶ μιᾶς πλείονας ἄγειν ἀλόχους οἱ Φρυγῶν νόμοι ἐπέτρεπον. Καὶ γάρ τοι καὶ αὐτὸς Πριαμος, παρεκτὸς Ἀρίσβης τε καὶ Ἑκάβης, καὶ ἄλλας ἔτι γυναῖκας ἔσχεν, ἐξ ὧν αὐτῷ οἱ πολλοὶ παῖδες ἐγένοντο, ὡς Ἀπολλόδωρος ἱστορεῖ (ἐν Γ. Βιβλ: Κεφ: ΙΒ.) ἔνθα καταλέγει καὶ τὰς παῖδας αὐτὰς ἐξ ὀνόματος.

Στίχ: 543. ΒΑΡΒΑΡΙΚΟΥ ΧΡΥΣΟΪΟ κτ. Τὰ ἐκ τῆς Φρυγῶν γῆς ἕτω δαψιλῶς μεταλλευομένα, ὡς ἐξ αὐτῆς, οὐχ ὅπως τὰ φατνώματα τῶν βασιλικῶν μεγάρων ἀλλὰ καὶ αὐτὰς δὴ τὰς τῶν πυλώνων παραστάδας καταγλαΐζεσθαι. Πῶς δὲ βαρβαρότητα τῆς πατρίδος κατηγορῆσαι ἐνταῦθα Λινείας ἠνέσχετο; ἢ οὕτω λέγων, ὥσπερ ἂν Ἕλλην τις τυχὸν φήσειε, τὰ μὲν τῶν Φρυγῶν ἔθνος περιφρονῶν, περὶ δὲ τὸν παρ' αὐτοῖς ἀφθόνως περιόντα πλοῦτον ἐπτοημένος; Δοκεῖ δέπως καὶ τὸ ἐκ τῆς βαρβαρότητος προπηλακισμὸ μικρὰ φροντίσαι ὁ Ἥρως, ὡς ἐδὲν ἄλλ' ἢ τὸν Ἑλληνικὸν τύφον ἐλέγχοντος, τῶν πάντα μὴ Ἑλλησι βάρβαρον ὀνομάσαι θρασυναμένων, καὶ τῇ αὐτῇ προσηγορίᾳ ἐδὲν τι ἧττον καὶ τὸς Τυρίους αὐτὸς περιχαρακτηριζόντων, πρὸς ὃς Λινείας αὐτὸς διελέγετο. Ἀλλὰ γὰρ τῷ ὄντι, τί ποτε τὸ βάρβαρον ἐπιβρῆθὲν καθ' αὐτὸ σημαίνει, ἢ τὸ τῆς ἑτερογλώσσε φωνῆς δυσέκφορον; τοῦτο δὲ τεθέντος, εἶεν ἂν ἀμοιβαδὸν καὶ Ἕλληνες βάρβαροι τοῖς Φρυξὶν, ὥσπερ οἱ Φρύγες τοῖς Ἕλλησιν.

Στίχ: 545. ΑΤΤΑ ΔΕ ΛΕΠΕ ΜΕΝΟΣ ΤΟ ΠΥΡΟΣ. . . . Ἦν γὰρ ἄρα ὁ Δαναὸς, οὕτω, καὶ τὸ παμφάγε πυρὸς ἀπλησέστερος.

Στίχ. 547 — 552. ΑΣΤΕΟΣ ΩΣ ΟΓΕ ΟΙΤΟΝ κτ: Ἀπογνὺς τῶν πραγμάτων ὁπλίζεται, καί τοι διὰ παντὸς τὸ πολέμε μὴ πρότερον. Οὐ πάντως ὡς ἀμωσέ-

Ut regem æquævum crudeli vulnere vidi
Vitam exhalantem: ſubiit deſerta Creüſa,
Et direpta domus, & parvi caſus Iüli.
Reſpicio, & quæ ſit me circum copia, luſtro.
Deſeruere omnes defeſſi, & corpora ſaltu
Ad terram miſere, aut ignibus ægra dedere.
Jamque adeo ſuper unus eram; cum limina Veſtæ
Servantem, & tacitam ſecretâ in ſede latentem
Tyndarida aſpicio: dant clara incendia lucem
Erranti, paſſimque oculos per cuncta ferenti.
Illa ſibi infeſtos everſa ob Pergama Teucros,
Et pœnas Danaûm, & deſerti conjugis iras
Permetuens, Trojæ & patriæ communis Erinnys,
Abdiderat ſeſe, atque aris inviſa ſedebat.
Exarſere ignes animo: ſubit ira cadentem
Ulciſci patriam, & ſceleratas ſumere pœnas.
Scilicet hæc Spartam incolumis, patriaſque Mycenas
Aſpiciet? partoque ibit regina triumpho?
Conjugiumque domumque, patres, natoſque videbit,
Iliadum turbâ, & Phrygiis comitata miniſtris?
Occiderit ferro Priamus? Troja arſerit igni?

Dardan-

❁ ❁ ❁

ἀμυνόμενος, ἀλλ' ὡς τεθνήξων· διὸ καὶ ἐπὶ τὰς τῶν πολεμίων ταρφείας, ἤτοι πυκνὰς ἴθυσεν ἔλας, ἑλόμενος ἐλευθέρως ἀποθανεῖν, ἢ ζωγρίας ἁλῆς, δυσκλεῶς ὑπὸ τοῖς πολεμίοις τὸ λοιπὸν τὸ βίε διεκπερᾶναι.

Στίχ. 551. ΜΑΨ Δ' ΕΖΩΣΤΟ ΣΙΔΗΡΟΝ ΕΤΩΣΙΟΝ. Οὕτω βέλος ἄλιον καὶ μαψίδιον, τὸ ἀσωτελῶς ἀφεθὲν, συχνὰ παρ' Ὁμήρῳ. Ἀλλ' ἐκεῖ μὲν διὰ τὴν ἀποτυχίαν τὸ πλεῖσον· ὧδε δὲ τὸ μάψ ἐζῶσθαι εἴρηται, διὰ τὴν τῶ ἐζωσμένε τὰ ὅπλα ἀθένειαν.

Στίχ. 553. . . . . ΑΥΛΗΣ . . . ΕΝ ΥΠΑΙΘΡΟΙΣ, Ὅμηρος τὴν αὐλὴν κατὰ τάττει ἐπὶ τῶν ὑπαίθρων τόπων, ἔνθα ἦν ὁ τῶ Ἑρκείε ζῳὸς βωμός· (Ἀθην: ὁ Δειπνοσ. Βιβλ. Ε'.) οὕτω καὶν τεῖς Ὀδυσσέως μεγάροις, βωμὸς ἑστήκει Διὸς μεγάλε Ἑρκείε, (Ὀδυσ. Χ 335.) πρὸς ὃν καταφυγὼν πεποίηται Φήμιος ὁ ἀοιδὸς, (κῆρα μέλαιναν ἀλυσκάζων.) Τοιῦτος ἦν ἄρα καὶ ὁ βωμὸς περὶ ὃ ὁ λόγος ἐνταῦθα τῷ Μάρωνι: περὶ ὃν Ἑκάβη τε, καὶ αἱ περὶ αὐτὴν Νύσι τε δὴ καὶ Θυγατέρες, ἢ ἀγχισῖναι, περικέχωτο ἀθροισθεῖσαι· ἔνθατε (κατ' Ἐυριπίδ ἐν Τρωάσιν εἰπεῖν.)

„ . . . . Πρὸς ῥὰ κρηπίδων βάθροις,
„Πέπτωκε Πριαμος, Ζηνὸς Ἑρκείε θανών.

Ὑπὲρ ἃν τὸν βωμὸν τόν δε, καὶ παλαιάτις ἦν ὑπερτέλεσα δάφνη, τοῖς τιμωμένοις ἐκεῖ Θεοῖς Ἐφεσίοις (οἳ καὶ αὐτοὶ Ἕρκειοι ἐκαλοῦντο, ὡς δῆθεν ἕρκος τε καὶ περίφραγμα τῷ οἴκῳ ὄντες·) ἐπισκιάζουσα ἐξ οὗ καὶ ὑπαίθρον κεῖθαι τὸν βωμὸν ἐπάναγκες· ἐ γὰρ ἄλλως, εἰμὴ ἐν ὑπαίθρῳ, καὶ θάλλειν τὸ φυτὸν εἶχε, καὶ σκιὰν παρέχεθαι. Ἐκτὸς εἰμὴ χρυσοτευκτον τὴν δάφνὴν γενέθαι ταύτὴν, καὶ αὐτοὶ σωάμα τῷ Ταυβμάντῳ πειθέμεν Ἦν γὰρ τοιῦτον, φησὶ, τὸ δένδρον. (ἐκ οἵδ' ἐκ τίνων Συγγραφέων παραλαβὼν.) καὶ ὁ μὲν κορμὸς αὐτῶ εἰς πήχεις δώδεκα παρετείνετο· τὰ δ' ἄκρα κορυφούμενα διεχεῖτο εἰς κλάδες, τὰς τὴν αὐλὴν ὅλὴν πνιγεγάζοντας· Καὶ κλῶνες μὲν, καὶ ἄνθη, τὰ πάντα ἐκ χρυσίε καθαρῶ· οἱ δὲ καρποὶ τετεῖσι αἱ δαφνίδες, ἐκ πολυτίμων λιθάκων ἐξαίσιον διαυγάζουσαι. Τετὶ δὲ τὸ δαφνοειδὲς (προσίθησι Ταυβμάντος) ἄγαλμα, ἐκπλαγεῖσαι ὡς

εἰκος

Μὰψ δ' ἔξωσο σίδηρον ἐτώσιον· ὡς δὲ τεθνήξων,
Ἴθυσε δυσμενέων ἵνα δέρξατο ταρφέας ἔλας.
Μεσσηγὺς μεγάρων, αὐλῆς αὐτοῖς ἐν ὑπαίθροις,
Βωμὸς ἔην εὐρὺς, δάφνη τε παλαίτατος ἄγχι
Βωμῷ ὑπερτέλλουσα, Θεοῖς σκιόωσα πατρῴοις.
Ἔνθ' Ἑκάβη, θύγατρές τ' ἀμφαίξασαι τραπέξας,
Εὖτε πελειάδων πυκνὴ ἀγέλη πεπότηται,
Χείματος ἀρχομένου ἀχλυώδεος ἐκ νεφελάων·
Ἀμφὶ Θεῶν ξόανʼ ἀμφιχυθεῖσαι, μὰψ κατέχεσκον.
Αὐτὸν δ' ὁπλοτέρων Πρίαμον δὴ τεύχεα δύντα
Ὡς ἴδε· τίςπτε νόος σκιδς σε ταλάντατʼ ἀνοίτα,
Τὼς ὡπλίσθαι ἀνῶξεν; ἔφη· ἦ, οἵποτε ἔρδεις;
Οὗτοι ἀρωγῆς τῆς δʼ, οὐδʼ οὐῶ τοιῶνδʼ ἐπικούρων
Χρειὼ νιῶ· οὐδʼ ἦν παρὲξ αὐτὸς γʼ ἐμὸς Ἕκτωρ.
Ὧδε τέως ἔρχευ· βωμὸς δʼ ἐπαμυνεῖ ἕτος ἅπασιν.
Ἢ ἅμα τεθνήξῃ· ὡς ἄρ φαμένη κετέρυκε.
Καδδʼ ἱερῆς ἕδρης παρ οἱ αὐτῇ πέμπελον εἶσεν.
Ἦνὶ δὲ τῆς Πύρρος ἀνδροκτασίης ὑπαλύξας,
Υἱεὺς τῶν Πριάμοιο Πολίτης, βὰς διὰ τόξων
Δηΐων, αἰθάσαςδʼ ἐς μακρὰς ἔκφυγʼ ἀποδρὰς,
Τραυματίας τελέθων, μέσσαυλα δʼ ἐρῆμα ἑώρα.
Τὸ δʼ ὄπιθʼ αἰθαλόεις νηλειῆ ἔγχεϊ Πύρρος
Θωύων, παρ βραχὺ χειρὶ μὲν ἔχ ἔλε, βάλε δὲ δορί.
Ὡς δʼ ἀπαλυσκάζων ὃγʼ ὑπʼ ὄσσε ἑῶν γενετήρων
Ἦρεπὸς, ψυχιὼ ἐπὶ πολλῷ αἵματι χεῦε.

Τῆ-

❁ ❁ ❁

εἰκὸς θεασαμένους Ὀδυσσέα τε καὶ Τυδείδην (ἢ Παλαμήδην) παρὰ Τρωσὶ πρεσβεύοντας ὑπέρ διαλύσεων. Ἐμοὶ δὲ θαυμάζειν ἐκεῖνο πρὸ πάντων ἔπεισι, πῶς, εἴπερ ἀληθῆ ταῦτα, ἐδέη ἡμῖν περὶ τῆς ὑπερφυοῦς ταύτης Δάφνης διελθεῖν ἠξίωσεν ὁ Ἡμέτερος, ὁ μηδὲ τῶν δοκῶν, καὶ φατνωμάτων, καὶ παρασάδων παρελθὼν τὰ χρυσώματα.

Στίχ: 559. . . . . ΜΑ'Ψ ΚΑΤΕ'ΧΕΣΚΟΝ. Οὐχ ὡς μὴ δυναμένων τῶν Θεῶν ἐπιβοηθεῖν, (τὸ μάψ.) ἀλλʼ ὡς μὴ βουλομένων, διὰ τὰ ἐκ τῶν Μοιρῶν τεταγμένα· ἢ μηδʼ ἅτω δυναμένων, διὰ τὸ τῆς πεπρωμένης ἄφυκτον· ἢ, κατὰ τὸν Ἐπικούρειον, ὡς μηδὲ τὸν ἀρχὸν ὄντων Θεῶν τινων τὸ παράπαν, καὶ τε ὧσι, μηδεμίαν τῶν ἐπὶ γῆς πρόνοιαν ποιουμένων.

Στίχ: 564. . . . . ΟΥ'Δ' ''ΗΝ ΠΑΡΕ'ΞΙ ΑΥΤΟ'Σ Γ' ΕΜΟ'Σ ''ΕΚΤΩΡ. Ἡλίκη τις ὧδε, ἢ ἐπὶ σώματος τῆς μητρὸς Ἑκάβης, τὸ (ἐμὸς) δυνάμεις! αἰσθέσθαι δήπου, ἢ ἐκθέσθαι ῥᾴδιον.

Στίχ: 565. . . . . ΒΩΜΟ'Σ Δ' ΕΠΑΜΥΝΕΙ' ΟΥ''ΤΟΣ ''ΑΠΑΣΙΝ. Καὶ σὺ σιωὴμῖν ἤτοι ζήσῃ, ἢ τεθνήξῃ.

Στίχ: 566. . . . . ''Ως ''ΑΡ ΦΑΜΕ'ΝΗ ΚΑΤΕ'ΡΥΚΕΝ. Ἐι μὲν τῇ φωνῇ μόνῃ, μεταπείσασα τῆς προθέσεως, ὡς ἀθενὴς ὁ γέρων τὸν γνώμιν ἐτύγχανεν· εἰ δὲ καὶ τῆς χειρὸς λαβομένη παρ ἑαυτῇ πρὸς βίαν ἐκάθισε, καὶ τῇ παρακμῇ καὶ ἀτονίᾳ τὸ σώματος.

Στίχ: 569. ΤΙΕΥ'Σ ΤΩΝ ΠΡΙΑ'ΜΟΙΟ ΠΟΛΙ'ΤΗΣ κτ: Τοῦτον (οὗ καὶ ''Ομηρος ἐμνήσθη, Ἰλ: Β 791.

„Εἵσατο δὲ φθογγὴν υἱῖ Πριάμοιο Πολίτῃ,)

ἔστε τοῖς ἐξ Ἀρίσβης, ἔστʼ ἐξ ἄλλων γυναικῶν Πρίαμος ἔχει· τοῖς δʼ ἐξ Ἑκάβης γεννηθεῖσιν Ἀπολλόδωρος αὐτὸν συγκαταλέγει. (Βιβλ: Γ. Κεφ: ΙΒ.) διὸ καλῶς

Dardanium toties ſudârit ſanguine littus?
Non ita: Namque, etſi nullum memorabile nomen
Fœmineâ in pœnâ eſt, nec habet victoria laudem;
Extinxiſſe nefas tamen, & ſumpſiſſe merentis
Laudabor pœnas: animumque explêſſe juvabit
Ultricis flammæ, & cineres ſatiaſſe meorum.
Talia jactabam, & furiatâ mente ferebar:
Cum mihi ſe, non ante oculis tam clara, videndam
Obtulit, & pura per noctem in luce refulſit
Alma parens, confeſſa Deam, qualiſque videri
Cœlicolis, & quanta ſolet: dextrâque prehenſum
Continuit, roſeoque hæc inſuper addidit ore.
Nate, quis indomitas tantus dolor excitat iras?
Quid furis? aut quonam noſtri tibi cura receſſit?
Non priùs aſpicies, ubi feſſum ætate parentem
Liqueris Anchiſen? ſuperet conjuxne Creüſa,
Aſcaniuſque puer? quos omnes undique Grajæ
Circum errant acies: &, ni mea cura reſiſtat,

Jam

❀ ❀ ❀

καλῶς προσετέθη περὶ τῦ ἀμφιθαλῦς αὐτοῖς ὧδε Πολίτε, ὅτι δὴ περὶ δαμεὶς ὑπὸ Πύῤῥε, πέπτωκεν ἠρεμπὼς „οὐ ὑπ' ὄσσε ἑῶν γενετήρων" (κατωτ: στίχ. 574.)

Στίχ: 579. . . . . (ΔΙΚΗ ΑΙΚ' ΕΝΙ κτ: Ἤτοι ὡς Ἐπικέριος τις, περὶ τῆς ποινηλατέσης Δίκης ἔοικεν ἐνδοιάζων· ἢ γοῦν, ὡς ὑπ' ὀργῆς ἐξαφθεὶς δικαίας, καὶ τῇ ὑπερβολῇ τῦ Πάθους τῶν περὶ Θεῦ ὀρθῶν λογισμῶν ἐξενηνεγμένος, ὁ γέρων ἕτω παραφθέγγεται Πρίαμος.

Στίχ: 581. . . . . ΟΜΜΑΣ' ΕΜΟΙ ΣΙΝ ΙΔΕΣΘΑΙ, Οὐχ ὡς ἁπλῶς ἀποκτείναντι, ἀλλ' ὡς πρὸ ὀφθαλμῶν τῶν πατρώων τετὶ τολμήσαντι ἐπαρᾶται. Τὸ μὲν γὰρ λῦ κατὰ τὸ πολέμε ἴσως δικαίωμα, τὸ κτεῖναι· τὸ δὲ καὶ τετρωμένε ἤδη, καὶ φεύγοντος, μηδὲ πρὸ ὀφθαλμῶν τῦ γεννήτορος φέσαθαι, τῆς ἐσχάτης λῦ ἀπανθρωπίας καὶ ἀγριότητος.

Στίχ: 583. . . . . ΓΕΝΕΤΗΝ ΤΟΝ ΨΕΥΣΑΙ, κτ. Οὐδὲν τοῖς ἐκ πατέρων ἀγαθῶν γενομένοις ὀνειδισμώτερον ἐπιτοξευθείη νοῦ ἔχουσιν, ἐδὲ θυμοδακέστερον, ἢ ὅτι, ἐκ τοιούτων αὐτοὶ φῦναι ἤκιστ' ἐοίκασιν, ἀλλὰ ψεύδεσθαι φαίνονται τὺς γεννήσαντας. Οὕτω καὶ, Πάτροκλος ἐκτόπως μηνιῶντα ἐπιπλήττει τὸν Ἀχιλλέα παῤ Ὁμ: Ἰλ. Π. 33.

„Νηλεὲς· ἐκ σέο ἄρα σίγε πατὴρ ἦν ἱππότα Πηλεύς. — Οὐδὲ Θέτις μήτηρ· γλαυκὴ δέ σε τίκτε θάλασσα. — Πέτρηί τ' ἠλίβατοι. . . . Ὡσαύτως δὲ καὶ Ἀγαμέμνων δεινῶς Τυδείδε καθήψατο: (Ἰλ. Δ. 352.) τίῶ πρός τὸν τεκόντα ἐπονειδίσας ἀνομοιότητα.

„Οὐ μὲν Τυδεΐ γ' ὧδε φίλον πτωκαζέμεν ἦεν·

Πολλὰ δὲ τῷ πατρὶ πρῶτον ἐπιμαρτυρήσας λόγε τῦ παντὸς ἄξια, εἶτα ἐπὶ τέτοις αὖθις προσέθετο: (Αυτ: στίχ. 400.)

„Τοῖος ἔἳω Τυδεύς Αἰτώλιος, ἀλλὰ τὸν υἱὸν

„Γείνατο, εἰο χέρεια μάχη. . . . . .

Καὶ Ἀθίωᾶ δὲ τῷ αὐτῷ Τυδείδη, ὧδὲν μὲν αἰσχὲς ἐπιμεμφομένη, πρὸς δ' εὐψυχίαν ὑποθήγεσα: (Ἰλ. Ε. στίχ. 800.)

„Ἦ ὀλίγον οἱ παῖδα ἐοικότα γείνατο Τυδεύς.

Στιχ. 584. . . . ΘΕΜΙΝ, ΑΛΛ' ΙΔΕ ΠΙΣΤΙΝ. Πρῶτον μὲν τῇ Θέμιδι προσέσχε· δίκαιον γὰρ ἦν τὸν προσελθόντα γηραιὸν Ἀνακτα, καὶ προσπεσόντα ἱκέτιω ἐυμενῶς προσέῤῥαι, μηδ' ἄπος ἀφίῶαι τῶν δικαίων δεόμενον, ἀλλά καὶ οἰκτεῖραι, ὅ καὶ ἐποίησεν. (Ἰλ. Ω. 515.)

„Αυτίκ'

Τῆμος δ' ἄρ Πρίαμος, κ' εἰ πρῶπτος οἱ ἵξατο πότμος,
Οὐ τλῆ· ἀ γλώσσης. ἀκ ὀργῆς ἔσχετο πάμπαν·
Ἀλλ', ἐπ' ἀταθαλίῃ, ἀνέβωσε, τοσῇ τ' ἀπονοίᾳ,
Σοὶ ῥὰ Θεοὶ (Δίκη αἴλ' ἕνι τῇ ποτε τῶνδε μεμήλοι·)
Τοίας δὴ χάριτάς γε, γέρα δὲ τ' ἐπάξια δοῖεν·
Ὅς ῥέξας φῶτος μόρον ὄμμασ' ἐμοῖσιν ἰδέσθαι,
Καὶ φονίοις λύθροις χρῶσας πατρώϊον ὦπα·
Ἀλλ' ἀ γὰρ, γενέτῳ τὸν ψεύδεαι, ἔσχεν Ἀχιλλεὺς
Οὕτω δυσμενέως Πριάμῳ· θέμιν, ἀλλ' ἰδὲ πίστιν
Ἡιδέσθη ἱκέταο, δέμας νεκρὸν δ' ἐπὶ τύμβῳ
Λύσατο Ἕκτόρεον, καὶ μ' αὖτ' ἐπ' Ἀνάκτορ' ἀνῆκεν.
Ὣς εἰπὼν ὁ γέρων, βέλος ἀβληχρὸν προέηκεν.
Αἶψα τὸ δ' ἐκπροθὲν χαλκῷ ὑπὸ βραγχαλέοιο,
Μὰψ ἄκρος ἐξῆπτο ἀπ' ἀσπίδος ὀμφαλοέσσης.
Τῷ δ' ἄρ Πύρρος· ὁ δ' οὖ γε πιφαύσεαι ἄγγελος ἐλθὼν,
Πηλείδῃ γενέτῃ, ἐμὰ ταῦτα τ' ἀτάθαλα ἔργα.
Τῷδε, Νεοπτόλεμον μέμνησ' ἀγενῆ ὀνομῆναι.

S 2 Νῦν

❁ ❁ ❁

„Αὐτίκ' ἀπὸ θρόνε ὦρτο, γέροντα δὲ χειρὸς ἀνίσχε,
„Οἰκτείρων πολιόν τε κάρη, πολιόν τε γένειον.
Ἔπειτα δὲ καὶ πρὸς τιὼ δοθεῖσαν πίστιν ἀπεῖδε· πάντα γὰρ, ὅσα αὐτῷ καθυπέσχη, ἐξετέλεσεν. (Αυτ. 569.)
„Υἱὸς μὲν δὴτοι λέλυται, γέρον, ὡς ἐκέλευες.
Καὶ πάλιν δὲ: (Αὐτ. σιχ. 699.)
„Ἔσαι τοι καὶ ταῦτα. γέρον Πριαμ' ὡς σὺ κελεύεις.
Εἰς ὅ τέως, καὶ ἐφ' ᾧ τέλεον πληροφορῆσαι: (Αυτ. σίχ. 671.)
„. . . . . Ἐπὶ καρπῷ χεῖρα γέροντος
„Ἕλαβε δεξιτερὴν, μήπως δείσῃ ἐνὶ θυμῷ·
Τοιοῦτον δὲ οἱ ἐσεδέξη τὸν τῆς Θέτιδος, ὑπὸ Διὸς προπεμφθεῖσα Πριάμῳ Ἶρις προεπηγγείλατο, ἐπαίνοις ἐκεῖνον κατακοσμήσασα, καὶ τέτον θαρρεῖν κελεύσα. (Ἰλ. Ω. 171.)
„Θάρσει Δαρδανίδη Πρίαμε Φρεσὶ, μηδέ τι τάρβει·
Καὶ μετ' ὀλίγα: (Αυτ. σίχ. 185.)
„Οὔτ' αὐτός κτενέει, ἄπο τ' ἄλλες πάντας ἐρύξει·
„Οὔτε γὰρ ἐς ἄφρων, ἔτ' ἄσκοπος, ἔτ' ἀλιτήμων·
„Ἀλλὰ μαλ' ἐνδυκέως ἱκέτεο περιήσεται ἀνδρὸς.

Στίχ: 588. . . . . ΧΑΛΚΟΥ ΥΠΟ ΒΡΑΓΧΑΛΕΟΙΟ κτ: τετέχθαι ὑπὸ τῆς χαλκῆς ἀσπίδος, τῷ ἀφεθέντι βέλει πληγείσης, καὶ ἠχλιῶ τινα, ἐχ ἕτως εὔσημον καὶ λαμπρὸν, ἀλλ' ὑποβραγχιῶσαν ἀποδέσης καὶ ἀμαυτέραν· διὰ τὸ μὴ ψιλῶς χαλκήλατον εἶναι τὸ σάκος, ἀλλὰ καὶ ἄλλοις ἅμα σωεκτετάσθαι ἐπιθέμασι, τοῖς τὸν ἦχον ὑπαμαλδύνουσιν.

Στίχ: 589. ΜΑΨ ΑΚΡΟΥ ΕΞΗΠΤΟ. . . . . Πῶς δὲ ἐξῆπτο, ἐρεῖς, εἴπερ ἀνταπεκρέσθη; Ἀλλ' ἀνταπεκρέσθη διὰ τὸ ἀβληχρὸν τῆς τε βαλόντος δυνάμεως, μὴ κεχωρηκὸς ὅσον ἔδει, ὥστε καὶ τὸν θυρεὸν διαρρῆξαι, καὶ τε χρωτὸς καθικέσθαι, καὶ τρῶσαι. Ἔσῃ γεμίω, τῆς ἀσπίδος μόνης τῷ χαλκῷ τε θυρεε προσπαγείσης, ἐπιπολῆς ἀκ εἰς βάθος, ἢ τε δορὸς ὅλε ἀπηρτημένε ἔζωθεν.

Στίχ: 590. . . . . Ὁ Δ' ΟΥ̓Ν ΓΕ ΠΙΦΑΥ̓ΣΕΑΙ . . . . . Μετὰ σαρκασμε ἐπιτετόξευται τὸ ῥηθέν. Σαρκασμὸς δὲ, εἶδος ἐστὶν Εἰρωνείας ἀκ ἄνευ πικρίας. Διαφέρει δὲ τε Ἀστεϊσμε, ὃς χωμῳδία τις ἐστὶν ἀόργητος μετ' εὐτραπελίας. Παραπλήσιος ἦν (φησὶ Κέρδης) ὁ κατὰ τε ἐπεσβόλε Θερσίτε ἐντοξευθεὶς

Jam flammæ tulerint, inimicus & hauſerit enſis.
Non tibi Tyndaridis facies inviſa Lacænæ,
Culpatuſve Paris; Divûm inclementia Divûm
Has evertit opes, ſternit que à culmine Trojam.
Aſpice (namque omnem, quæ nunc obducta tuenti
Mortales hebetat viſus tibi, & humida circum
Caligat, nubem eripiam: tu ne qua parentis
Juſſa time; neu præceptis parere recuſa)
Hîc, ubi disjectas moles, avulſaque ſaxis
Saxa vides, miſtoque undantem pulvere fumum
Neptunus muros, magnoque emota tridenti
Fundamenta quatit, totamque à ſedibus urbem.
Eruit. Hic Juno Scæas ſæviſſima portas
Prima tenet, ſociumque furens à navibus agmen
Ferro accincta vocat.
Jam ſummas arces Tritonia (reſpice) Pallas
Inſedit, nimbo effulgens, & Gorgone ſævâ.
Ipſe Pater Danais animos, viresque ſecundas

Suffi-

❁ ❁ ❁

τοξευθεὶς Σαρκασμὸς, ἰωὶκα ὑπὸ Ἀχιλλέως ἀνῄρηται· ὡς ὑπὸ Κόιντε ἐν τοῖς Παραλειπ. Βιβλ: Α΄. ἐρραψῴδηται: (στίχ. 754.)

„Κεῖσο νιῶ ἐν κονίῃσι, λελασμένος ἀφροσυνάων. (Καὶ στίχ. 762)

„. . . . . Ἀλλ' ἀπ' Ἀχαιῶν

„Ἔρρε, καὶ ἐν φθιμένοισιν ἐπεσβολίας ἀγόρευε.

Στίχ: 593 . . . . . ΩΣ ΦΑΜΕΝΟΣ . . . . Θαυμασὴ τῷ ὄντι ἡ ἐνταῦθα τεχνεργηθεῖσα τῷ Μάρωνι ὑποτύπωσις, ἔτως ἀκριβῶς τὴν εἰκόνα καλλιγραφῆσα, ὡς ἐμὲ γοῦν, ἐχ ὅπως ἀκούοντα ταῖς φαντασίαις τὰ ὑποτυπόμενα ἰδεᾶσθαι, παρόντα δὲ τοῖς πραγμασιν ἄντικρυς εἶναι δοκεῖν, καὶ τῶν γινομένων ἕκαστα καθορᾶν αὐταῖς ὄψεσιν.

Στίχ: 597. ΤΟΥΤΙ ΡΑ ΜΟΙΡΑΩΝ ΠΡΙΑΜΟΤ κτ: Ἐπιφώνημα· ὅπερ κρίσις ἴις ἐστὶ τελευταῖον ἐπὶ τοῖς ῥηθεῖσιν ἐπιφωνεμένη, ἢ τὸ προεκτεθὲν, ἢ προκατασκευασθὲν, γνωμικῶς οἷον ἐπισφραγίζεσα.

Στίχ: 600. ΠΕΡΓΑΜΑ Τ' ΗΡΙΠΟΤΑ κτ: Ἡ Ἀκρόπολις Ἰλίε, Πέργαμος ἰδίως εἴρηται, (καὶ τὰ Πέργαμα·) τὸ παρὰ τοῖς Ἴωσι κοινὸν καὶ προσηγορικὸν ὄνομα ἐξιδιοποιησαμένη. Ἰωνισὶ γὰρ πάσα τὰ ὑψηλὰ, καὶ αἱ πόλεις κοινῇ Πέργαμα λέγονται. (ὅρα καὶ Α΄. Αἰνειάδ. στίχ. 510.)

Στίχ: 601. ΕΘΝΩΝ ΤΕ, ΠΤΟΛΙΩΝ Τ' ΑΣΙΗΣ κτ: Πρίαμος γὰρ ἐχ ὅπως Φρυγίας, ἀλλὰ καὶ Μυγδονίας ἄρξαι ἱσόρηται, ὡς Σέρβιος φησὶ. Μυγδονίας δὲ νοητέον, ἐχὶ τῆς μοίρας ἔσης Μακεδονίας, ἀλλ' ἑτέρας, Φρυγίας τῆς μεγάλης. (Στέφ: Βυζ.)

Στίχ: 602. ΚΟΡΜΟΣ ΕΠ' ΑΚΤΑΙΗΣ . . . . . Ἠπόρηται, πῶς ὁ τὲ ἐν τῇ τῶν ἀνακτόρων αὐλῇ καρατομηθέντος Πριάμε κορμὸς, ἐπὶ τῆς ἀκτῆς ὧδε λέγεται κεῖσθαι; καὶ ὁ μέντις ἔφησεν, ὡς ὁ τὲ βασιλέως νεκρὸς ἐμπαροιχόμενος ἀπὸ τῆς Ἀκροπόλεως ἐς γ' ἐπὶ τὸν Ναύσαθμον κατεσύρη· ἐνθα μηδὲ πυρᾶς ἀξιωθεὶς, μηδὲ χώματος, ἐπὶ πολὺ ἔκειτο κυσὶν ἑλώριον προβεβλημένος οἰωνοῖσι τε πᾶσιν. Οἱ δὲ, ὅτι ἡ τῶν Ἀνακτόρων Αὐλὴ, ψάμμω διαπέπασο ἡ πᾶσα, ἐξ οὗ κατὰ συνεκδοχὴν εἴρηται Ἀκτὴ: On peut ſuppoſer que (la Cour) etoit ſablée; et le Poete par une ſynecdoche ordinaire dans la Poeſie Latine, aura mis rivage pour ſable. Ὁ δὲ, ὅτι τὸ παρὰ Οὐιργιλίῳ Litus, ἐ μόνον εἰς Ἀκτῆς ἂν παραληφθείη σημασίαν, ἤτοι ἠιόνος, ἀλλὰ καὶ ἁπλῶς τὲ ἐδάφες· Ὁ δὲ τελευταῖον, ὅτι πλατυκώτερον τὴν Ἀκτὴν

Νῶϊ θάνε· ὡς φάμενος, βωμὸς ἐπὶ τετρομόωντα,
Εἴρυσ' ὀλιθαίνοντ' ἐνὶ πολλῷ αἵματι ἕος.
Καὶ μὶν λαιῇ χειρὶ κόμης ἕλε, δεξιτερῇ δὲ,
Ὀξὺ ἐρυσσάμενος ξίφος, ἄχρις ἐπώσατο κώπης.
Τετὶ ῥὰ μοιράων Πριάμῳ δὴ ἔπλετο πῆμα,
Τὸν δ' οἵ τ' αὐτὸς πεπρωμένον ἔλλαχε κλῆρον,
Τροίην πρηθομένην ὀφθαλμοῖς οἵσιν ἰδέσθαι,
Πέργαμά τ' ἠριπότα πρηνηδὲς· ὅς ἦν ποτ' ἀπλήτων
Ἐθνέων τε, πτολίων τ' Ἀσίης, βασιλεύτατος αἴης.
Κορμὸς ἐπ' ἀκταίης γε πελώριος ἔκ δ' ἄρα κεῖτο,
Κόρση πασθεῖσ' ἐξ ὤμων τε, πτῶμα τ' ἄκορσον.
Αἰνὴ δ' ἄρ τῆμος πρῶτον περιέσχε με φρίκη,
Ἐξεσῶτα δ' ὑπῆλθε φίλα εἰκὼ γενετῆρος,
Ἥλικα ἦμος ἄνακτα ἀπηνέϊ τρώματι εἶδον
Ψυχιὼ ἐκπνείοντα· ὑπῆλθε Κρέουσα δ' ἐρήμη,
Πόρθησίς τ' οἴκου, τυτθοῖο τε πότμος Ἰούλου.
Τοιγὰρ μ' ἀμφὶ ὅσῃ πέρι μίμνεν πληθὺς ἀνήθρων·
Οἱ δ' ἔλιπον πάντες δὴ τετρυμένοι, καὶ ἔραξε
Σφᾶς ἐπὶ κὰρ ῥίπτων κατὰ ἄλμενοι, ἠὲ ῥὰ οἰκτρῶς
Σώματα τρωθέντα φλοξὶν δηΐοισι παρεῖχον.
Τὼς ἄρα οἰωθεὶς, ἔνθ' Ἐσίη ἔδρανον εἶχε,

Νηῦ

❁ ❁ ❁

τίῳ, ἀντὶ παντὸς τῦ Τρωϊκῦ Πεδίου νοητέον ἐνταῦθα, ἐφ' οὗ ἡ πόλις Τρωὰς ἐφίδρυτο. Καὶ γὰρ καὶ τίῳ Ἀττικίῳ ὄλλῳ Ἀκτίῳ ἐκάλουν (Σεῖδ:) διὰ τὸ τίῳ πλείω μοίραν τῆς χώρας ἐπιθαλάττιον εἶναι. Σεσημείωται δὲ (καὶ Ἐρβίκ. Στεφ. Θησαυρ. Τόμ. Α. σύλ. 95.) τίῳ παραθαλάσσιον χώραν ἁπλῶς Ἀκτίῳ λέγεσθαι καὶ παρ' Ἡσυχίῳ· καὶ ταύτῃ δὴ τῇ σημασίᾳ συχνὰ προχρῆσθαι καὶ τὸν Συγγραφέα Ἡρόδοτον. Ὅπως ἂν σαφῶς τις ὧδε τίῳ εἰρημένῳ Ἀκτίῳ ἐκδέξαιτο, ἐκεῖνο μοι δοκεῖσι καλῶς σημειωσάμενοι οἱ ὑπομνηφότες, ὅτι Μάρων διὰ τὸ ἐπὶ τῆς Τρωϊκῆς Ἀκτῆς ἐκκειμένῳ κεφαλῆς ἄνευ Πριαμίῳ νέκυος, τὸν Πομπηΐῳ νεκρὸν ἀποσκοπήσας ὑπέμνησε, τὸν ἐπὶ τῆς Αἰγυπτιακῆς Ἀκτῆς ἐκταθέντα παραπλησίως ἀκέφαλον. Περὶ δὲ ὥρα Πλέταρχον ἐν τῷ τέλει τῆς Πομπηΐου Βιογραφίας.

Στίχ: 601 ΚΟΡΣΗ ΣΠΑΣΘΕΙΣ ΕΞ ΩΜΩΝ ΤΕ, ΠΤΩΜΑ Τ' ΑΚΟΡΣΟΝ.
Οὐχὶ ἄκορσον εἶπε Μάρων, σῶμα δ' ἄνευ ὀνόματος:
„Avulsum humeris caput, et sine nomine corpus.
Ἐσιγεμλῷ εἰς ταυτὸ φέρον τῷ ἀνωνύμῳ τὸ ἄκορσον· καὶ τοῦτο γὰρ ἐξὶ καθ' ἑκεῖνο, ἄσημόν τε καὶ ἀκλεές, ὡς ἀδιαγνώριστον. Ἐκ γὰρ τῆς κεφαλῆς τίνος τὸ σῶμα διαγνωρίζεται. Ἀλλ' εἴτις γὰρ ἀπορίᾳ ἔχοιτο ἂν τῆς λέξεως, δοίαιτ' ἄν, καὶ τὸ μέτρον σωζόμενον, οὕτως ἀποδέναι τὸ ἔπος:
„Ὤμων ἐκπασθὲν κάρ, σῶμα τ' ἀνώνυμον οἷον.

Στίχ: 613 — 636. ΤΩΣ ΑΡΑ ΟΙΩΘΕΙΣ μτ: Καὶ παρ' Ὁμήρῳ Ἰλ: Δ. 401.
„Οἰωθὴ δ' Ὀδυσεὺς δαϊκλυτὸς, ἀδέτις αὐτῷ
„Ἀργείων παρέμενεν . . . . . .
Ἀλλὰ σημείωσαι, ὅτι τὰ ἀπ' ἐντεῦθεν ἐφεξῆς: 613 — 636. τὰ ἐν μὲν Τοῖς Λατινικοῖς, ἔπη 22. Ἐν δὲ τῇ καθ' ἡμᾶς τῇ δὲ Ἑλληνικῇ μεθερμηνέυσει, 24 ἀριθμέμενα, ἐν Ἀντιγράφοις τισὶν ἀρχαιοτάτοις ἔκ ἐμφέρεται. Φασὶ δὲ παρὰ Τέκνα καὶ Ὀυάρε, τῶν ἐπιτάγματι Αὐγέστε τὰς Ὀυιργιλίε Ποιήσεις ἐκδεδωκότων, τὰ ἐπὶ ταῦτα, ἤτοι κατὰ λίθλω ἀπολειφθῆναι, ἢ καὶ παρ' ἑκόντων ἐξοβελισθῆναι, διὰ τὸ τὰ ἐν αὐτοῖς ἥκιστα ὁμολογεῖν,

Sufficit: ipſe Deos in Dardana ſuſcitat arma.
Eripe, nate, fugam, finemque impone labori.
Nuſquam abero, & tutum patrio te limine ſiſtam.
Dixerat, & ſpiſſis noctis ſe condidit umbris.
Apparent diræ facies, inimicaque Trojæ
Numina magna Deûm.
Tum vero omne mihi viſum conſidere in ignes
Ilium, & ex imo verti Neptunia Troja.
Ac veluti ſummis antiquam in montibus ornum
Quum ferro acciſam, crebriſque bipennibus inſtant
Eruere agricolæ certatim: illa uſque minatur,
Et tremefacta comam concuſſo vertice nutat;
Vulneribus donec paulatim evicta, ſupremum
Congemuit, traxitque jugis avulſa ruinam.
Deſcendo, ac ducente Deo, flammam inter & hoſtes
Expedior: dant tela locum, flammæque recedunt.
Aſt ubi jam patriæ perventum ad limina ſedis,
Antiquaſque domos; genitor, (quem tollere in altos
Optabam primum montes, primumque petebam)

Ab-

❀ ❀ ❀

οἷς ὁ Ποιητὴς μετὰ ταῦτα (ἐν τῷ ς'. Βιβλ:) περὶ τῆς Ἑλένης διέξεισιν. Ἀλλ' ἐπειδὴ γὰρ τῶν εἰρημένων ἐπῶν ἀρθέντων, ἀπαντᾷ τις ἄλλοθεν ἐκ ἐλάσσων δυχέρεια, ἐν οἷσ (μετ' ὀ πολλά) πρὸς τὸν ἰὸν ἡ Κύπρις περὶ Ἑλένης καὶ Πάριδος διεξελεύσεται· Ἄλλως τε, καὶ ἡ περὶ τὰ ἔπη ταῦτα διαπρέπεσα τῆς ςιχερᾳίας ἡδύτης καὶ χάρις, τὸν τῶ Μάρωνος χαρακτῆρα ἐδόλως ψεύδεται· Τελευταῖον δὲ, καὶ ἐδε μία τῶν καθ' ἡμᾶς περιφερομένων ἐκδόσεων (ἣν ἐς τοῦτο ἐγένετό μοι εἰδέναι) τὰ περὶ ὧν ἡ ἀμφισβήτησις ἔπη κατὰ χώραν μένειν ἐᾶσαι ἐκ ἀπηξίωσε· διὰ δὴ τᾶτο ἐδ' ἡμῖν τῳ καθ' ἡμᾶς ταύτῳ τῶν τοιέτων ἐδοξεν ἀποσερῆσαι ἐπῶν, ἅ κριτικωτάτοις ἀνδράσιν ἐξεταθέντα τῆς Μάρωνος Μέσης ἐκ ἀνάξια κέκριται.

Στίχ: 615. ΤΥΝΔΑΡΕΏΝΗΝ ΛΕΥ̓ΣΣΑ κτ: Ὁ μὲν μῦθος, ἐκ Λήδας τῆς Θεςίε, ὑπὸ Κύκνε χήματι τῷ Διΐ συμελθέσης, τῳ Ἑλένῳ γεννᾶ. (Ἀπολλόδ. Βιβλ: Γ. Κεφ: Ι'. Ὁρα καὶ Α. Λίν. στίχ: 700.) Ὁ δ' Αἰνείας ὧδε, ἀπὸ Τυνδάρεω τᾶ νομιζομένε γεννήτορος πατρωνυμήσας, Τυνδαρεώνιν ἐκάλεσε. Καὶ ταύτῳ ἔν φησιν, ἐν μυχοῖς τᾶ τῆς Ἐςίας ἕδες καταφυγέσαν, καὶ λαθεῖν ἐθέλεσαν καθεωρακέναι, τοῖς ὀφθαλμοῖς αὐτῷ ἕκαςα ἐπιμελῶς περιαθρέντι, δαδεχέντος οἷον τᾶ κυκλόθεν ἐκ τῶν ἐμπρησμῶν σελαγίσματος. Ἐποίησε δ' ὁ Μάρων αὐτῳ ἐνταῦθα καὶ μάλα πιθανῶς περικρυπτομένῳ, διὰ τὸ νεμεσητῳ καταςῆσαι καὶ ἀποτρόπαιον, καὶ Φρυξὶν ἐξίσε ἢ Ἕλλησι τῳ ἀλάςορα, ἢ ὡς κοινῳ Ἐριννῦ, ὁπωτέρω τῶν ἐθνῶν περιπέσοι, παθεῖν τὰ ἔσχατα κινδυνεύσαν. Ὁ δέ τοι Καλαβρὸς ἄλλως πως περὶ τῆς Ἑλένης διέξεισιν Παραλειπ. ΙΓ. 385.

„Ὄψὲ δὲ δὴ Μενέλαος, ἐνὶ μυχάτοισι δόμοιο
„Εὗρεν ἑῷ παράκοιτιν, ὑποτρομέουσαν ὁμοκλῇ
„Ἀνδρὸς κηριδίοιο θρασύφρονος· ὅς μιν ἀθρήσας,
„Ὄρμηνε κτανέειν ζηλημοσύνῃσι νόοιο,
„Εἰ μὴ οἱ κατέρυξε βίην ἐρέσσω Ἀφροδίτη· κτ.

Στίχ: 621. ΑἸΨΑ ΔἘ ΔΑΙΕΤΌΜΟΙ ΚΡΑΔἸΗ κτ. Ἐξαφθεὶς ὑπ' ὀργῆς, αὐτίκα (φησὶν) ἀμυνάσθαι τῳ ἀρχέκακον διενοήθη, ἐφ' οἷς τῳ ἐμῳ πατρίδα κακοῖς περιέβαλε τοῖς ἐσχάτοις· ἔτα καὶ τινα κατὰ μέρος, καὶ ταῦτα ἐν ὀλίγα ἐδὲ μικρὰ ἐπενθυμηθεὶς, τὰ τῳ πρᾶξιν αὐτῷ ἀποφανέντα δικαίαν καὶ ἔυλογον, ἐπὶ τέτοις, ὡς ἐν ἔδεα ἀνθυποφορᾶς, καὶ τὰ, ἅτις

ἀνθυ-

Νηῒ εἰν ἀδύτοισι λαθῶσαν ἀπιὼ μυχάτοισι
Τωδαρεώνιω λεῦσσα, ἐπὶ φλογὶ λάμπετο πάντα
Πλαζομένῳ πέρι, ἔν τ' ὀφθαλμοῖς πάντ' ἐπιόντι.
Ἦ γὰρ δυσμενέας δὶ ἀλόντα γε Πέργαμα Τεύκρους,
Καὶ Δαναῶν τίσεις, καὶ ἀποίτα τὸν λίπε μῆνιν
Πτήσσουσ', ὡς Τροίης τ' ἰδὲ πάτρης ἔσα Ἐριννὺς,
Γίγνετ' ἀπ' ὀφθαλμῶν, βωμοῖς ἐχθρὴ δὲ παρῆσο.
Αἶψα δὲ δαίετόμοι κραδίη· ὀργαὶ δ' ὑπὸ βάλλον,
Πατρίδ' ἀμυάσθαι, τίσασθ' ἰδ' ἀλάζορα θῆλυ.
Ἦ ῥά σάως Σπάρτιω, πατρώας θ' ἥδε Μυκήνας
Ὄψεται; ὥστε ἄνασσα τροπαιοχθὸς ἐπανήξει;
Καὶ πόσιν, ἢ δ' οἶκον τε, τοκῆς τε, τέκη τ' ἐπαθρήσει;
Αμφιπυκαζομένη ἀγερώχως, κἀπισοβῶσα

Τ 2 Ἐσμῷ

❁ ❁ ❁

ἀνθυπενεγκεῖν ἔχοι κακίζων τὸ ἔργον, ἀντιπαρίςησι. Πρὸς ἃ δή ταῦτα καὶ ἁπαντᾷ δικανικῶς, ἄριστα τιὼ ςάσιν πραγματευόμενος. Ἀλλ' ἐκεῖνο μάλιςα σημειωτέον, ὅτι καὶ ἀρχόμενος περὶ τούτων εἰπεῖν, καὶ ἐλεγχὼν ἐπὶ ἴσοις, ἐκ θρυψεν ὅτι πάθος ἦν μᾶλλον, ἢ λόγος, τὸ κινεῖν αὐτὸν πρὸς τιὼ ἐπιχείρησιν. Ἀρχόμενος γὰρ ἔφη: (στχ. 634.)

„Λῖψα δὲ δαίετό μοι κραδίη· ὀργαὶ δ' ὑπὸ βάλλον.

Παυόμενος δὲ, (στχ. 651.)

„Ἡδὺ δὲ καὶ κέαρος πλῆσ' αἰθομένοιο ἄμπαυαν.

Στίχ: 623. . . . ΣΠΑΡΤΗΝ, ΠΑΤΡΩΙΑΣ Θ' ΗΔΕ ΜΥΚΗΝΑΣ. Ἑλένη, πατρὶς μὲν ἰδ' κυρίως ἡ Σπάρτα, ἦν γὰρ Λάκαινα· αἱ δὲ Μυκῆναι ἡ πόλις, καὶ αὐταὶ πατρῶαι ἐκ ἀπεικότως ῥηθεῖεν, διὰ τὸν Μυκηναῖον πόσιν, τὸν Μενέλαον· κοινοποιεῖται γὰρ τῇ ἀλόχῳ τὰ τῆ γαμέτε. Ἐντεῦθεν εὖ σωηγορεῖν τῇ πράξει Αἰνείας κατάρχεται ἐφ' ἧν ἔπευδε, λόγες ἐπιφέρων τὰς ὀπωσδὴν πείθοντας.

Στίχ 625. . . . ΤΟΚΕΓΣ ΤΕ, ΤΕΚΗ Τ' ΕΠΑΘΡΗΣΕΙ; Πῶς τέκη; εἰ μόνιω ἔσχεν Ἑλένη θυγατέρα ἐκ Μενελάε τιὼ Ἑρμιόνιω; Ταύτιω γὰρ αὐτή, φησι (παρ' Ὅμ. Ἰλ: Γ. 175.) παῖδα λιπεῖν τηλυγέτιω. Περὶ τέτε δὲ καὶ (ἐν Ὀδυσ. Δ. 12.) ἔτι σαφέςερον γέγραπται:

„ . . . . . Ἑλένη δὲ Θεοὶ γόνον ἐκέτ' ἔφαινον·
„Ἐπειδὴ τὸ πρῶτον ἐγείνατο παῖδ' ἐρατεινιὼ
„Ἑρμιόνιω. . . . . ,

Ἀλλὰ γὰρ Ἡσίοδος ἄλλως, ὃν εἰσάγει μαρτυρῶντα καὶ ὁ Σχολιογραφήσας εἰς τιὼ Σοφοκλέες Ἠλέκτραν (στχ. 541,)

„Ἡ τέκεθ' Ἑρμιόνιω δερικλείτῳ Μενελάῳ·
„Ὁπλότατον δ' ἔτεκεν Νικόςρατον, ἔζον Ἄρηος.

Τοιγαρῶν ἐν ἀμφιβόλοις τὸ πρᾶγμα, ὡς ἑκατερωθεν ἀντιμαρτυρέμενον. Καὶ „γὰρ καὶ Ἀπολλόδωρος (Βιβλ. Γ. Κεφ: ΙΑ.) Μενέλαος, φησὶν, ἐξ Ἑλένης Ἑρμιόνιω ἐγέννησε· καὶ, κατά τινας, Νικόςρατον. Καί τοι οἱ Ὁμήρω ςοιχοῦντες, τὸν Νικόςρατον τοῦτον ἐκ δέλης, φασὶ, πιερίδος τῷ Μενελάω γενέσθαι. Πρὸς ᾧ καὶ τὸν Μεγαπένθιω ἔτι, ὡς Παυσανίας ἱςορήσας φέρεται ἐν τοῖς Κορινθιακοῖς. (Βιβλ: Β. Κεφ. ΙΗ'.) Ἐπεὶ τοίνιω οἱ μεθ' Ὅμηρον ἄλλως περὶ τέτε, ἢ αὐτὸς Ὅμηρος: Posteriores Poëtæ diuersa de Helenæ & Menelai prosapia tradidere. (ὡς ἄριςα καὶ τῷ Σοφῷ σεσημείωται Εὔνιω ἐν τοῖς αὐτοῦ εἰς τὰ Ἀπολλοδώρε Σημειώμασιν.) Ἔςω ἡμῖν καὶ ὁ Μάρων ἐκ τέτων εἷς τῶν μεθ' Ὅμηρον: ὡς ὁ Τέκος, ἀλλὰ Τέκη: Natos: τῇ Τωδαρεώνῃ ἐκ Μενελάε ὑποθέμενος, κἂν τ' ἐξ ἄλλων γυναικῶν Μενέλαος αὐτὰ ἔσχεν, ὡς καὶ ταῦτα τῇ γαμετῇ διὰ τὸν γαμέτιω νομίσας κοινὰ, καθὰ καὶ περὶ τῆς πατρίδος (Ἀνωτ. 623.) ἡμῖν σεσημείωται.

Στίχ:

Iamque aderit multo Priami de ſanguine Pyrrhus,
Natum ante ora patris, patrem qui obtruncat ad aras.
Hoc erat, alma parens, quo me per tela, per ignes
Eripis, ut mediis hoſtem in penetralibus, utque
Aſcaniumque, patremque meum, juxtaque Creüſam,
Alterum in alterius mactatos ſanguine cernam?
Arma, viri, ferte arma, vocat lux ultima victos.
Reddite me Danais; ſinite inſtaurata reviſam
Prælia: nunquam omnes hodie moriemur inulti.
Hîc ferro accingor rurſus, clypeoque ſiniſtram
Inſertabam aptans, meque extra tecta ferebam.
Ecce autem, complexa pedes in limine conjux
Hærebat, parvumque patri tendebat Iülum;
Si periturus abis, & nos rape in omnia tecum:
Sin aliquam expertus ſumptis ſpem ponis in armis,
Hanc primum tutare domum. Cui parvus Iülus,
Cui pater, & coniux quondam tua dicta relinquor?
Talia vociferans, gemitu tectum omne replebat:
Cum ſubitum, dictuque oritur mirabile monſtrum.
Namque manus inter, mœſtorumque ora parentum,
Ecce levis ſummo de vertice viſus Iüli
Fundere lumen apex, tactuque innoxia molli
Lambere flamma comas, et circum tempora paſci.

Nos

❁ ❁ ❁

Στίχ: 655. ΟΦΘΑΛΜΩΝ ΑΓΡΟΥΜΑΙ ΟΜΙΧΛΗΝ. Παραπλησίως καὶ ἡ Παλλὰς πρὸς Τυδείδην (Ἰλ: Ε. 127.)

„Ἀχλὺν δ' οὖν τοι ἀπ' ὀφθαλμῶν ἕλον, ἣ πρὶν ἐπῆεν.

Οὕτω τοιγαροῦν Λινέια ἡ Κύπρις τὰς ὄψεις καθάρασα, σαφῶς ἰδεῖν παρέχε τὰς Θεὰς μονονεχὶ πάντας κατὰ Τρώων φερομένας· ὡς μηδὲν εἶναι λοιπὸν αὐτῷ, ἄλλ' ἢ φεύγειν καὶ σώζεσθαι.

Στίχ: 660 ΤΕΙΧΕΑ ΕΝΝΟΣΙΓΑΙΟΣ κτ: Ποσειδῶν μέν, φησὶν, ὁ Σεισίχθων, ἐξ αὐτῶν βάθρων τὰ τείχη τῆ Ἄξεος περιδονεῖ τε καὶ κατασείει. Καὶ ἡ Εἰκὼν αὐθις ἐξ Ὁμήρου: (Ἰλ: Μ. 27.)

„Αὐτὰρ ὁ ἐννοσίγαιος ἔχων χείρεσσι τρίαιναν
„Ἦγε, καὶ ὄρσε πάντα θεμείλια νύμασι πέμπε
„Φύτρων καὶ λάων. . . . . .

Ἥρα δὲ τὰς Σκαιὰς πύλας, ὧν ἦν ἔφορος ἡ φρουρὸς παραλιπεῖσα, δι' αὐτῶν τὰς προσφιλεῖς Ἕλληνας προσκαλεμένη ἐκ τῶν νηῶν εἰς τὸ Ἄστυ εἰσάγει. Παλλὰς δ' ἡ πολιοῦχος καὶ ἐρυσίπτολις, τῆς Ἀκροπόλεως καὶ αὐτὴ ὑπεξῆλθε, τοῖς ἀπὸ τῆς Γοργονείας κεφαλῆς, ἵν' ἐπὶ ςῆθος φέρει, σελαγίσμασι, τῷ δέει πάντας ἀπολιθοῦσα. Καὶ αὐτὸς δὲ Ζεὺς ὁ πατὴρ πάντων, ἤδη Δαναῶν ὑπερίσταται, καὶ κατὰ Τρώων τὰς Θεὰς πάντας συναγείρει τε καὶ καθοπλίζει. Οὐδὲν ἄρα λείπεται, τέκνον, ἢ φεύγειν.

Στίχ: 675. . . . . ΠΟΣΙΔΗΙΟΝ ΑΣΤΥ. Παρωνύμως ἀπὸ Ποσειδῶνος ἡ Τροία· ὃς Λαομέδοντι θητεύσας τὰ ἐκείνης ἤγειρε τείχη, συμπραξαμένης εἰς τοῦτο καὶ τῆ Ἀπόλλωνος. (ὅρα Ἀπολλόδ. Βιβλ. Α. Κεφ. Ε.)

Στίχ: 676. ΩΣ ΟΤΕ ΔΗ ΜΕΛΙΗΝ ΒΛΩΘΡΗΝ κτ. Τῆ τοιαύδε ἐχ ἅπαξ καὶ Ὅμηρος εἰκόνι ἐχρήσατο, οἷον ὅτε Σιμοείσιον ἐποίησεν ὑὸν Ἀνθεμίωνος ὑπὸ Αἴαντος τῆ Τελαμωνίε ἀναιρεθέντα. (Ἰλ: Δ. 482.)

. . . .

Ὀφθαλμῶν αἰρῆμαι ὁμίχλιω. Σῆς δὲ σὺ μητρὸς
Μήθ' ὑποθημοσώας πτήσσειν, ἐντάλμασι δ' εἴκειν.)
Ἐνταῦθ', ἔνθα βάρεις διαχαυνόσας ἐπιδέρκη,
Πετρῶν τ' ἐκ πέτρας σπαθείσας, ὀρνύμενόν τε
Ὑψόσε ἀμμίγδιω καπνόν πολλῷ κονισάλῳ·
Τέχεα Ἐννοσίγαιος, ἑῇ βριαρῇ γε Τριαίνῃ
Σειθέντ', ἐκ βάθρων κραδάα, ὅλον Ἄξυ δ' ἐρείπει.
Ἥρη αἰνοτάτη δὲ πύλας σκαιὰς ἐνταῦθα
Πρωτεύσσ' ἐπέχει· ὑπὸ δ' ὅπλα σιδήρεα δῦσα,
Μαινομένῃ ϛίφος ἐκ νηῶν φίλον ἐκπροκαλεῖται.
Ἤδη, καὶ πόλεως (ἴδε) Παλλὰς Τριτογένεια,
Ὕψι κάθηται ἐπ' ἄκρης, σελαγίζει Γοργόνι δ' αὐτῇ.
Καί γε πατὴρ μένος ἠδὲ βίιω Δαναοῖσιν ὀφέλλει.
Αὐτὸς Δαρδανίων δὲ, Θεὸς ἅμα, ὦρσε καθ' ὅπλων.
Σπεῦδε τέκος φυγέμεν, πῆμαρ θὲς σοῖσι δὲ μόχθοις.
Οὐ λείψω. Σὲ σάων πατρώϊον ἄξομ' ἐς ἕδας.
Ἦ, καὶ ἐ νυκτὸς κρύψεν ὑπὸ γνόφον ἠερόεντα.
Εἶθαρ δ' ὄμμασ' ἐμοῖς ἔκπαγλα προσώπατα φάνθη,
Δυσμήτεις δὲ Θεοὶ μεγάλοι Τρώεσσιν ἐόντες.
Τόφρα δοάσσατόμοι πᾶσ' Ἴλιος ἔμπυρος ἔμμεν,
Ἀντετράφθαι δ' ἐκ βάθρων Ποσιδήϊον Ἄξυ.
Ὡς ὅτε δὴ μελίιω βλωθρῐῶ κορυφῆς ἐπὶ ἄρευς,
Κοπτομένῐω πυκνοῖσι σιδηρείοις πελέκεσσιν,
Ἔγκειντ' ἄνδρες ἀγρῶται ἐριδμαίνοντες ἐρεῖψαι·
Ἡ δ' ἄρα νευσάξασα, κόμης κλονέητ' ἀπ' ἄκρης·
Ἔς τε κατὰ βραχὺ περ πολλῆς πληγαῖς δεδαμνῖα
Ὑσάτιον δέπησε τέως· αὐτὰρ κατιδσα,
Ὅσσ' ἔσκ' ἀντιάσαντα θαμειὰ κατέρυσε δένδρη·

V 2 Τοι-

* * *

„ . . . Ὁ' δ' ἐν κονίῃσι χαμαὶ πέσεν, Αἴγειρος ὡς,
„Ἥ ῥὰ τ' ἐν εἰαμενῇ ἕλεος μεγάλοιο πεφύκει κτ:
Καὶ ὅτε Ἄσιον ὑπὸ Ἰδομενέως· (Ἰλ. Ν. 389.)
„Ἤριπε δ', ὡς ὅτε τις δρῦς ἤριπεν, ἢ ἀχερωΐς,
„Ἠὲ πίτυς βλωθρὴ, τὴν τ' ἔρεσι τέκτονες ἄνδρες
„Ἐξέταμον πελέκεσσι νεήκεσι, νῆιον εἶναι.
Καὶ ὅτε Σαρπηδόνα ὑπὸ Πατρόκλε, (Ἰλιαδ. Π 482.) ὡσαύτως. Ἔνθα Μακρόβιος (Κρονικ. Βιβλ. Ε. Κεφ: ΙΑ.) ἐπισήσας, τὴν παρ' Ὁμήρῳ δρυῶ, ἢ Πίτυν, ἐυχερῶς καὶ ἀπόνως, φησὶν, ἐκτετμῆθαι καὶ κατηρίπεναι, τῆς παρὰ Μάρωνι μελίης ἐνταῦθα, μετα πολλῆ πόνε, πολλαῖς τε πληγαῖς, καὶ ὑπὸ πολλῶν, καὶ μάλα μόλις καθαιρεμένης. Διὸ καὶ ὑπὲρ τὴν Ὁμηρικὴν τάττει τὴν παραβολὴν τὴν Μαρώνειον. Ἀλλ' ὡς ἐξ Ὠββεσίε σεσημείωκεν ὁ Ἄγγλος Πώπιος, ἑκατέρα τῶν εἰκόνων ἐπίσης, παρὰ τὴν διαφορὰν τῶν ὑποκειμένων, προσμαρτυρητέον ἦν τὸ εὐδόκιμον. Τῷ μὲν γὰρ, πόλιν πρέκειτο παραιῆσαι μεγάλιω τε καὶ ὀχυρὰν ἐννάετες μὲν πολιορκεμένῐω τε καὶ πολεμεμένῐω, καὶ κατὰ βραχὺ γινομένῐω σιδήρε τε καὶ πυρὸς παρανάλωμα, τῷ Μάρωνι. Ὁμήρῳ δ' ἐν ἐκείνοις, ἐδὲν ἄλλο ὑπέκειτο, ἢ ἄνδρα ἕνα τινὰ δρυὶ ὑποτυπῶσαι δαμέντα, καὶ καθάπαξ κατὰ χθονὸς τανυθέντα, Σαρπηδόνα τυχὸν, ἢ Σιμοείσιον. (Ὅρα Σαμ. Κλάρκ. ἐν ταῖς εἰς τὰ Ὁμήρ. Σημειώσ. Ἰλ: Δ. ϛίχ. 482.)

Στίχ:

Nos pavidi trepidare metu, crinemque flagrantem
Excutere, & ſanctos reſtinguere fontibus ignes.
At pater Anchiſes oculos ad ſidera lætus
Extulit, & cœlo palmas cum voce tetendit.
Juppiter omnipotens, precibus ſi flecteris ullis,
Aſpice nos; hoc tantum: &, ſi pietate meremur,
Da deinde auxilium pater, atque hæc omina firma.
Vix ea fatus erat ſenior, ſubitoque fragore
Intonuit lævum; & de cœlo lapſa per umbras
Stella facem ducens, multa cum luce cucurrit.
Illam, ſumma ſuper labentem culmina tecti
Cernimus Idæâ claram ſe condere ſylvâ,
Signantemque vias: tum longo limite ſulcus
Dat lucem, & late circum loca ſulphure fumant.
Hîc vero victus genitor ſe tollit ad auras,
Affaturque Deos, & ſanctum ſidus adorat.
Jam jam nulla mora eſt; ſequor, & qua ducitis, adſum.
Dii patrii ſervate domum, ſervate nepotem:
Veſtrum hoc augurium, veſtroque in numine Troja eſt.
Cedo equidem, nec, nate, tibi comes ire recuſo.
Dixerat ille: & jam per mœnia clarior ignis
Auditur, propiuſque æſtus incendia volvunt.
Ergo age, chare pater, cervici imponere noſtræ
Ipſe ſubibo humeris, nec me labor iſte gravabit:
Quo res cunque cadent, unum & commune periclum,
Una ſalus ambobus erit: mihi parvus Iülus
Sit comes, & longe ſervet veſtigia conjux.

Vos

❁ ❁ ❁

Στίχ: 683. . . . . ΣΥΝ ΔΕ ΘΕΩΙ ΑΥΤΗΙ ΜΕ ΑΓΟΥΣΙ Ὡς μὲν Οὐάρρων παρέδωκεν, εἰς πρὸς τοῖς ἄλλοις τῶν Τρώων ἦν καὶ Αἰνείας, οἷς περ ὑπ' Ἀχαιῶν ἐπὶ τῆς ἁλώσεως ἐπετράπη, ἀπελθεῖν ἐλευθέρεις, σωσεκομιζομένοις καὶ τῶν οἴκοι ὅ, τι καὶ δόξειεν. Ἀλλὰ τῶν μὲν ἄλλων, χρυσόντε καὶ ἀργυρεν, καὶ τὰ παρ' αὐτοῖς τιμιώτατα κειμήλια ἐπισαττομένων, Αἰνείας τὸν γεννήτορα μόνον ἐφρόντισεν ὑπεξαγαγεῖν τόν αὐτῷ ὄθεν καὶ τῷ τρόπῳ οἱ Ἀχαιοὶ τον Ἄνδρα ἀγάμενοι, ἐνέδωκαν αὐτῷ καὶ δεύτερον ὁμοίως τῇ ἀδεία προχρήσασθαι. Ὁ δὲ, Θεὸς τὲς Ἐφεσίας λαβεῖν ἐπέδαεσε. Καὶ τέτῳ δὲ αὐτον ἔτι κ μᾶλλον ὑπερθαυμάσαντες Ἕλλωες, κ τὰ λοιπὰ σύμπαντα, ὅσα ἂν ἐθέλοι, ἐπέτρεψαν ἐκφορῆσαι τῷ οἴκῳ, μηδενὸς ὅλως κωλύοντος. Καὶ ταῦτα μὲν Οὐάρρων κατὰ τὸν Σχολιαςὴν Σέρβιον. Ἐν οἷς ἐκεῖνο μόνον θαυμάζειν ἔπεισι, πῶς Ἀγχίσης, ὃν εἰκὸς ἦν ἕνα εἶναι τῶν ἀπολυομένων, εἰς νωτιαῖον ἔπεσα ταχθεὶη ἐκφόρημα; Ἀλλὰ γάρ ὁ Μάρων ἡμὶν ἐχ ἕτω· δυνάμει δὲ θειοτέρᾳ, καὶ τῷ ὀλέθρῳ καὶ τῆς ἁλώσεως ἐποίησε περισωθῆναι τὸν Ἥρωα, ἀσινῆ καὶ ἀλώβητον διεξελθόντα ὑπὸ τῇ Θεῷ ἡγεμένι, ἔτε τῶν παρὰ τῶν πολεμίων βελῶν αὐτῷ καθικνεμένων, ἔτε τῶν τῷ ἐμπρησμῷ φλογῶν ἁπτομένων, γέρας τῦτο κομισαμένε εὐσεβείας τε καὶ ὁσιότητος δικαιότατον.

Στίχ: 689. . . . ΗΝΑΙΝΕΤΟ ΕΚΠΕΡΙΕΜΜΕΝ, Τετὶ, φησὶν ὁ Κέρδης, ἐκ τῶν Εὐριπίδε Τρωϊάδων ἀπέξεσαι. ἔνθα μετὰ τὶν Ἰλίε ἐκπόρθησιν ἡ γηραιὰ Ἑκάβη τὸ ζῆν παραιτεῖται.

„Φεῦ

Τοιγάρτοι κατέβιω· σὼ δὲ Θεῷ αὐτῇ με ἀγάσῃ,
Μεσσηγὺς ῥὰ κιὼν, ὑπάλυξα, πυρός τε βελῶν τε.
Ἔγχεα γὰρ παρέπιπτε, φλόγες δ' ἀπ' ἐμεῖο ἐχώρων.
Ἀλλ' ὅτε δὴ ϛαθμὸς ἔδρης ἱκόμιω πατρώης,
Ἀρχαίης τε δόμης, τόθ' ὁ γεννήτωρ (πρό γε πάντων
Τὸν ποθέεσκον ἄγειν μετὰ ἕρεα ὑψικάρηνα·)
Τροίης περθομένης, ἠναίνετο ἐκπεριέμμεν,
Ἠδ' ἀλάλησθαι. Ὦμες, ἔφη, τοῖς ἄρκιον αἷμα,
Ἔμπεδος ἐν δὲ βίη ἀκμαίῳ σώματι θάλλει,
Ὦμες δὴ φύζης μνήσασθε· σεύδετε δ' ὦκα.
Εἰ γὰρ ἔτι ϛωὸν με ὀλύμπιοι ἤθελον εἶναι,
Τάς μοι ἕδρας κε σάωσαν. ἅπαξ ἅλις αὐτοὶ ὀλέθρων,
Καὶ πέρι, γευσάμεθα, πτωθὲν θ' ὑπὲρ Ἄξυ βιῶμεν.
Ὧδε ῥὰ κείσομαι. Ὧδε δέμας προτὶ εἶπατ' ἰόντες.
Αὐτὸς χειρὶ μόρον τέτμω· Δαναὸς τ' ἐλεήρας,
Εἰναρα ἕξει· ἡ δὲ τ' ἀτυμβέα ῥάδιον ἔμμεν.
Ἤδη καὶ προπάροιθεν ἀπεχθὴς ἦα Θεοῖσιν,
Ἀχρεῖος τε ἔνης ἐπ' ἔνοις πολλὰς ἐπιέλκω,

Ἑξ

❁ ❁ ❁

„Φέρ' εἰς πυρὰ δράμωμεν· ὡς κάλλιϛά μοι,
„Σὼ τῇδε πατρίδι κατθανεῖν πυρσμένῃ.

Στίχ: 690. Ἠδ' ἈΛΑΛΗΣΘΑΙ . . . Ἤτοι, ἐξορον τῆς πατρίδος γῆς, πλανήτιω ὧδε κἀκεῖσε περιφέρεσθαι.

Στίχ: Αὐτ: . . . ΤΟΙΣ ΑΡΚΙΟΝ ΑΙΜΑ. Ἄρκιον δὲ, ἐμόνον τῷ πλήθει· (Φύσει γὰρ πλεονάζει μὲν τοῖς ἠβῶσι τὸ αἷμα, τοῖς δὲ προηγμένοις ταῖς ἡλικίαις κατὰ βραχὺ ὑπελαττονεῖται.) ἀλλὰ καὶ τῷ πνεύματι, καὶ τῇ διαύσει, ζωηρότεροντε ὄν καὶ ἀκμαιότερον τοῖς ὁπλοτέροις, ἐχ ὥϛε ζιῶ μόνον, ἀλλὰ καὶ ἐνεργεῖν ἱκανῶς τε καὶ ἀποχρώντως ἔχειν.

Στίχ: 693. ΕΙ ΓΑΡ ΕΤΙ ΖΩΟΝ ΜΕ ΟΛΥΜΠΙΟΙ κτ: Οὐκ εἶπεν εἰ Θεοί· εἰσὶ γὰρ καὶ Θεοὶ ὑποχθόνιοι, οἷς μᾶλλον ἴσως ἐϛὶν ἡδὺ καὶ κεχαριϛμένον τῶ τὸν ἐπὶ γῆς ἀέρα βιῶντας τὲς βροτὲς παθαι, τὸ παῤ αὐτοῖς διατρίβειν καὶ μένειν θνήσκοντας.

Στίχ: 694. . . . . ΑΠΑΞ ΑΛΙΣ Α'ΥΤΟΙ ΟΛΕ'ΘΡΩΝ, Ἐαλώκει γὰρ καὶ πρότερον ἄλλοτε ὑπὸ Ἡρακλέους ἡ Τροία, (ὅρα Ἀπ. Μοδ: Βιβλ: Β'. Κεφ: ϛ'.) ἧς δήπε ἁλώσεως, παρὰ τὲς περὶ τιὼ ποίησιν, ἔτι καὶ ἄλλοι Συγγραφεῖς μέμνιωνται· οἷον ὁ Ἁλικαρνασ. Διονύσ. (Ἐν τοῖς περὶ τῆς Ῥωμ: Ἀρχαιότ. Βιβλ: Α'.) Καὶ Ἀριϛείδης (ἐν τῷ Ῥοδιακῷ) ὃς ἁλῶσα, φάσκων, ἅπαξ μὲν ὑπὸ Ἡρακλέους, δεύτερον δὲ ὑπὸ Ἑλλήνων. Ἐπὶ γοιῶ τῆς ἁλώσεως ἐκείνης τῆς πρώτης, ἐπειδὴ Ἀγχίσης ζῶν διαγέγονεν, ἅλις ἔχειν αὐτῶ (φησὶ) τὸ ἅπαξ μετὰ τιὼ τῆς Πατρίδος ἁλῶναι ἐπιζῆσαι, μηδ' ἀνέχεθαι ζῶντα περιεῖναι καὶ νιῶ τὸ δεύτερον.

Στίχ: 696. . . . ΩΔΕ ΔΕ'ΜΑΣ ΠΡΟΤΙ' ΕΙΠΑΤ' ΙΟ'ΝΤΕΣ. Ὧδε μὲ τῶ νεκρῶ κειϲομένῳ, τιὼ ὑϛάτιω προσφθεγξάμενοι ῥῆσιν νιῶ ἅπιτε. Περὶ δὲ τὸ ἔθος τῆς ἐπιτελευτίης, ἢ ἐπικηδείε ταύτης προσρήσεως, ὅρα ἐν τῷ Α'. τῆς Αἰν: τιὼ ἐν ϛίχ. 237. Σημείωσιν.

Στίχ: 697. ΑΥΤΟ'Σ ΧΕΙΡΙ ΜΟ'ΡΟΝ ΤΕ'ΤΜΩ. Αὐτόχειρ ἐμαυτόν αὐτὸς διαχρήϲομαι. Ἔϲαι δὲ τυχὸν καὶ τῶν Δαναῶν, ὅϛτις τὸ τοι χαριέϲται κατοικτείρας, καὶ καθυπεργήϲει, ἢν αὐτὸς ἐγὼ ἀποδειλιάσω· ὃς δὴ καὶ μισθὸν τῆς πράξεος τὰ περὶ ἐμὲ ἔναρα κομιεῖται. Ὡς εἶγε καὶ ἄταφον ὑπεριδὼν αὐτὸς ἀντιπαρέλθῃ οὐδὲν ἔργον ἀτυμβῆ κεῖθαι. Τῶτο δὲ κατ' Ἐπίκηρον Φασίν, ὁ γέρων ἐκχρέμπτεται παρὰ Μάρωνι, τὸν διδάϲκοντα „ταφῆς τὸν σοφὸν φροντίζειν ὡς ἥκιϲα. (Διογ. Λαέρτ. εἰς τὸν Βίον Ἐπικ.)

Vos famuli, quæ dicam, animis advertite veſtris.
Eſt urbe egreſſis tumulus, templumque vetuſtum
Deſertæ Cereris juxtaque antiqua cupreſſus,
Religione patrum, multos ſervata per annos;
Hanc ex diverſo ſedem veniemus in unam.
Tu, genitor, cape ſacra manu, patrioſque Penates:
Me bello è tanto digreſſum, & cæde recenti,
Attrectare nefas, donec me flumine vivo
Abluero.
Hæc fatus, latos humeros, ſubjectaque colla
Veſte ſuper, fulvique inſternor pelle leonis,
Succedoque oneri. Dextræ ſe parvus Iülus
Implicuit, ſequiturque patrem non paſſibus æquis.
Pone ſubit conjux, ferimur per opaca locorum:
Et me, quem dudum non ulla injecta movebant
Tela, neque adverſo glomerati ex agmine Graii:
Nunc omnes terrent auræ, ſonus excitat omnis
Suſpenſum, & pariter comitique onerique timentem.
Jamque propinquabam portis, omnemque videbar
Evaſiſſe viam, ſubito cum creber ad aures
Viſus adeſſe pedum ſonitus, genitorque per umbram
Proſpiciens, nate, exclamat, fuge nate, propinquant;
Ardentes clypeos, atque æra micantia cerno.
Hîc mihi neſcio quod trepido male numen amicum

Con-

❁ ❁ ❁

Στίχ: 702. ΡΙΠΗΙ ΜΕ ΧΡΩΣΕ ΣΚΗΠΤΟΥΟ ΔΕΜΑΣ. . . . Μεμύθευται γὰρ κεραυνόβλητοι ὑπὸ Διὸς τὸν Ἀγχίσιν γενέσθαι, κατακαυχησάμενον τῇ Ἀφροδίτῃ σωσυνηθίᾳ, καὶ ἐξ αὐτῆς τεκνώσασθαι. Τοῦτ' γὰρ αὐτῷ προαπηγόρευτό τε καὶ προηπείλητο· διὸ καὶ δίκας ἔτισε μὴ ἐχεμυθήσας, ὡς πάρεσι μαθεῖν ἐκ τῶ εἰς Ἀφροδίτιν ὕμνω. (στίχ. 287. κτ:)

„Εἰ δέ κεν ἐξείπῃς, καὶ ἐπεύξεαι ἄφρονι θυμῷ
„Ἐν φιλότητι μιγῆναι ἐϋστεφάνῳ, Κυθερείῃ,
„Ζεύς σε χολωσάμενος βαλέει ψολόεντι κεραυνῷ. . . .
„Ἴσχεο, μηδ' ὀνόμηνε, θεῶν δ' ἐποπίζεο μῆνιν.

Ἀλλὰ γὰρ τὸν σκῆπτὸν (φασὶ) παρέτρεψεν ἀπ' αὐτῶ ἡ Κύπρις κατελεήσασα, ὡς ἐν χρῷ μόνον πυρποληθέντα, ἀθενῆ παρ' ὅλον τὸν βίον διαγενέσθαι, καὶ πάρετον.

Στίχ: 703. . . . ΤΟΙΣ ΔΟΞΑΣΙΝ ΕΜΠΕΔΟΣ ΕΣΚΕΝ. Τὸν παρὰ τῷ Σοφοκλεῖ Φιλοκτήτιν ὁ Κέρδης ἀντιπαραβάλλει Ἀγχίσῃ, ἰσχυρογνωμονοῦντα ἐπίσης καὶ λέγοντα:

„Οὐδέποτ' οὐδέποτ' ἴσθι· τὸ δ' ἔμπεδον.
„Οὐδ' εἰ πυρφόρος ἀστεροπητὰς,
„Βρονταῖς αὐταῖς μ' εἴσι φλογίζων.

Στίχ: 705. ΚΑΙ ΣΥΜΠΑΣ ΓΟΥΝΟΥΜΕΘΑ ΟΙΚΟΣ. Σωεκδοχικῶς, ἀντὶ τῶν ἐν τῷ οἴκῳ συμπάντων ὁμοῦ.

Στίχ: 711. . . . ΕΞΕΙΝ. . . Τοῦτέστι δωνήσεσθαι. Ὃ μείζονα ἔχει τὴν ἔμφασιν τοῦ θελήσειν. (Σημ. Σέρβ.)

Στίχ: 712. . . . ΕΠΟΣ . . . ΕΚΠΕΣΕ Ὡς τὸ Ἰλιάδ. Δ. 350.

„ . . . Ποῖόν σε ἔπος φύγεν ἕρκος ὀδόντων;

Στίχ.

Ἐξ οὗ μηνιόων γε πατὴρ ἀνδρῶν τε Θεῶν τε,
Ῥιπῇ μοι χρῶσε σκηπτοῖο δέμας ψολόεντος.
Τοῖ' ἀναπεμπάζων, τοῖς δόξασιν ἔμπεδος ἔσκεν.
Οἱ δέ γε δαιρυχέοντες, ἐγώ τ', ἄλοχός τε Κρέουσα,
Ἀσκάνιός θ' ἅμα, καὶ σύμπας γυνόμεθα οἶκος.
Ὄφρα σοὶ οἱ γενέτης μὴ πάντ' ἀντρέψ' ἐθελήσῃ,
Μηδ' ἐπειγέσῃ μοίρῃ ἐπιδοίη ἑκών γε.
Ἀλλ' ἀραρὼς μένεν οἷς ἔφατ', ἀπριξ δ' ἔχετο ἕδρης.
Αὖτε δ' ἐγὼ θανέειν ἐπὶ ὅπλα ταλάντατος ἶξα·
Ἦ τίνε φρασσάμιω; τίνα δ' ἄλλω δαίμον' ἐλοίμιω;
Ἦμ' ἀποχωρῆσαι, πάτερ, ἔξειν, καὶ σὲ λιπέσθαι
Ἔλπεο; τετὶ δ' ἔπος πατρῴῳ ἔκπεσε χείλεος;
Εἰ μηδέν τι τόσης πόλεως ἐξῆς περιείναι
Ἔναδεν οὐρανίοις, μενοεικὲς σοί τε δὲ τοῦτο·
Κ' ἄλλην ἀποιχομένῃ Τροίῃ καλὸν σωλέσθαι·
Καὶ Σέο, καὶ σῶν, τῷ δε πύλη ἀνέωκται πότμῳ,
Ἠνὶ μεθ' αἵματα τὰ Πριάμιο ἥξει δὴ Πύῤῥος,
Τία τε πρὸς γενέτιο βωμοῖς, γενέτιω τ' ἐναρίξων.
Τῷ ῥὰ πυρός τε βελῶν τε μ' ἐρύσσαο Πότνια μῆτερ,
Ὄφρα ἴδω δηίους μυχάτοισι δόμων ἀδύτοισιν·
Ἀσκάνιόν τε, τοκῆα τ' ἐμὸν, ξιὼ δ' ἄυτε Κρέουσαν,
Κατασφαττομένους, φεῦ! ἄλλον ἐφ' αἵματι ἄλλο;
Ὅπλ' ἄνδρες· φέρθ' ὅπλα· φάος τό με κέκλεται λοίσθον.
Ἐκδοτε δὴ Δαναοῖσιν· ἐᾶτ' ἀνεπόψομαι Ἄριω.

## Χ ω

Ὀυ

Στίχ: 716. . . . ΤΩΙΔΕ ΠΥΛΗ ΑΝΕΩΚΤΑΙ ΠΟΤΜΩι Ἐν ἄλλοις Κώδιξιν ἀναγινώσκεται ἐπιῤῥηματικῶς: non iſti, ſed iſthic: (οὐχὶ τῷδε, ἀλλὰ ὧδε.) Ἀλλ' ὁπώτερον ἂν καὶ θείης, καὶ τὸ μέτρον τε ἔπες ἐπίσης, καὶ ἡ διάνοια ἐυσθένει.

Στίχ: 717. . . . ΗΞΕΙ ΔΗ ΠΥΡΡΟΣ, Ἔδοξεν ὁ Μάρων ἐνταῦθα πρὸς τὸ Εὐριπίδειον ἀπιδεῖν ἐκεῖνο, τὸ ἐν τῇ Ἑκάβῃ.

„Ἥξει δ' Ὀδυσσεὺς, ὅσσον ἐκ ἤδη,
„Πῶλον ἀφέλξων σῶν ἀπὸ μαζῶν,
„Ἕκτε γεραιᾶς χειρὸς ἁρμήσων.

Στίχ: 718. ΤΙΑ ΤΕ ΠΡΟΣ ΓΕΝΕΤΟΥ. . . Καθάπερ ἓν καὶ τὸν Πολίτιω πρὸς τὸ Πριάμε, καὶ Πρίαμον δὲ αὐτὸν μετ' ἐκείνον, καὶ ἐπ' ἐκείνω. (Ὄφρα ἄνωτ: 593.) Ἐπιτείνει σαφῶς τὸ δεινὸν Αἰνείας, καὶ ἐκ τῆς πρὸ βραχέος συμβάντος, τὸ εἰκὸς, ὅσον ἐκ ἤδη, συμβήσεσθαι ὑποβάλλει, ἐφ' ᾧ πεῖσαι Ἀγχίσιω, καὶ ἑαυτὸν, καὶ τὰς ἄλλας τὰς αὐτοῦ, διὰ τῆς φυγῆς ὅσον τάχος σώζοντα σώζεσθαι.

Στίχ. 719. ΤΩ ΡΑ ΠΥΡΟΣ ΤΕ ΒΕΛΩΝΤΕ κτ: Τοσαύτη (φησὶ Σκαλίγερος Βιβλ: Α. Κεφ: Κς'.) τῆς κατὰ τὸν καλούμενον Ἀποσροφὸν ἐρωτήσεως ταύτης ἡ δύναμις, ὡς (ὑφάλεσθαι) ſubſilire, ποιεῖν τὸν ψυχικὸν τὸ ἀκόντος. Νηδία τῷ Κριτικῷ καὶ αὐτὸς σωτίθεμαι, ὅτι δὴ καὶ σωδιατίθεμαι. Ἀλλ' ἐμοὶ γὰρ (ἵν' ὃ σωαίθομ' ἐξείπω') ἡ ἐπὶ τῇ πρώτῃ ἐρωτηματικῇ Ἀποσροφῇ περισπαγομένη δευτέρα, ἐπιτακτική τε καὶ κελευσικὴ ἔσα, σὺν ἀπονοίᾳ δυσοργέτ τινι καὶ παραβόλῳ, ἀκμιόν τε καὶ τόνον ἔτι σμικρὸν τεμῷ τῆς ψυχῆς προσέθηκεν ἅλματι:

„Ὅπλ'

Confuſam eripuit mentem: namque avia curſu
Dum ſequor, & nota excedo regione viarum,
Heu miſero conjux fato-ne erepta Creüſa
Subſtitit, erravit-ne via, ſeu laſſa reſedit,
Incertum: nec poſt oculis eſt reddita noſtris.
Nec prius amiſſam reſpexi, animumque reflexi,
Quam tumulum antiquæ Cereris, ſedemque ſacratam
Venimus: hîc demum, collectis omnibus, una
Defuit, & comites, natumque, virumque fefellit.
Quem non incuſavi amens hominumque, Deorumque?
Aut quid in everſa vidi crudelius urbe?
Aſcanium, Anchiſemque patrem, Teucroſque Penates
Commendo ſociis, & curvâ valle recondo,
Ipſe urbem repeto, & cingor fulgentibus armis.
Stat caſus renovare omnes, omnemque reverti
Per Trojam, & rurſus caput objectare periclis.
Principio muros, obſcuraque limina portæ,
Quà greſſum extuleram, repeto; & veſtigia retro
Obſervata ſequor per noctem, & lumine luſtro.
Horror ubique animos, ſimul ipſa ſilentia terrent.
Inde domum, ſi forte pedem, ſi forte tuliſſet,
Me refero. Irruerant Danaï, & tectum omne tenebant.
Ilicet ignis edax ſumma ad faſtigia vento

Vol-

❁ ❁ ❁

„Ὅπλ' ἄνδρες φέρθ' ὅπλα· φάος τόμε κέκλεται λοῖθον.
„Ἔκδοτε δὴ Δαναοῖσιν· ἐᾶτ' ἀνεπόψομαι Ἄρηι.

Ἔκδοτε τὸμὸν αἷμα διψῶσιν· ἐᾶτε, μὴ δὴ κωλύετε πάντως ἐκ ἄτιτος θανεῖμαι.

Στίχ. 729. ΤΥΤΘΟΝ Δ' ἸΣΧΟΜΕΝΗ ΔΕΙΚΝΥ κτ: Ἐδείκνυε τῇ χειρὶ Ἴλιον τὸ παιδίον ἡ Κρέουσα τῷ, πατρὶ Ἀνείᾳ παριοῦσα, ἐ γὰρ ἀγκαλοφορεῖσα, ὡς Ἀνδρομάχη τὸν Ἀστυάνακτα προσῆγεν Ἕκτορι. (Ἰλ: Ζ. 400.)

„Παῖδ' ἐπὶ κόλπον ἔχουσ', ἀταλάφρονα νήπιον αὖτως.

Οὐδὲ γὰρ Ἀσκάνιος ἐνηπίαζεν ὡς Ἀστυάναξ, εἶγε καὶ τῷ πατρὶ τιὼ ὁδὸν συμβαδίζειν οἷός τε ἦν, τῇ χειρὶ μόνον, ὅπη παρείκοι, ἀγόμενος.

Στίχ. 730. ΑΙΚ ΕΡΡΕΙΣ ΕΠ ΟΛΕΘΡΟΝ, Σαφὲς τὸ δίλημμα καὶ ἀναπόδρασον. Εἰ μὲν, ἀπεγνὲς τὸ σάζεσθαι, σπεύδεις ὀλέθαι, τί καὶ ἡμᾶς ἐ συμπαραλαμβάνεις ἐπὶ τὰ ὅμοια, τὲς ζιῶ σὲ ἄνευ μὴ δυναμένες; Εἰ δέ τις ἐκ τῶν ὅπλων ἐλπὶς περιεῖναι, οἷς καθώπλισαι, τί ἐχ ὧδε μένεις, ὑπὲρ σεαυτὲ ἅμα καὶ τῶν σῶν τὲ φύσαντος, τὲ φιῶτος, τῆς σῆς (ἦποτ' εἰω.) ἀκοίτης ὑπεραμυνόμενος; καλῶς δ' ἑαυτιὼ μετὰ τὲς λοιπὲς καταλέγει ἐχάτιω, ἧττονα ὑπὲρ αὐτῆς, ἢ τῶν ἄλλων, ποιεῖσθαι δεικνῦσα τιὼ πρόνοιαν.

Στίχ. 736, . . . . . ΕΣΩΝ ΤΟΚΕΩΝ ΜΕΤΑ ΧΕΙΡΕΣΙ, ΧΕΙΛΕΣΙ Τ' ΟΝΤΙ. Περιβαλλομένων δηλονότι αὐτὸν, καὶ καταφιλέντων.

Στίχ. 738 ΝΑΜΑ ΦΑΟΤΣ ΩΠΤΑΙ κτ: Παρὰ τοῖς παλαιοῖς, τὸ πῦρ, ὃ ἄν ἐξαίφνης ἐπὶ κεφαλῆς τινὶ ἐπιλάμψειεν, εἰς τεκμήριον ἐτίθετο τῆς ἐσομένης τῷ ἀνθρώπῳ δυναστείας καὶ δόξης, ἢ δυνάμεως. Ἐκράτει δὲ χεδὸν παρὰ πᾶσιν ἡ τέκμαρσις, καὶ γὰρ καὶ Πλάταρχος, ὁ ἐν πολλοῖς κρείσσων δεισιδαιμονίας γενέθαι δόξας, σημεῖον τῦτο ἔλεγε χρηστὸν εἶναι ἐπὶ ἀπροσδόκητον ἡγεμονίαν· (ἐν τῷ περὶ τῆς Ῥωμ. Τύχ.) οἷον τι καὶ Σερβίῳ Τύλλῳ ἐπώφθη, τῷ ἐξ Ἀΐχμαλώτιδος ἐν οἴκῳ Ταρκυινίε τεχθέντι. καθεύδοντι

Ὄυ πάντες τῦτ' ἦμαρ, ἄτερθε θανόμεθ' ἀμιώης.
Ἔνθ' ἄν δεξιτερὼ μὲν ἐφώπλισα χεῖρα σιδήρῳ,
Λαιὼ δ' ἄρσα σάκει, ἔξω δ' ὤρυσα δόμοιο.
Ἠνὶ δ' ἀκοίτη ἀμφὶ ποδῶν μευ δράξατ' ἐν ὐδῷ,
Τυτθὸν δ' ἰχομένη δείκνυ γενετῆρι Ἴλον.
Αἶψ' ἔρρεις ἐπ' ὄλεθρον, ἄμ ἡμέας αἰρ ἐπὶ πάντα·
Εἰ δὲ τιν' ἐλπίδ' ἔθυ τοῖς δ', οἷς ἀμφέσσαο, ὅπλοις,
Τῦδ' οἶκυ πέρι πρῶτον ἀμιώυ. Τῷ γὰρ Ἴλος;
Τῷ δ' ὁ πατὴρ; τῷ δ' ἦ ποτὲ σεῖο λελείψετ' ἀκοίτη;
Τοῖ' ὀλοφυρομένη, θρήνων πᾶν δῶμ' ἀνεπίμπλα.
Εὖτ' ἄφνης γέ τι τέκμαρ ἐνῶρτο· φατίζειν θαῦμα!
Καὶ γὰρ ἑῶν τοκέων μετὰ χείρεσι, χείλεσί τ' ὄντι,
Ἠνίδε ἐξ ἄκροιο κορύμβυ κρατὸς Ἰάλῳ,
Νᾶμα φάος ὤπται, τὸ ῥ ἀπήμοσι χέυετο πυρσοῖς,
Λεῖχε δ' ἐθείρας, ἀμφὶ δ' ἑκεῖνυ βόσκετο κόρσας.
Οἱ δ' ἂν δειδίότες περὶ παιδὶ, κόμιω φλογόεσσαν
Ὀρνύμεθ' ἐκσείειν, πῦρ τ' ἐυαγὲς ὕδασι σεύειν.
Ἀγχίσης δὲ πατὴρ γηθήσας, ὅσσ' ἐπὶ ἄξρα,
χεῖρας τ', ἠδέ τε γῆρυ, ἐς ὐρανὸν ἦρεν ἀΰσας.
Ὦ Ζεῦ παγκρατέων, εἴ γ' ἱκεσίας τισὶ κάμπτη,
Λεῦσσε· τοσόνδε μόνον· κ' αἴ κ' ἐυσεβίη ὄφλεταί τι,
Εἶτ' ἐπαρωγὸς ἔοις πάτερ! ὅσσαν τιὼ δε τε κύρυ.
Ὡς μόλις ὧδε δ' ἔπαυσ' ὁ γέρων, ἄφνης πατάγησε
Βροντὴ λαιόθεν· αὐτὰρ ἀπ' ὐρανόθεν κατόλιθε
Θεσπέσιον κνέφεος μεσάτυ Ἀξὴρ σελαγίζων.

Τὸν

❁ ❁ ❁

δοντι γὰρ ποτὲ φλὸξ ἐπὶ τῆς κεφαλῆς ἐπέλαμψεν ἄφνης. δι' ὅλυ τε ὕπνυ αὐτῷ περιχεομένη καὶ παραμένυσα, δι' ἧς ἡ μέλλυσα τῷ παιδίῳ βασιλεία προεσημαίνετο. Τὸ μὲν ἂν ἐπὶ τῆς Ἰάλυ κορυφῆς ἐποφθὲν αἰφνίδιον φῶς, οἱ μὲν ἄλλοι ὡς ἀμύητοι δείσαντες, ἐπεχείρυν ἀποσβεννύειν· Ἀγχίσης δὲ κατιδὼν, ἅτε δὴ μαντικὸς ἀνὴρ, καὶ τὰ θεῖα μεμυημένος, ὑπερεγήθησε, τιὼ ἐντεῦθεν τῆ παιδὸς εὐδαιμονίαν ἐκτεκμηράμενος. Ἔνθεντοι καὶ τὰς χεῖρας ἀναχὼν τῷ Ζηνὶ ἐπήυξατο τιὼ ὅσσαν ἐπικυρώσαθαι.

Στίχ: 746. . . . ΟΣΣΑΝ ΤΗΝ ΔΕ ΤΕ ΚΥΡΟΥ· Μετὰ τὸ δοθὲν τῦτο, καὶ τέρας ἕτερον ὁ γηραιὸς ἐξαιτεῖται πρὸς ἐπικύρωσιν· ἐ γὰρ ἐξαρκεῖν ἐδόκει τὸ πρῶτον, εἰ μὴ προσεθείη καὶ δεύτερον. Οὕτω δὲ καὶ Πρίαμος παρ' Ὁμήρῳ, καὶ τοι αὐτῷ Ἶρις Διὸς Ἄγγελος ἦκεν, ὡς Ἀχιλέα ἀπελθεῖν πάθρσα, καὶ τὸν τῆ υἷῆ Ἕκτορος νεκρὸν ἀπολῦσαι, ἄυθις καὶ ἕτερον παρὰ Διὸς σημεῖον ἠτεῖτο: (Ἰλ: Ω. 310.)

„Πέμψον δ' οἰωνὸν ταχὺν ἄγγελον. . . .
„Τῷ πίσυνος ἐπὶ νῆας ἰω Δαναῶν ταχυπώλων.

Στίχ: 748. ΒΡΟΝΤΗ ΛΑΙΟΘΕΝ. Ταῦτα δὴ (κατὰ τιὼ Ἀγχίσε ἐυχιὼ) ἐπικύρωσις ἦν τῆ προηγηθέντος τὰ σημεῖα, καὶ ὡσὶν ἀκρσα, οἷον ὁ τῆς βροντῆς πάταγος· καὶ ὀφθαλμοῖς ὁρατὰ, οἷον τὸ ἐξαιρέψαν σελάγισμα. Ἀμφότερα δὲ ἄῖσια, ὡς ἀπ' ὐρανῆ ἥκοντα, καὶ ταῦτα λαιόθεν· τετέχθαι ἀπὸ τῆ Ἀρκτῴε κλίματος, ἃ τῆ Κόσμε εἶναι λέγεται τὰ λαιὰ, οἷα δὴ καὶ ἐς τοῖς πρὸς Ἀνατολὰς ἐπιβλέπυσι, κατὰ τιὼ τῶν οἰωνοσκοπόντων εἰσήγησιν. Οἱ γὰρ ἐκεῖθεν ἐκπυρσιζόμενοι κεραυνοὶ σημαντικώτεροι, φασὶν, εἰσὶ, διὰ τὸ ἐκ τῶν ὑψηλοτέρων κατιέναι μερῶν, ἃ τῆ Διὸς ἕδρα ἐς πλησιέστερα, κατὰ τιὼ Σερβίε ἐπίστασιν.

Volvitur; exſuperant flammæ; furit æſtus ad auras.
Procedo ad Priami ſedes, arcemque reviſo.
Et jam porticibus vacuis, Junonis aſylo,
Cuſtodes lecti Phœnix, & dirus Ulyſſes
Prædam aſſervabant. Huc undique Troïa gaza
Incenſis erepta adytis, menſæque Deorum,
Crateresque auro ſolidi, captivaque veſtis
Congeritur: pueri & pavidæ longo ordine matres
Stant circum.

Auſus

Στιχ. 750. ΤΟ'Ν Δ' ΑΡ 'ΥΠΕ'Ρ ΜΕΓΑ'ΡΩΝ κτ: Ὁ κατασκήψας ἐρανόθεν αὐτοῖς Ἀσὴρ, εἴτε Κομήτης ἰῶ τις, ἢ πωγωνίας, εἴτε ἄλλως ἕτερόν τι τῶν πυρίνων λεγομένων μετεώρων φασμάτων· οἷοι οἱ διάττοντες καλέμενοι ἀςέρες, ἢ λαμπάδες, ἢ βολίδες, κτ: ὅπως ἄν τις αὐτὸν ἀναπλάσειεν, ὁδηγὸς ἄντικρυς ἔδοξε θεόπεμπτος, τῆς ὁδῦ σημαντωρ, ἰῶ ἰέναι ἔδει τὲς περὶ Αἰνείαν, σώζεσθαι βελομένες. Προῆγε δὲ αὐτὲς ἐπὶ τὸ ὄρος τῆς Ἴδης, καὶ τὰς ἐκεῖ ὕλας, ὅθεν ναυπηγησαμένος τε, καὶ παρασκευάσασι τὰ πρὸς τὸν πλῶν, ὁποῖποτ' ἄν ἡ Μοῖρα διεξάγοι, τῖὼ πεπρωμένῳ σφίσι μετοίκησιν ςήσειαν.

Στίχ: 753. . . . ΠΕ'ΡΙ ΠΑ'ΝΤΑ ΔΕ' ΘΕΓΟΝ 'ΟΔΩ'ΔΕΙ. Ὅτι δὲ τὰ τοιαῦτα πύρινα τῶν μετεώρων, δριμεῖαν τινὰ καὶ θειώδη τῖὼ ὀδμῖὼ ἀποφέρει, ἐκ πείρας κατάδηλον.

Στίχ: 757 ΣΩ'ΖΟΙΤ' Ὦ ΠΑ'ΤΡΙΟΙ ΘΕΟΙ' ΤΟΙΚΟΝ κτ: Σεσημείωται, πατρίες μὲν Θεὲς καλεῖθαι τὲς τῆς πατρίδος· Πατρῴες δὲ τὲς τῶν πατέρων. Ὡς εἶναι πως τῖὼ περὶ τέτες θεραπείαν τῆς κοινῆς τε καὶ πανδήμε δεισιδαιμονίας ὠσανεί τι ἀπότμημα. Καὶ γάρ τοι καὶ ἐπί τῶν ἄλλων ἁπλῶς (ὡς Ἀμμῶν. ἐν τοῖς περὶ Ὁμοί. καὶ Ἀνομοί. Λέξ.) Πατρῷα μὲν τὰ ἐκ „τῶν πατέρων εἰς ὑὲς χωρεῦντα, πατρικοὶ δὲ οἱ φίλοι, πάτρια δὲ τὰ τῆς πόλεως ἔθη.

Στίχ: 761. ΑΓΧΟΤΕ'ΡΩ Δ' ΕΜΠΡΗΣΜΟ'Σ κτ: Τοῦ ἐμπρησμῦ δηλ: προϊόντος τε, καὶ ἐμπλατυνομένε, μέγεθός τε καὶ ἀκμὴν προσλαμβάνοντος, ὅ, τε πάταγος ἤυξετο, καὶ ὁ τῦ πυρὸς ῥοῖζος καὶ ὁ Φλογμός.

Στίχ: 762. ΤΟΙ' ΓΑΡ, ΑΓ' Ὦ ΓΕΝΕ'ΤΩΡ ΦΙ'ΛΕ. . . . Οὕτω καὶ Καλαβρ. Παραλ. ΙΓ. 317.

„Υἱέα, καὶ πατέρα σφὸν ἀναρπάσας, Φορέεσκε,
„Τόν μὲν ἐπὶ πλατιῶ ὤμον ἐφεσσάμενος κρατερῇσι
„Χερσὶ, πολυτλήτῳ ὑπὸ γήραϊ μοχθίζοντα
„Τὸν δ' ἀπ' ἄλμης μάλα χειρὸς, ἐπιψαύοντα πόδεσσι κτ:

Στίχ: 766. . . . ΑΛΟΧΟΣ Δ' Ἰ'ΧΝΗ ΤΗΛΟΥ' ΤΗΡΕΙ'ΤΩ. Ἀπορήσειεν ἄντις εἰκότως, τί ὅτι τηλόσε τῇ ἀκοίτῃ ἐπέταξε παρατηρεῖν αὐτῦ τὰ ἴχνη, καὶ μὴ μᾶλλον ἐγγὺς ἐκέλευσε μένειν, καὶ αὐτῷ παρεφίπεσθαι; Ἀλλ' ἐκ ἔδει (φασὶν) ἅμα πάντας ἀθροισθέντας συνεπισπέσθαι· μᾶλλον γὰρ ἔτω καὶ ὀφθαλμοῖς ἧ ὠσὶν εἶεν κατάφωροι. Ἄλλως τε ἧ ὑποχωρῆσαι ἧ λαθεῖν, εἴτι συμβαίη, εὐπετέςερα ἦν, ἀπ' ἀλλήλων μικρὸν διέχυσιν. Ἔπειτα ἧ προσικονομεῖ ἄριςα ὁ Ποιητὴς ὧδε, τῆς Κρεύσης τῖὼ μέλλυσαν ἀποπλάνησιν, ἥτις πάνυ πρὸς ἔργου ἦν αὐτοῦ τῷ ποιήματι. Ἐχρῆν γὰρ Αἰνείαν ἀπηλλάχθαι Κρεύσης, εἴπερ ἔδει τά τε κατὰ τῖὼ Διὸς ἐυοδεῖθαι, καὶ τὰ κατὰ τῖὼ Λαβινίαν ὕςερον, ἅτινα τῶν τε ὅλε ῥαψῳδήματος ἐπεισοδίων ὁμολογεῖται τὰ βασιμώτατα.

Στίχ: 769. ΑΡΧΑ'ΙΟΣ ΔΗ'ΜΗΤΡΟΣ Ἔ'ΡΗΜΟΣ κτ: Οὐκ εἶχεν ὄρον ἐμείνονα σωθέσθαι τῆς τῶν ὀπαδῶν εἰς ἕν συνελεύσεως, ἢ τὸν Ναὸν ἐκεῖνον· ἅλις τε καταδηλον ὄντα πᾶσι, καὶ πόῤῥωθεν ἄποπτον, ἔκτε τῇ κορυφεμένῃ θρωσμῇ ἐφ' ἓν ἵδρυτο, καὶ τῆς προαιρυκύιας αὐτῷ πολυετῆς Κυπαρίσσε· καὶ μὲν δὴ καὶ ἄλλως, ἀποχρῶσαν τὸ τέως τῖὼ ἀσφάλειαν ὑπισχνεῖσθαι δοκοῦντα,

Τὸν δ' ἄρ ὑπὲρ μεγάρων ἄκρας κορυφὰς κατιόντα,
Κευθόμενόν τ' Ἴδης ἀριδήλως εἴδομεν ὕλαις,
Ἠδ' οἵμας δεικνῦντα· λέλειπτο δὲ οἷα τις ὄγμος
Μηκεδανὸς σέλαος. Πέρι πάντα δὲ θεῖον ὀδώδει.
Τετάκει γεννήτωρ ἤττητό τε, αἶψα τ' ὀρινθεὶς
Ἤυχετο μὲν μακάρεσσι Θεοῖσι, σεβάζετο δ' ἄκρον.
Ἤδη μὲν δὴ, ἦ τάχος ἕψομαι οἷκεν ἄγοιτε.
Σώζοιτ ὦ πάτριοι Θεοί ὄικον, παῖδα τε παιδὸς!
Σφῶν ὅδ' ὁ οἰωνὸς· Τροίης ὔμμες σαοτῆρες.
Εἶκω σοὶ τέκος, ἀδ' ὀπέων τεὸς εἶν' ἀπονέυω.
Ὣς φάτο· πῦρ δ' ἤδη βρόμεεν περὶ τείχεσι μᾶλλον,
Ἀγχοτέρω δ' ἐμπρησμὸς αὐτμιὼ ἐξελέλισσε.
Τοιγὰρ, ἄγ' ὦ γενέτωρ φίλε, βῆθι ἐμοῖσιν ἐπ' ὤμοις·
Αὐτὸς ὑποσήσω· ἀδ' ἀχθηρὴς μοι ὁ μόχθος.
Ὅττι κεν ἐκβαίῃ, ξυὸς ἡμῖν κίνδωος ἔσαι.
Ἐλπὶς ἴη ἀμφοῖν· αὐτὰρ τυτθός μοι Ἴουλος
Ἑσπέσθω· ἄλοχος δ' ἴχνη τηλᾶ τηρείτω.
Ὑμᾶς δ' ὦ θεράποντες, ἔπεσσιν ἐμοῖς προτὶ ἴσχειν.
Ἄστεος ἐξελθόσιν, ἔνι θρωσμός τε νεώς τε
Ἀρχαῖος Δήμητρος ἔρημος. Παρ δὲ πεφύκει
Πίτυος ἠλυετὴς Κυπάρισσος ἄγαν τιὼ ἔκπαλαι ἄξον.
Ἐνθάδε ἄλλη ἄλλος ἰὼν ἀγερώμεθα πάντες.
Καὶ σὺ μὲν ἱρὰ, πάτερ, μετὰ χείρεσιν ἴσχε, Θεάς τε.
Τῶν γάρ μ' ἐκ πολέμοιο, φόνων τ' ἐλθόντα τοσάτων,

Υ 2 Ψάυε-

❁ ❁ ❁

τα, ἅτε δὴ ἐπ' ἐρήμης ἐν πολλῇ παροιχόμενον, καὶ μηδ' ἁρπαγῆς, ἢ λαφυραγωγίας ἐλπίδα τινὰ τοῖς πολεμίοις παρέχοντα.

Στίχ. 770. ΠΟΤΑΥΕΤΗΣ ΚΥΠΑΡΙΣΣΟΣ κτ: Ἦν γάρ τινα ἰδιαίτερον ἐνίοις τῶν Θεῶν θρησκευόμενα δένδρα. Οἷα φέρε ἡ Δωδωναία δρῦς ἐν τῇ Θεσπρωτίδι τῷ Ζηνὶ, ἐξ ἧς καὶ Ζεὺς Δωδωναῖος προσείρηται. (παρ' Ὁμὴρ. Ἰλ: Π. 233.)

„Ζεῦ ἄνα Δωδωναῖε κτ:

Καὶ ὁ ἐν Δήλῳ φοινίξ τῷ Ἀπόλλωνι, ὅτι Λητὼ ἐν ᾧ αὐτὸν ἔτικτεν (Ὕμν. Ἀπόλλ: 117.)

„Ἀμφὶ ῥὰ Φοίνικι βάλε πήχεε κτ:

Καὶ ἡ Ἀθήνησιν ἐλαία Παλλάδι, ἧς ἐπ' αὐτῇ ἔτι περιέσης Παυσανίας μέμνηται. (ἐν Ἀρκαδ: ΚεΦ: ΚΓ.) καὶ ἄλλοις ἄλλα. Οὕτως οὖν καὶ ἡ περὶ ἧς ὁ λόγος ὧδε Κυπάριττος ἐθρησκεύετο τῇ Δήμητρι. (Ὅρα ΦειΘ. περὶ τῶν καθ' Ὅμηρ. Ἀρχαιστ: Βιβλ: Α. ΚεΦαλ: Γ.)

Στίχ. 772. . . . . ΙΡΑ', ΠΑΤΕΡ, ΜΕΤΑ' ΧΕΙΡΕΣΙΝ ΙΣΧΕ, ΘΕΟΥΣ ΤΕ. Κἀντεῦθεν τὸν Αἰνείαν περὶ τὰς Θεὰς εὐσέβειαν δήλιον ὁ Μάρων καθίστησιν, οἷς τὸν Ἥρωα ποιεῖ μηδὲ ψαύειν τῶν Ἱερῶν ἀξιοῦντα χερσὶ πεπαλαγμέναις αἵμασι τοῖς τῶν πολεμίων. Καὶ τοι κοινὸν ἦν τοῖς παλαιοῖς τὸ ἔθος· ὃ μόνον ὅτε, ἢ φόνον ἀνθρώπου, ἢ σφαγὰς ἄλλας ἐποίουν, ἀπονίπτειν τὰς χεῖρας, ἢ καθαίρειν δι' ὑδάτων, ἀλλὰ μηδ' ἁπλῶς εὔχεσθαι Θεοῖς, μηδὲ θύειν, μὴ δ' ἄλλο τι τῶν περὶ τὰ θεῖα ἐπιχειρεῖν μὴ προκαθηραμένους πρῶτον, οὐχ ὅπως τὰς χεῖρας, ἀλλὰ καὶ τὸ ὅλον σῶμα, καὶ αὐτὰ τὰ περὶ τὸ σῶμα ἱμάτια, ὃ πολλαχόθεν ἔστι μαθεῖν ἐκ τῆς Ὁμήρου ποιήσεως. (Ὅρα Ἰλ: Α. 449. καὶ Ζ. 266. καὶ Ι. 171. καὶ Π. 30. καὶ Ὀδυσ. Β. 260. καὶ Δ. 759.)

Περὶ

Auſus, quin etiam voces jactare per umbram,
Implevi clamore vias; mœſtuſque Creüſam
Nequicquam ingeminans, iterumque iterumque vocavi.
Quærenti, & tectis urbis ſine fine furenti,
Infelix ſimulacrum, atque ipſius umbra Creüſæ
Viſa mihi ante oculos, & notâ major imago.
Obſtupui, ſteterunque comæ, & vox faucibas hæſit.
Tum ſic affari, & curas his demere dictis:
Quid tantum inſano juvat indulgere labori,

O

❀ ❀ ❀

Περὶ τέτε καὶ Φείθ: ἐν τοῖς περὶ τῶν καθ' Ὅμηρ. Ἀρχαιοτ. Βιβλ: Α. Κεφ: ς'.

Στίχ: 776, . . . . ΞΑΝΘΟΥ ΔΕΡΜΑ ΛΕΟΝΤΟΣ, Σιώηθες ἦν τοῖς Ἥρωσι δερματοφορεῖν. Περιβάλλεθαι δὲ τὰς θηρίων δορὰς, ἠφοβεροὶ, ἢ γενναῖοι ἐντεῦθεν δοκεῖν ἐθέλοντες, ἢ ἀκαταμάχητοι. Οὕτω καὶ Ἡρακλῆς ἀμπίσχετο δέρμα λέοντος, ἤτοι ὅνπερ ἐν Κιθαιρῶνι ἐχειρώσατο, ἢ ὃν ἐν Νεμέᾳ ἀνεῖλεν. Ὁμοίως δὲ καὶ Ἀγαμέμνων. (Ἰλ: Κ. 23.)

„ . . . δαφοινὸν ἑέσσατο δέρμα λέοντος
„Αἰθωνος, μεγάλοιο, ποδηνεκὲς κτ: . . . .

Καὶ Μενέλαος δέ, (Αὐτ: 29.)

„Παρδαλέῃ μὲν πρῶτα μετάφρενον εὐρὺ κάλυψε
„Ποικίλη. . . . . .

(Ὅρα καὶ τὸν εἰρημ: Φείθ. ἐν τῷ Δ. Βιβλ: καὶ ἐν τῷ Η. τῶν καθ' Ὅμηρ. Ἀρχαιοτ: Κέφ. Η'.)

Στίχ: 778. . . . ΒΗΜΑΣ' ΑΝΙΣΟΙΣ. Νηπιώδεσι γὰρ· ἡλίκοις δυσὶν, ἢ τρισὶ τὸ ἓν ωωεξισᾶθαι, τὸ τᾶ, τὸν μὲν τοκέα νωτοφορεῦντος, τὸ δὲ τέκος τῇ χειρὶ ὑπανέχοντος.

Στίχ: 780. ΩΝ ΔΕ ΜΕ ΔΗ ΠΑΡΟΣ κτ: Οὐ γὰρ ἑαυτῷ δηλονότι ἐδεδίει ὁ Ἥρως, τοῖς δὲ φιλτάτοις. Τῆς γὰρ ἰδίας ἑαυτᾶ ψυχῆς τιῳ ἐκείνων πολλῷ προτέραν ἐτίθετο.

Στίχ: 788. ΑΣΠΙΔΑΣ ΑΙΘΟΥΣΑΣ Τ', ΑΙΓΑΗΝΤΑ ΤΕ ΤΕΥΧΕΑ ΛΕΥΣΣΩ. Ποτέρῳ ἆρα τὸ ῥῆμα ἀποδοτέον; τὶς ὁ λέυσσων; πότερον Αἰνείας αὐτὸς, ἢ, ὅνπερ νωτοφορῶν ἐτύγχανεν, ὁ Ἀγχίσης; οἱ μὲν ὑψηλότερον νοοῦντες (φησὶ Σέρβιος) τὸν Αἰνείαν ἡγοῦνται. Αὐτὸς δ' ἔμπης, καὶ τοι μὴ πάνυ ὑψηλὰ βλέπειν οἷος τε ὤν, τὸν Ἀγχίσιν οἶμαι, καὶ διατείνομαι· διὰ τὸν ἀνωτ: στίχ: 787.

„Ὡς ἄρ' ἐποσσόμενος, τέκνον φύγε, κέκλαγεν· ἆσσον
„Ἀσπίδας αἰθάσας τ', . . . λέυσσω.

Εἰ δέτις ἡμῖν τᾶ Ἀγχίσᾳ τὸ ἀμβλυωπὲν ἀντιβάλοι, ὅτι ὁρᾷν ἔδοξεν. Οὗ χάριν καὶ (ὡς ἄρ' ἐποσσόμενος) ἀπεδώκαμεν. Καί τοι καὶ δὴ πάντῃ ὁ γέρων τετύφλωτο, ὡς δῆλον ἐκ τῶν Ἀνωτ: αὐτῷ ὁραθέντων (στίχ, 742. κτ.)

Στίχ: 789. ΕΝΘ' ΟΥΚ ΟΙΔ' ΟΣ ΕΜΟΙ ΓΕ ΘΕΩΝ κτ. Εἶδε γὰρ αὐτῷ τινὸς ἀμέλει προφάσεως πρὸς ἀπολογίαν τᾶ μικρὰν ἔτω δόξαι περὶ τῆς ἁλόχᾳ ποιήσαθαι πρόνοιαν· ἐξ οὗ χώραν, καὶ τῷ ἐπιτοξευθέντι παρέχετο σκώμματι, ὅτι τῶν λοιπῶν ἐπιμεληθεὶς ἁπάντων, τῆς ὁμοκόιτε ὁ Ἥρως ἠμέλησε:

Qui fuyant ſa ville en cendre,
Et le fer du Grec vengeur.
Chargé des Dieux de Pergame,
Ravit ſon pere à la flamme,
Tenant ſon fils par la main,
Sans prendre garde à ſa femme
Qui ſe perdit en chemin.

Στίχ:

Ψαυέμεν ἠ θέμις, ἔς θ' ὕδασ' εἰν ἀγνοῖς λοεσαίμιλω
Αὐχένα, ὥδ' ἅπας, ἠδ' ἐυρέα νῶτα ὑπέχον.
Εἶμα δ' ὑπερσάξας, καὶ ξανθῆ δέρμα λέοντος,
Φόρτῳ ὑπαῖξα φίλῳ· τυτθὸς δ' ἄρ ἐμεῖο Ἰῦλος
Λάζετο δεξιτερῆς, ἐπὶ δ' ἔσπετο βήμασ' ἀνίσοις.
Εἶθ' ἑξῆς ἄλοχός τε· ὑπόσκια δ' ἤϊμεν ἅτως.
Ὃν δέ με δὴ πάρος, ἔτ' ἄρ βαλλόμεν' ἔγχεα θράττεν,
Οὔτέ νυ ἀντιβίην ἔλαι Δαναῶν σωιῆσαι,
Αὖραι κατθρόεον πᾶσαι, πᾶς δ' ἦχος ἐκίνει
Ἀμφίτρομον, δείδοντα ὁμῶς σωόδοις καὶ φόρτῳ.
Καὶ ῥὰ πυλῶσι πέλαζον, ὁδῆ δ' ἐφάμιλω διὰ πάσης
Ἐξυπαλύξας· τῆμος ἐμοῖσι δ' ἐπ' ὄασιν αἴφνης
Δόξε ποδῶν πάταγος προτιβάλλειν· ἠδ' ὁ γενήτωρ,
Ὡς ἄρ ἐποσσόμενος· τέκνον φύγε, ἔκλαγεν· ἄσσον
Ἀσπίδας αἰθέσας τ', αἰγλήεντά τε τεύχεα λεύσσω,
Ἔνθ', ἀκ οἶδ' ὃς ἔμοι γε Θεῶν δειλῷ χαλεπαίνων,
Ἔκ τ' ἔζησε φρένας, καὶ ἑόντα νόον δ' ἀπάμερσεν.
Ὡς γὰρ ἐγὼν ἀβάτοισι θέεσκον, τῆς δὲ σωήθης
Ἀτραπιτῆ πλάγχθιω, φεῦμοι δυζήνῳ! Ἀκοίτη
Μῆνε Κρέουσα· τὸ δ' εἶτ' ἄρ τῇ μοιρήϊον ἔσκεν,
Ἠέθ' ὁδῆ ἀλάλησθαι, ἀπαυδῶσ' ἠὲ καθῆσο,
Οὔμοι ὀῆλον· ἐμοῖσι γὰρ ἀκέτι ὄμμασιν ὤπτας
Οὐδ' ἐπὶ οἰχομένης ϛραφόμιλω πάρος, ὐδὲ σωεῖδον,
Πρίν με λόφονδε Θεᾶς, σηκόν τ' ἀρχαῖον ἱκέσθαι.
Ἦχι δ' ἐπεὶ ῥὰ τέως ἐς ταὐτὸ ἀγέρμεθα πάντες,
Ἡ δ' ἀπέλω ἑτάρους τε, καὶ ἶα, καὶ ἄνδρα λαθῆσα·
Τόν γ' ἀκ ἠτιάθιω, ἔκφρων, θνητῶν τε Θεῶντε;
Ἠὲ τί περθομένῳ ἐνὶ ἄϛει κιώτερον εἶδον;
Ἀσκάνιον, γενέτιω τ' Ἀγχίσιω, ἠ δὲ Θεός τε,

Παρ-

❁ ❁ ❁

Στίχ: 793. . . . . ΤΟ' Δ' ΕΙΤ' ΑΡ' ΤΗΙ ΜΟΙΡΗΪΟΝ ΕΣΚΕΝ, Διανοεμένῳ δ' Αἰνείᾳ, ὅπως ἄρα τῇ γυναικὶ ἀπολειφθῆναι σωέβη, ἕν τι τῶν τριῶν τέτων ἐπῆλθε λογίσασθαι: ἤτοι γὰρ ἐκ Μοιρῶν (φησὶν) αὐτῇ πέπρωτο ἀπαρθῆναί τε καὶ ἀφαντωθῆναι· ἢ τῆς ὁδῆ παρατραπεῖσα πόρρω ἀποπεπλάνηται, καὶ ἀλήτις περίεσιν· ἢ τέως τῷ τῆς ἀδοιπορίας καμάτῳ, ἅτε δὴ θῆλυς, ἐναπαυθήσασα καθέθηπε, καὶ νῦν ἀκ οἶδεν ὅποι τραπήσεται.

Στίχ: 797. ΠΡΙΝ ΚΕ ΛΟΦΟΝ ΔΕ ΘΕΑΣ, Ἦν δ' ὁ λόφος, ὁ ῥηθεὶς (στίχ. 778.) θρωσμὸς, ἐφ' ᾧ ὁ παλαιὸς καὶ ἤδη ἔρημος τῆς Δήμητρος νεὼς ἵδρυτο· ἔνθα καὶ ἡ θρησκευομένη Κυπάριττος ἐπεφύκει. Συμβαλεῖν δ' ἔϛιν ἐντεῦθεν, ὡς ἐ πρότερον τῇ γαμετῇ προσέσχεν Αἰνείας ἀπέσῃ, πρὶν ἢ ἐπὶ τὸ προτεθὲν εἰς ϛαθμὸν τέρμα ἀφίκετο.

Στίχ. 800. ΤΟΝ Γ' ΟΥΚ ΗΪΤΙΑΘΗΝ κτ: Σωήθες ἀνθρώποις τὸ ἐπὶ τοῖς πλημμελήμασι πλημμελεῖν, καὶ ἄλλως ἐπαιτιᾶσθαι ἐφ' οἷς αὐτοὶ τῷ δέοντος ἁμαρτάνεσιν· οὐχ ὅπως δὲ, ἀλλὰ καὶ εἰς τὸ κρεῖττον τὰ πολλὰ τολμᾶν ἀναφέρειν αὐτῶν τὸ ἀλίτημα· ὡς ὧδε Αἰνείας· καίτοι συμφρονήσας ὕϛερον, ἔκφρονα ἑαυτὸν γενέσθαι, ἐπειδὰν ἐκεῖνα ἐνεθυμεῖτο, διωμολόγησεν.

O dulcis conjux? non hæc ſine numine Divûm
Eveniunt, nec te hinc comitem aſportare Creüſam
Fas: haud ille ſinit ſuperi regnator Olympi.
Longa tibi exilia, & vaſtum maris æquor arandum.
Ad terram Heſperiam venies: ubi Lydius, arva
Inter opima virûm, leni fluit agmine Tybris,
Illic res lætæ, regnumque, & regia conjux
Parta tibi: lacrymas dilectæ pelle Creüſæ.
Non ego Myrmidonum ſedes, Dolopumve ſuperbas
Aſpiciam: aut Grajis ſervitum matribus ibo,
Dardanis, & divæ Veneris nurus:
Sed me magna Deûm genitrix his detinet oris.

Jam-

❋ ❋ ❋

Στίχ: 803. . . . . ΣΚΟΛΙΩῚ ΤΙΝΙ ΚΕΥ̓ΣΑ ᾽ΕΝ ᾽ΑΓΚΕΙ. Ἔνθα δηλονότι, ὡς ἰδρις ὢν ἐπ᾽ ἀκριβὲς τῆς χώρας, μὴ ῥᾳδίως ὑποπεσόντας ἤδει ταῖς ἐνδρομαῖς τῶν πολεμίων τὸς ἐκεῖ λανθάνοντας.

Στίχ: 807. . . . . ΠΎΡΓΟΥΣ, ΣΤΑΘΜΟΎΣ ΤΕ ΠΎΛΗΣ. Τὸς τῆς πόλεως νοητέον, δι᾽ ὧν, ὡς ἀσημοτέρων ὄντων, κ᾽ ἐχ ἕτω δήλιν τιν᾽ πάροδον παρεχομένων, κ᾽ πρότερον Αἰνείας σωτήρια τοῖς περὶ αὐτὸν ἐξεληλύθει τῇ Ἀχαιϊκῇ πύλας δὲ ἀριθμεῖσι τῆς Τροίας ἕξ. Τιν᾽ μὲν, Ἀντηνόρειον καλεμένην· τιν᾽ δὲ, Δαρδάνιον· τιν᾽ δὲ Ἰλιακὴν· τιν᾽ δὲ Τρωϊκὴν· τιν᾽ δὲ Κατεμβρίαν· τιν᾽ δὲ Σκαιὰν, ἣ κ᾽ πρὸ τῶν ἄλλων ἐν ὀνόματι ἦν· οὕτω δ᾽ ἐλέγετο, ἢ ὡς ἐπὶ τὸ λαιὸν κλῖτος κειμένη τῇ Ἀχαϊκῇ, ἢ ἀπὸ τῶν Ἀρχιτεκτονησάντων· ἢ ὅτι παρ᾽ αὐτῇ ὑπῆρχεν ὁ τύμβος ὁ Λαομέδοντος· ἢ ὅτι παρὰ Θρᾳξὶ τοῖς ὁμόροις τὸ σκαιὸν συχνὸν ἐπεπόλαζε· παρ᾽ οἷς κ᾽ τινες Θρᾷκες Σκαιοὶ ἐκαλοῦντο· κ᾽ ποταμὸς δὲ Σκαιὸς, κ᾽ Σκαιὸν τεῖχος. Παραπλησίως σιῶ τούτοις κ᾽ αἱ Σκαιαὶ πύλαι. Κατὰ γὰρ Στράβωνα (Γεωγρ. Βιβλ. Γ.) τῆς Θρακώας διαλέκτου ἴδιον τὸ σκαιὸν ὄνομα.

Στίχ: 810. ΠΆΝΤ᾽ ᾽ΗΝ ΜΕΣΤΑ᾽ ΔΈΟΥΣ. Πρὸ δὲ πάντων αὐτῷ ἡ καρδία, πανταχόθεν τὸν κίνδυνον ὑποβλεπομένη, ὥστε κ᾽ ὑπὸ τῆς σιγῆς αὐτῆς, (ἥτις ἐδὲν ἄλλ᾽ ἢ ταραχῆς ἐστὶ καὶ θορύβου κατάπαυσις,) καταθρεῖσθαι κ᾽ καταπλήττεσθαι.

Στίχ: 812. . . . . ΤΌΝ ΔΑΝΑῸΙ Δ᾽ ᾽ΕΣΒΆΝΤΕΣ κτ: Τοιγαροῦν τὰ ἕκατα ἂν ἐκεῖ πεπόνθοι μετὰ τῶν φιλτάτων ἁπάντων, εἰ μικρὸν ἔτι ἐλιννύσας μὴ θᾶττον ἔστευσε τῇ σωθείσῃ.

Στίχ: 816. ᾽ΗΛΥΘΟΝ ᾽ΟΥ̓Ν ΠΡΙΆΜΟΙΟ κτ: Εὐσκόπως δήπε, πρῶτον μὲν ἐπὶ τὸν ἴδιον ἀνέδραμεν οἶκον ἀναζητῶν τιν᾽ ἀκόιτιν ἔπειτα τῆς ἐκεῖ εὑρέσεως ἀπογνὺς, τῆς Φλογὸς ἤδη κατισχυσάσης, κ᾽ πάντα κατανεμομένης, ἐπὶ τὸν τῇ Ἑκυρῇ Πριάμῳ οἶκον μετέθεε, πρὸς τὰ σωθῆν προσφευξομένην ὀρθῶς εἰκάζων· συνήθης δὲ ἰῶ τῇ Κρεέσσῃ, μετὰ τὸν τῇ γαμέτῃ οἶκον, ὁ τῇ πατρὸς.

Στίχ: 817. ᾽ΗΧΙ Δ᾽ ᾽ΑΡ ᾽ΕΥΡΕΪ́ΑΙ ΣΤΟᾺΙ ᾽ΗΡΗΣ κτ: Τὸ Ἡραῖον, ὃ τοῖς καταφεύγουσιν ἄσυλόν τε κ᾽ ἀπαραβίαστον διὰ τιν᾽ Θεὸν εἶναι προσῆκεν, οἱ Δαναοὶ τῆς λῃδος κ᾽ ἁρπαγῆς, ταμεῖον ἀπέδειξαν, χρήματά τε κ᾽ σώματα Τρωϊκὰ ἐν αὐτῷ πάντα συμφορήσαντες, κ᾽ φύλακας ἐπισήσαντες, Ὀδυσσέα τε, φησὶ, τὸν ὠμὸν, κ᾽ Φοίνικα. ᾽Ην δὲ ὁ Φοίνιξ, (ὁ γὰρ Ὀδυσσεὺς τίνι ἂ δῆλος;) υἱὸς Ἀμυντόρος, ὑπὸ μὲν τῆ γεννήτορος κατὰ διαβολὴν ἐκτυφλωθεὶς, ὑπὸ δὲ Χείρωνος τῆ Πηλέως ἐπισυσάσει θεραπευθεὶς τὰς ὄψεις, κ᾽ βασιλεὺς καταστὰς Δολόπων· ὅς κ᾽ Ἀχιλλεῖ τῷ Πηλείδῃ συνείπετο ἐπὶ Τροίας στρατευομένῳ. (Ἀπολλόδ: Βιβλ: Γ. Κεφ: Ιʹ.) ὅρα κ᾽ Ὁμηρ. Ἰλ: Ι. 438 — 480.) ἐν οἷς ὁ Φοίνιξ εἰσάγεται τὰ καθ᾽ ἑαυτὸν ἐς πλάτος διεξιέμενος.

Στίχ:

Παρδὲς τοῖς γ' ἑτάροις, σκολιῷ τινι κεῦσα ἐν ἄγκει·
Ἄξυ δ' ἐγὼ παλίορσος, ἐνημμένος ἀγλαὰ ὅπλα,
Ἀμμαχέσασθ' ἔξησα, ὅλης ἐλθὼν διὰ Τροίης,
Ἰθύς τ' ἀντιάσειν κινδύννοις δεύτερον αὖθις.
Πρῶτα μὲν ἄρ πύργας, ξαθμάς τε πύλης αἰδήλας,
Ὧν ῥά διεξήειν, ἐπάνειμι· ἔπειτα δὲ ἴχνεσ' ὀπίσσω
Ἑσπόμενος σκόπεον, διά νυκτὸς δ' ἀμφὶς ἑώρων.
Πάντ' ἦν μεσὰ δέας· σιγὴ δ' αὐτὴ κατὰ πλῆττεν.
Ἐνθένδ', αἶκε τυχὸν τράπετ' ἐς δόμον αὖθι μολοῦσα,
Ἥϊα. Τὸν Δαναοὶ δ' ἐσβάντες πάντα κατέχον.
Παμφάγον αἶψα δὲ πῦρ, κορυθῆς κατὰ ἄκρα μελάθρων,
Στρομβηδὸν ῥιπίζετ' ἀήτη· φλόξ δ' ὑπὲρ ἦρτο.
Καύσων δ' ἐμμανέως ἐπετείνετο πάντοσ' ἀν' αὔρας.
Ἤλυθον οὠ Πριάμοιο ἔδεθλά τε, καὶ πόλιος ἄκρια.
Ἦχι δ' ἄρ ἐυρεῖαι ξοαὶ Ἥρης, ἠδ' ἄσυλόν τε,
Λεκτὼ δὴ φυλάκω, ὠμὸς τ' Ὀδυσεὺς ἰδὲ Φοίνιξ,
Λῃΐδα φρουρήτω· ἵνα Τροίης πάντοθε Γάζα,
Πρηθομένων ἀὐτῶν ἀρθεῖσα, Θεῶν τε τράπεξαι,
Κρητῆρες χρύσεοι τ', ἐσθὴς θ' ἡ πᾶσα ἁλοῦσα
Ξωὸ γ' ἐφορεῖτο· πέριξ δ' ἀταλόχροα νήπια τέκνα,
Στάσκον ἐφεξείης ἅμα μητράσι δειμαλέῃσιν.
Αὐτός τ' ἐν ξοφερῷ τολμήσας γῆρω ἀφεῖναι,
Κάρτ' ἀχέων κραδίῃφι, Κρέουσαν μακρὸν ἀὐτὴν.
Μάψ τ' ἐπανέρων τιὼ δ' ἀνεφώνεον, ἄυθις ἰδ' αὖθις.
Νωλεμὲς ἐμμανέως· τὼς δ' ἄρ ματέοντι κατ' Ἄξυ,
Εἶδος οἰζυρὸν, σκιὴ αὐτῆς ἔσα Κρεούσης
Πρόσθ' ὅσσοιν ὤπταμοι μειοτέρη πέλε δ' εἰκὼ.

Ζ 2 Πέπ-

❁ ❁ ❁

Στίχ: 824. . . . ΤΟΛΜΗΣΑΣ ΓΗΓΡΥΝ ΑΦΕΙΝΑΙ κτ: Ἐντεῦθεν ἡ Αἰνείε πρὸς τιὼ αλοχον ξοργὴ διαφαίνεται, τῷ κατάφωρος γενέσθαι, τὸ Κρεούσης ὄνομα ἐν μέσῳ τῶν πολεμίων ἐπαναφωνῶν, παραβαλομένε, καὶ τῆς ἰδίας ψυχῆς ὑπὲρ αὐτῆς ἀφειδήσαντος. Τετὶ δὲ ἔυδηλον καὶ τῇ Διδοῖ πυθομένῃ ἐ μικρὰ σωτελέσαι, εἰς τὸ βεβαιοτέραν τιὰ πρὸς αὐτὸν φιλοφρεσυίω καὶ εὔνοιαν ἐνεργάσασθαι.

Στίχ: 828. ΕΙΔΟΣ ΟΙΖΥΡΟΝ κτ: Οὐκῶν ἐκ ζώντων ἤδη ἦν ἡ Κρέουσα γενομένη τὸ τλωικαῦτα. Πότερον δὲ ὑπὸ τῶν πολεμίων ἀναιρεθεῖσα, ἢ ἐκβανεῖσα τῷ δέει; ἢ ὑπὸ Διὸς ἀρθεῖσα τε ἢ ἐκθεωθεῖσα; οὐδὲν πάρεσι σαφὲς ἐκ τῶν ὧδε λεγομένων μαθεῖν. Τέτων αὖ οἱ Σχολιασαὶ δοκεῦσιν ἑλέσθαι τὸ τελευταῖον· ὅτι τε ἡ ὁραθεῖσα, φασὶ, σκιὰ μειζοτέρη ἐφάνη· Καίτοιγε ἡ σκιὰ ἐνίοτε (ἐ γὰρ ἀεὶ δηλονότι) ὑπὲρ τὸ σκιάζον σῶμα παρίσαται· καὶ ὅτι εἶδος ὁ Ποιητὴς ὠνόμασε τὸ ὁραθέν· simulacrum: ἤτοι ὁμοίωμα. Ἐντεῦθεν γὰρ ἡ ἀποθέωσις εἰκοτολογεῖται, κατά γε Σέρβιον. Τὶ δ' ὅτι τὸ simulacrum τέτο infelix προσείρηται; (Εἶδος οἰζυρὸν;) οὐδεμία γὰρ οἰζὺς παρέπεται τοῖς ἀποθεωθεῖσι· τἐναντίον δὲ καὶ εὐδαιμονία τέτοις προσγίνεται ἡ ἀκροτάτη πασῶν ὧν ἄν τυχεῖν ἐλπίσειεν ἄνθρωπος. Ἀλλ' οἰζυρὸν ἐμοὶ (φησὶν) ἐχ ἑαυτῇ: mihi non sibi. Οὕτω καὶ τὸ ἐντεῦθεν πρὸς τιὼ τῆς Κρεούσης ἐνθέωσιν ἀντιβαίνειν δοκεῖν θεραπέυεται.

Στίχ:

Jamque vale, & nati ſerva communis amorem.
Hæc ubi dicta dedit, lacrymantem, & multa volentem
Dicere, deſeruit, tenueſque receſſit in auras,
Ter conatus ibi collo dare brachia circum;
Ter fruſtra comprenſa manus effugit imago,
Par levibus ventis, volucrique ſimillima ſomno.
Sic demum ſocios, conſumpta nocte, reviſo.
Atque hîc ingentem comitum affluxiſſe novorum
Invenio admirans numerum, matreſque viroſque,
Collectam exilio pubem, miſerabile vulgus.

Undi-

❀ ❀ ❀

Στίχ: 830. ΠΕΠΛΗΓΜΑΙ ΤΟΥΝ κτ: Οὕτω καὶ Πριάμῳ Ἑρμείαν ἵκταρ ἐλθόντα κατιδόντι: (Ἰλ: Ω. 358.)

„ . . . Σαῶ ῥα γέροντι νόος χύτο, θάμβησε δ' ἀνάκτας·
„Ὀρθαὶ δὲ τρίχες ἔσαν ἐνὶ γναμπτοῖσι μέλεσσι
„Στῆ δὲ ταφὼν . . . .

Στίχ. 833. . . ΟΥ ΤΑΥΤΑ ΘΕΩΝ ΑΕΚΟΝΤΩΝ, Ταῦτα μὲν ἔτως ὑπὸ Κρεέσσης Αἰνείᾳ λεγόμενα, εἰς παραμυθίαν αὐτῷ συντέλει· τὰ δ' αὐτὰ ὑπ' αὐτῆς ἐπειτα Διδοῖ καὶ Τυρίοις ἀναπεμπαζόμενα, καὶ πρὸς ἀπολογίαν συμβάλλεται, ἧς χρήζων ἰῶ ἐκ ὀλίγης, ἐφ' οἷς ἂν ἀμελῆσαι δόξειε καθ' ὁδὸν τῆς Συζύγε, καθὰ προείρηται. (στίχ. 789') Προσέτι δὲ, καὶ ἵνα τιὼ πρὸς αὐτὸν εὔνοιαν τῶν ἀκροωμένων προσεπιπάσηται, ἣν εἰκὸς αὐτὸς ἦν, πρὸς ἄνδρα ἔτω θεοφιλῆ, καὶ θεῶν ἐξόχως γινόμενον μέλημα, ἐπιδείξεσθαι.

Στίχ: 836. ΠΟΛΛΑ' ΣΥ' ΠΛΑΓΧΘΗ'ΣΗ κτ: Τὰ ἐσόμενα αὐτῷ προμαντέυεται· καὶ ἀδὲν θαυμαστὸν (φησὶ Σέρβ.) τὰς ἀπολυθείσας τῆ φθαρτῆ σκιώδες ψυχὰς μαντικὰς εἶναι. Ὅπε γε καὶ τῶν ἐγγὺς τῆς τῆ σαρκὶε λύσεως γινομένων αἱ προῤῥήσεις ὡς τὰ πολλὰ διατελῶσιν ἐπαληθέυσαι

Στίχ: 837. ΓΑΙ'ΑΝ Δ' ΕΣΠΕΡΙ'ΗΝ κτ: Τιὼ Ἰταλίαν φησὶ, περὶ ἧς εἴρηται. (Α. Αἰν στίχ. 574. καὶ 615. ἐν ταῖς Σημειώσ.)

Στίχ: 838. . . . ΗΚΑΛΟ'ΕΙΣ ΛΥΔΟ'Σ. . . . . ΘΥ'ΒΡΙΣ. Περὶ τῆ Τίβριδος σεση-„μείωται τι καὶ τοῖς (Γεωργ. Βιβλ. Α. 574.) Ῥεῖ δὲ (κατὰ Στράβ. Γεωγρ. „Βιβλ. Ε.) ἐπὶ τῶν Ἀπεννίνων ὀρῶν· πληρῆται δ' ἐκ πολλῶν ποταμῶν, „μέρος μὲν δὶ αὐτῆς φερόμενος τῆς Τυῤῥηνίας. Τὸ δὲ πολυώνυμος εἶναι ἐντεῦθεν ἔχε. Λυδὸς καὶ Τυῤῥηνὸς ἀδελφω ἦσιν, ἐκ Λυδίας μὲν τῆς Ἀσιάτιδος ὡρμημένω, ἐπὶ Ἰταλίας δὲ, οὐκάμα πολλοῖς, τιὼ οἴκησιν μετασήσαντε. Τέτων οὖν ὁ μὲν, τὸ μέρος ἧς κατειλήφει χώρας, Τυῤῥηνίαν ἐκ τῆ ἰδίε ὀνόματος ἐποίησε λέγεθαι· ὁ δὲ, Λυδίαν τὸ μέρος ἐκ τῆ ἰδίε. Ἀμφοτέρων δὲ τῶν χωρῶν ἐπίκλησις κοινὴ Θυσκία, ἢ οἱ τιὼ γῆῶ νεμόμενοι, Θύσκοι. Διὰ τὸ περὶ τὰς θυσίας ἐνδελεχὲς καὶ περισσὸν αἷς ἐνεχόλαζον. Τοιγαρῆν καὶ ὁ ποταμὸς ὁ τιὼ χώραν καταῤῥῶν, ὃς ἐκ πηγῶν ἀνωτέρω ῥέων τῆ Ἀπεννίνε, διὰ τὸ τῆ ὕδατος ὑπόλευκον Ἄλβυλα ἐκαλεῖτο, οὗτος καὶ Τυῤῥηνὸς ἔξῆς ἤκουσε, καὶ Λυδὸς, καὶ Θύσκος ὁ αὐτὸς· καὶ Θόμβρις δὲ ἅπλως, ἢ καὶ ἄνευ τῆ (μ) Θύβρις, παρωνύμως τῶν τινι ἐν Θύσκοις δωμαζευσάντων, ὃς ἐν αὐτῷ κυβιστήσας ἀπόλωλε. Τελευταῖον δὲ καὶ Τίβερις ὠνόμασαι ὁ ποταμὸς ὑπὸ Τιβερίνε τῆ βασιλέυσαντος Ἄλβης, ὡς ὁ Συγγραφεὺς τῆ Ἱστορίας παρέδωκε Λίβιος. Ταῦτα οὖν παρὰ τοῖς Σχολιογράφοις, καὶ τέτων δὲ ἔτι πλείονα, παρὰ τῷ ἐκδόντι τὰ κατὰ Οὐιργίλ: Γεωγραφέμενα. M. Helliez.

Στίχ.

Πέπληγμ' οὠ ἔξη δὲ κόμη· ἀυδὴ δέ με λείπεν.
Ἡ δὲ φθεγξαμένη ἐπέεσσι παραίφατο τοίοις:
Τίπτ' ἀμέγαρτον τόν δε σωοίσει τλήμεν' ἀγῶνα,
Ὦ γλυκερὸς Σύξυξ; ἀ ταῦτα Θεῶν ἀεκόντων
Ἔρδεται· ἀδὲ θέμις σοὶ Κρέουσαν συμμεταείρειν.
Οὗτοι τῦτ' ἐφίησιν ὁ ὕψι ὀλύμπιε ἀνάσσων.
Πολλὰ σὺ πλαγχθήση διαπρήσσων λαῖτμα θαλάσσης·
Γαῖαν δ' Ἑσπερίω ἐπὶ ἴξεαι, ἔ δι ἀρύρης
Πίονος, ἠκαλόεις Λυδὸς ῥεῖ χεύματι θύβρις.
Ἔνθα δωσξείη σε μένει, βασίλειά τ' ἄκοιτις,
Τερπνὰ θ' ὅσ' ἀλλὰ πέπαυσο Κρεούσης τῦνομα κλαίειν.
Οὗσοι Μυρμιδόνων, Δολόπωντε πόλεις ὑπερόπλως
Ἥγε ἐπόψομαι, ἀδ' Ἑλληνίσιν ἀμφιπολεύσω,
Δαρδανὶς ἔσα, νυόστε φίλη χρυσῆς Ἀφροδίτης·
Ἀλλὰ Θεῶν Μήτηρ μεγάλη ἐνταῦθα μ' ἐρύκει.
Σῶς δ' αὐτός μοι ἔοις· ξωὸν ἡμῖν φῶτα δ' ἐρῴοις.
Ἦ, καὶ δακρυχέοντος, ἰδ' ἰεμένε μάλα πολλὰ
Φάσθαι ἀπέξη, ἐς λεπτὰς δ' ἀπὸ ὤχετο ἄυρας.
Τρὶς μὲν ἐφορμήθη δειρὴ ἔο ἀμφιπλακῆναι·
Τρὶς δέμοι ὁρμήσαντι, χεροῖν ἄπο εἴκελον ἔπτη,
Κυφοτέρε ἀνέμοιο δέμας, πτιωοῖο τ' ὀνείρε.
Ὡς δ' ἄρ ἀνέιθη νύξ, ἑτάρες αὐτὸς δ' ἐπανεῖδον,
Αὖθι τ' ὀπηδάων νεολέκτων πλῆθος ἀγάσθω.
Καὶ γάρτοι πολέες μὲν μητέρες, ἠδέ τε ἄνδρες,
Καὶ γ' ἐφ' ὑπειροπίη νεολαία, οἰκτρὸς ὅμιλος
Πάντοθ' ἀγηγέρατο, πρόφρονες ψυχαῖς κτέρασιντε
Οἵ γαίης ἐθέλοιμι διὰ πλοὸς ἄμμιγ' ἀπάξειν.

Φωσφό-

❋ ❋ ❋

Στίχ: 839. ΔΥΝΑΣΤΕΙΗ. . . . . ΒΑΣΙΛΕΙΑ Τ' ΑΚΟΙΤΙΣ, Τὶ τοίνυν Αἰνείας τῶν τοιούτων ἐπαγγελιῶν ὕστερον ἀλογῶν, ἢ τὸ σωόλον ἐπιλαθόμενος, πῆ μὲν ἐπὶ Θράκης, πῆ δ' ἀλλαχόσε τιὼ μετοίκησιν ἐπειρᾶτο ἱδρύσασθαι; Σέρβιος ἀποῤῥήσας παῤ ἄλλων ἔμεινε τιὼ ἐπίλυσιν, ἣν ἄλλοις ὁμοίως καὶ αὐτοὶ παραλείπομεν.

Στίχ: 841. ΟΥ ΣΟΙ ΜΥΡΜΙΔΟΝΩΝ, ΔΟΛΟΠΩΝ ΤΕ κτ: Τῶν μὲν, ἕς Ἀχιλλεὺς ἦγε, τῶν δ' ἕς ὁ Φοίνιξ. Καὶ οἰωνόσκοπός πως ἄρα τῷ γαμέτῃ τέτε γε ἕνεκα ἡ Κρέουσα, ὅτι ἐκ ζώντων ἀρθεῖσα, τοῖς πολεμίοις δηλέυειν ἐκ ἀναγκασθήσεται, καὶ τὲ τοιέτε ἀπαλλαχθείη, ὃ καὶ αὐτὲ τὲ θανάτε χεῖρον ἐτίθεντο, οἱ τὸ καλὸν τῆς ἐλευθερίας τιμᾶν ὡς χρὴ ἐπισάμενοι.

Στίχ. 843. ΔΑΡΔΑΝΙΣ ΟΥΣΑ, ΝΥΟΣ ΤΕ ΦΙΛΗ κτ: Μεγαλοφρονεῖ μὲν εἰκότως ἐπὶ τῷ γένει, ὡς ἐκ Δαρδάνε τὲ Διὸς καὶ Ἠλέκτρας τῦτο κατάγουσα· ὑπεραίρεται δὲ καὶ ἐπὶ τῇ ἀγχισείᾳ, ὅτι δάμαρ Αἰνείε γενομένη Ἑκυρὰν ἔχειν τιὼ Ἀφροδίτιω ἠξίωται.

Στίχ: 844. ΑΛΛΑ ΘΕΩΝ ΜΗΤΗΡ ΜΕΓΑΛΗ κτ: Παυσανίας ἐν τοῖς Φωκικοῖς ἱςόρησεν, ὅπερ ἐνταῦθα τιὼ Κρέουσαν περὶ ἑαυτῆς μαρτυρεῖσαν ὁ Μάρων ἐποίησεν. Ὡς ὑπὸ Κυβέλης τῆς Θεῶν μεγάλης Μητέρος, καὶ Ἀφροδίτης, ἐκ τῆς Ἑλλιώων ἡ Κρέουσα αἰχμαλωσίας ῥυθεῖσα ἀποτεθέωται.

Στίχ: 848. ΤΡΙΣ ΜΕΝ ΕΦΩΡΜΗΘΗΝ. Ὅρα τὰ αὐτὰ κεδὸν ἐν τοῖς Γεωργ: (Βιβλ: Δ. 590 — 605.) Περὶ Ὀρφέως τῆ Εὐρυδίκης δραξαθαι μᾶψ γλιχομένε, ἅπερ ἀπὸ τῆς Ὁμήρε Νεκυίας ἀπέξεσαι. (Ὀδ. Δ. 205.)

Undique convenere, animis, opibuſque parati,
In quaſcunque velim pelago deducere terras.
Jamque jugis ſummæ ſurgebat Lucifer Idæ,
Ducebatque diem, Danaïque obſeſſa tenebant
Limina portarum, nec ſpes opis ulla dabatur.
Ceſſi, & ſublato montem genitore petivi.

## LIB. II. ÆN. EXPLICIT.

❀ ❀ ❀

Στίχ: 857. ΦΩΣΦΟΡΟΣ ΟΥΝ ΗΔΗ κτ: Εὐκαίρως πάνυ τὸ Β'. τῆς Αἰνειάδος, ὁ Μάρων ἐπισφραγίζων, τὸν φωσφόρον εἰσάγει ἄρτι τῆς Ἴδης ὑπερτέλλοντα. Α γὰρ φυσικῶς τῆς παννυχίδος ἐκείνης τὸ πέρας, καθ' ἣν ἀνάστατος ἡ Τροία γεγόνει, παριστησι. Β. δὲ, ἢ κατ' Ἀλληγορίαν πιστοποιεῖ τῆς Ἀφροδίτης τὴν πρὸς τὸν υἱὸν ὑπόχεσιν, ἣν αὐτῷ φθάσασα προϋπέσχη, μηδέποτε αὐτὸν ἀπολείψειν, ἕως ἐπὶ τὸ πατρῷον ἔδαφος εἰσαγάγῃ: (Ἰλιακ. στίχ. 670.)

„Οὐκ ἀπολείψω· Σὲν δὲ πατρώϊον ἄξομ' ἐς ἔδας.

Δῆλον

Φωσφόρος ἦν ἤδη ὑπὲρ ἄκριας ἤρετο Ἴδης,
Ἧμαρ ἄγων· κατέχοντες ἀτὰρ Δαναοὶ πολιόρκην
Οὐδὲς τὰς πυλέων, ὀδὲ ἐλπὶς λέπετο χραίσμης.
Εἶξας οὖν, καὶ ἄρας γενετῆρα, πέρχον ἐπ' ὄρος. 860

## ΤΕΛΟΣ ΤΟΥ Β'. ΤΗΣ ΑΙΝΕΙΑΔΟΣ ΒΙΒΛΙΟΥ

❀ ❀ ❀

Δῆλον δ' ὅτι ὁ Ἑωσφόρος ἀνάκειται τῇ Θεῷ, καὶ ταύτῃ ἐπώνυμος ἐστὶν. (Ἀφροδίτη.) Ἀλλ' ἐκεῖνο μέντοι, ὅπερ Οὐάρρων παρὰ Σερβίῳ μυθολογῶν φέρεται, τὸ μηδέποτε δι' ὅλης τῆς πλάνης τὸν Ἑωσφόρον ἀφανῆ γενέσθαι Αἰνείᾳ, ἐκτὸς εἰμὴ μετὰ τὸ εἰς Λάυρεντον ἀφικέσθαι, μετ' ἐκεῖνο δὲ αὐτῷ ἐξαφαντωθῆναι· τὸ τοιοῦτον δὴ, εἰ τοῖς ὅροις συμβαῖνον ἐστὶ τῶ παντὸς διακόσμε, ἢ μὴ, παντάπασι σωιδεῖν ῥᾴδιον.

ΤΕΛΟΣ ΤΩΝ ΕΙΣ ΤΟ Β'. ΤΗΣ ΑΙΝΕΙΑΔΟΣ

Σημειώσεων.

# P. VIRGILII MARONIS AENEIDOS

## LIBER III.

# Π. ΟΥΙΡΓΙΛΙΟΥ ΜΑΡΩΝΟΣ ΑΙΝΕΙΑΔΟΣ

## ΒΙΒΛΙΟΝ Γ.

ΤΟΥ Γ. ΤΗΣ

# ΑΙΝΕΙΑΔΟΣ

## ΒΙΒΛΙΟΥ ΥΠΟΘΕΣΙΣ.

Αἰνείας, ἐκ τῶν ἐπὶ τῆς Ἴδης ὑλῶν, νῆας εἴκοσι ἐν Ἀντάνδρῳ παρασκευάσας, μετὰ Τρώων τῶν ὡς αὐτὸν προσερρυηκότων, ἐπὶ χώρας ἀναζητήσει ἀνεβάλετο πλεῦσαι, ἐφ' ἧς τὸ περιλειφθὲν τοῦ γένους ἐπανασώσειε. Περαιωθεὶς δὲ πρῶτον ἐπὶ Θράκης, ἐνταῦθα ζῆσαι προέθετο τῷ μετάσασιν. Βωμὸν οὖ ἐγείρας αὐτόθι ἐφ' ᾧ Θεοῖς θύσειε τοῖς ἐπιχωρίοις, φωνῆς ἤκουσε Πολυδώρου τοῦ ἐκεῖ προενταφέντος, γοερόν τι ἀποδυρομένου, καὶ ἢ τάχος ἀποχωρεῖν παρακελευομένου τῆς γῆς, ἐφ' ἧς Πολυμνήστωρ φθάσας αὐτὸν ἀνῃρήκει, τῷ ὑπὸ τοῦ πατρὸς Πριάμου σὺν αὐτῷ παρακατατεθέντα σὺν οἷ περιουσίαν σφετεριόμενος. Ἐντεῦθεν οὖ Αἰνείας ἀπάρας, καὶ τὴν Δῆλον καταλαβὼν Νῆσον, ἐπὶ τῷ ἐξ ἀρχῆς τοὺς Τρῶας ἐνεγκαμένῳ ἐφικέσθαι χρῆναι ὑπὸ τοῦ ἐκεῖ χρηστηρίου ἀναδιδάσκεται. Ἡ δὲ ἦν ἄρα ἡ Κρήτη, ὡς ὁ πατὴρ Ἀγχίσης εἰκάζων τὸν τοῦ Θεοῦ χρησμὸν ἐξεδέχετο. Ἀλλὰ γὰρ κἀκεῖθεν αὖθις, ὅ τε ἐνεπισκήψας λοιμὸς τῷ στόλῳ, καὶ Θεῶν ἀρίδηλοι ὅσσαι τῶν Ἐφεσίων, ἀνέπεισαν Αἰνείαν μεταπλεύσαντα Ἰταλίαν αὐτεῖν, ὡς τάυτῃ ἤδη πέρας τῆς πλάνης τοῖς Τρωσὶν ἐσομένῳ. Σφοδρῷ τοίνυν τῷ κλύδωνι κατὰ τὸν ἀνάπλουν καταληφθέντες, καὶ Νήσοις ταῖς Στροφάσιν ἐνορμισάμενοι, ὑπὸ τῶν ἐν αὐταῖς ἐπιπολαζουσῶν Ἁρπυιῶν ἠναγκάσθησαν ἀποστῆναι· ὅθεν ἐπὶ τὸ Ἄκτιον τραπέντες, καὶ Ἀπόλλωνι τῷ ἐκεῖ τιμωμένῳ ἀγῶνα γυμνικὸν ἐνσησάμενοι, ἔξῆς τε τῷ Φαιάκων παραμείψαντες Νῆσον, εἰς Ἤπειρον κατῆραν, ἧς Ἕλενος ἦρχεν ὁ τοῦ Πριάμου, προῖκα τάυτῃ ἐξ Ἀνδρομάχης παραλαβὼν, ἣν Ἕκτορος χηρωθεῖσαν, μετὰ τῷ Νεοπτολέμου τοῦ κτησαμένου ἀναίρεσιν, αὐτὸς ἀκοίτῃ ἠγάγετο. Ἐνταῦθα δὴ πρὸς Ἑλένου φιλοφρόνως λίαν Αἰνείας σὺν τοῖς περὶ αὐτὸν ἐπιξενωθεὶς, καὶ πολλὰ τῶν οἱ συμβαίνειν μελλόντων ὑπ' αὐτοῦ, ἅτε Μαντικοῦ ἀνδρὸς, καὶ τῷ Ἀπόλλωνι ἱερατεύοντος, προκατηχηθεὶς, ἐπ' Ἰταλίας τὸν πλοῦν ἰθύει. Σικελίαν δὲ παραπλε-

ραπλεύσας, καὶ ὑπὸ Αἴτνῃ τῷ ἐπ' αὐτῆς ὄρει ἐλλιμενισθεὶς, Ἀχαμενίδῃ προσεντυγχάνει τῷ ὑπὸ Ὀδυσσέως ἐκεῖ προεγκαταλειφθέντι, ὑπὸ δὲ τότε, ἡλίκη τις ἦν, ἢ τῶν ἐν τῇ χώρᾳ διαιτωμένων Κυκλώπων ὠμότης τε καὶ θηριωδία καταμαθὼν, καὶ ὡς εἶχε τάχους σπεύσας ἀπᾶραι· καὶ μὲν δὴ καὶ Σκύλλης τε καὶ Χαρύβδεως, ἃς παραμείψας ἔδει, ἀποσωθεὶς, ἐπὶ λιμένα τέως κατάγεται πόλεως Δρέπανον καλουμένης, ἐν ᾗ Ἀκέστης ὁ Τρὼς βασιλεύων ἦν· ἔνθα καὶ Ἀγχίσης ὁ γηραιὸς τὸ ζῆν ἐξεμέτρησεν, ἀμύθητον ὅσον Αἰνείᾳ τῷ ἐξ αὐτοῦ φωῖτι τὸ ἄλγος καταλιπών. Ἀνενεκτέον ἦν ἐπὶ τὸν ἀπὸ Δρεπάνου πλοῦν ἐφεξῆς, τιὼ τῷ Τρωϊκῷ ζόλῳ ἐπιβρίσασαν ζάλιν, καὶ τιὼ ἐντεῦθεν ναυαγίαν, ἣν ἐν τῷ Α'. τῆς Αἰνειάδος ὁ Ποιητὴς Φθάσας διεῤῥαψῴδησεν.

## ἘΠΙΓΡΑΦΗ

### Τῆς Γ'. τοῦ Μάρωνος Ῥαψῳδίας.

*Αἰνείας πάτρῳ παντᾷ ζητεῖ διὰ πόντου.*



# P. VIRGILII MARONIS

## AENEIDOS

### LIBER III.

Poſtquam res Aſiæ, Priamique evertere gentem
Immeritam viſum ſuperis, ceciditque ſuperbum
Ilium, & omnis humo fumat Neptunia Troja;

Diven

❁ ❁ ❁

Στίχ: 1. ΑΥΤΑΡ ΕΠΕΙ ΑΣΙΗΝ κτ: Τὰ τῆς Ἀσίας πράγματα· τὸ ἐν Ἀσίᾳ κράτος. Ἀσίαν δὲ νοητέον ἐνταῦθα οὐχὶ τὴν μεγάλην, ὃ καλεῖται· οὐδὲ τὴν καθ' ἡμᾶς μικρὰν λεγομένην, ὡς πολλοστὸν ὄσαν οἷον ἐκείνης ἀπότμημα· μέρος δὲ καὶ ταύτης, τῶν Φρυγιῶν δηλαδὴ τὴν ἐλάσσονα, ἐν ᾗ Τρωὰς χώρα, ἧς πόλις ἦν πρωτεύουσα τὸ Ἴλιον, οὗ Πρίαμος ἐβασίλευεν. (Ὅρα Λ. Αἰν 416.)

Στίχ: Αυτ: . . . ΠΡΙΑΜΟΥ ΛΑΟΝ ΤΕ ΠΑΡ' ΑΙΣΑΝ· Παρὰ τὸ δίκαιον, ἢ παρ' ἀξίαν· οὐ γὰρ ἔτι Λαομέδων πάλαι ἐξήμαρτεν, ἢ τὸ ἔχατον ὁ Πάρις, τὸν λαὸν προσῆκε τὰς οὕτω βαρείας ἀποτίσασθαι δίκας. Ἅλως τε, ὁδὲ Τρῶας τῶν πάντη ἀλιτρῶν φαίητις ἂν γενέσθαι, οἷς περ εὐσέβειάν τε καὶ θεοφιλίαν αὐτός πω Ζεὺς ἐπεμαρτύρατο, Ἰλ. Λ. στίχ. 44. κτ:

„Αἴ γὰρ ὑπ' ἠελίῳ τε καὶ ἐρανῷ ἀστερόεντι,
„Ναιετάουσι πόλιες ἐπιχθονίων ἀνθρώπων,
„Τάων μοι περὶ κῆρι τιέσκετο Ἴλιος ἱρὴ,
„Καὶ Πρίαμος, καὶ λαὸς ἐϋμμελίω Πριάμοιο.
„Οὐ γάρ μοι ποτὲ βωμὸς ἐδέυετο δαιτὸς ἐΐσης,
„Λοιβῆς τε, κνίσσης τε· τὸ γὰρ λάχομεν γέρας ἡμεῖς.

Στίχ: 2. ΕΥΑΔΕΝ ΟΥΡΑΝΙΟΙΣ κτ: Τῷ Ποσειδῶνι, τῇ Ἥρᾳ, τῇ Παλλάδι. Τῶν μὲν διὰ τὴν Λαομέδοντος ἀπιστίαν, τῇ δὲ διὰ τὸν Πάριδος δεκασμὸν, τῇ δὲ διὰ

# ΠΟΥΒΛΙΟΥ ΟΥΙΡΓΙΛΙΟΥ ΜΑΡΩΝΟΣ

## ΤΗΣ ΑΙΝΕΙΑΔΟΣ

### ΒΙΒΛΙΟΝ: Γ.

Αὐτὰρ ἐπεὶ Ἀσίην, Πριάμῳ λαόν τε παρ' αἶσαν
Ἔναδεν ἀρανίοις πέρσαι· κακὸν ἤριπε πρόχνυ
Ἴλιον ὀφρυόεν· καὶ δὴ καπνὸς γ' ἀπὸ θρῶσκε



διὰ τὴν πρὸς Ἕλληνας χάριν. Τὸ δ' ἔναδεν οὐρανίοις, καὶ ἄλλως ἔτι κρυφιωτέρας ὑπεμφαίνει λόγους, ἕς ἔστι θέμις ἀνακρίνειν, ἐὰν ἔσι τεκμήραθαι· ἐν οἷς, καὶ τῆς Πατρίδος Αἰνείας ἐπηλυγάζει τὴν ἀδοξίαν. Τοιαῦτα γὰρ αὐτὸν οὐχ ὑπὸ τῶν Ἀχαιῶν παθεῖν ἐκδιδάσκει, ἀλλ' ὑπὸ δυνάμεως ἄλλης ἰσχυροτέρας καὶ κρείττονος.

Στίχ: 3. ΙΛΙΟΝ ΟΦΡΥΟΕΝ κτ: Οὐκ ἀλαζονείας, ἀλλὰ τύφου ἐνδεικτικὸν ὧδε τὸ ὀφρυόεν, φιλοτιμίας δέ τινος μεγαλοφροσύνης καὶ γενναιότητος.

Στίχ: Αὐτ: . . . ΚΑΠΝΟΣ Γ' ΑΠΟ' ΘΡΩΣΣΚΕ, Fumat (καπνὸν ἀναδίδωσιν) ὁ Μάρων φησὶν, ἐν ἐνεστῶτι τῷ χρόνῳ· ἐπεὶ δὲ τῷ cecidit (πέπτωκε, κατήρι-πε,) τῷ ἐν χρόνῳ παρωχημότι, ἀ συνέσηκεν, εἰς διάφορα οἱ Σχολιασταὶ τραπέντες, οἱ μὲν Σολοικοφανὲς ἀποφαίνονται τὸ fumat, οἱ δὲ κατ' ἀντι-χρονισμὸν εἰρῆσθαι φασὶν· οἱ δὲ καθ' ὑπερβολὴν, τῇ ἐμπρησμῇ τὸ μέγε-θος ὑπεμφαίνεσαν· ὡς ἐ δηλῶν ἐβέλετο, καὶ μέχρι τῆ νῦν τὴν τῆ καπνῆ ἀναδοσιν παραμένειν, ὑποτυφομένων ἔτι τῶν ἐρειπίων. Οἱ δὲ ὅτι καὶν τῷ ἐνεστῶτι ἡ τῆ γινομένη παράτασις συνυπακέεται. Διὸ καὶ ἡμεῖς τῷ Παρατατικῷ χρόνῳ ἀπεχρησάμεθα ἐρμηνεύσαντες· ἀπέθρωσκε.

Στίχ:

Diverſa exilia, et deſertas quærere terras
Auguriis agimur Divûm, claſſemque ſub ipſa
Antandro, et Phrygiæ molimur montibus Idæ,
Incerti quo fata ferant, ubi ſiſtere detur;
Contrahimuſque viros. Vix prima inceperat æſtas;
Et pater Anchiſes dare fatis vela jubebat.
Littora tum patriæ lacrymans, portuſque relinquo,
Et campos ubi Troja fuit: feror exul in altum
Cum ſociis, natoque, Penatibus, et magnis Diis.
Terra procul vaſtis colitur Mavortia campis,
Thraces arant, acri quondam regnata Lycurgo;
Hoſpitium antiquum Trojæ, ſociique Penates,

Dum

❀ ❀ ❀

Στίχ: 4. . . ΓΑΙΗΣ ΙΕΡΗΣ ΠΟΣΙΔΩΝΟΣ. Οὕτω καὶ ἀλλαχοῦ προσείρηκε (B. Αἰν: 5ίχ. 675.) Ποσειδήϊον Ἄξυ. Ἐντρέπει δέπως διὰ τῆς ἐπωνυμίας, τὰς εἴτε τινὶ ἐκπόρθησιν διαπραξαμένας, εἴτε καὶ ἐπιτρέψαντας· ὅτι πόλιν τηλικαύτην, θείαν τε δὴ, καὶ Θεοῖς ἱερὰν οὖσαν κατέλυσαν.

Στίχ: 5. . . ΥΠΕΙΡΟΡΙΟΥΣ ΙΔ' ΕΡΗΜΑΣ, Τετὶ παρέχε πράγματα τοῖς Ἑρμίωευταῖς ἐπιτεθὲν, τὸ ἐρήμας. Deſertas. Ὁ μὲν οὖν τις φησὶν ἐκτιθέμενος: τὰς ὑπὸ Δαρδάνε ἐγκαταλειφθείσας, οὐδὲν ἐξίν. Ὁ δ' ἕτεροι: τὰς ἐγκαταλειπτέας, ἢ μελλούσας ἐγκαταλείπεσθαι· οἷον τινὶ ἐπὶ Θράκης Αἶνον, τὰ ἐν Κρήτῃ Πέργαμα, καὶ τοῦτο πως ὑπόψυχρον· ἐρήμας γὰρ εἶπεν, ἐκ ἐρημωθησομένας· καί τοι οὐδ' ἐκείναις μετὰ τινὶ ἀπέλευσιν τῶν ἀμφ' Αἰνείαν ἐξηρημώθησαν, οὐδ' ἐγκατελείφθησαν τέλεον. Οὔκουν δὲ, οὐδ' ἐκεῖνο ἀρέσκει τὸ, ἀφόρους λέγειν, καὶ ἀκάρπους, καὶ πρὸς οἴκησιν ἐκ ἐχούσας ἐπιτηδείως· οὐ γὰρ ἔτως ἀριζηρὸν τὸ λάχος ὑπὸ Μοιρῶν προσῆκε τὸν Αἰνείαν ἐκδέχεθαι. Ἀλλ' ἐκεῖνο μοι δοκεῖ λέγειν Αἰνείας ἐνταῦθα χώρας τῷ ὄντι ἐξηρημωμένας· τὰς παρὰ τῶν ἄλλων ἀμελεμένας, τὰς ὑπὸ μηδενὸς οἰκεμένας, ἢ νεμομένας. Οὕτω γὰρ λέγων τινὶ Τυρίων ὑπόνοιαν προσφόρως προαποσκευάζει, μή ποτε χωρῶν ἐπιβάτας ἀλλοτρίων ὑπολαβόντες τὰς Τρῶας, καὶ ὑπὲρ τῆς ἑαυτῶν αὐτοὶ δείσαιεν. Οὕτω δὴ καὶ οἱ Γαλλισὶ ἑρμίωεύσαντες, τὸ deſertas (ἐρήμες) ἀπέδωκαν: des pays inhabites: des pays abandonnes, pour nous etablir.

Στίχ: 6. ΟΜΦΑΓΣ ΘΕΣΠΕΣΙΗΙΣΙΝ κτ: Τῷ περὶ τὸν παῖδα Ἀσκάνιον αὐφνὶς περιχυθέντι φωτὶ (B. Αἰν: 737.) Τῇ ἐπ' αὐθρης καταῤῥαγείσῃ λαίθεν βροντῇ (Αὐτ: 747.) Τῷ διάττοντι ἀςέρι (Αὐτ: 750.) Ταῖς προῤῥήσεσι τῆς ἐν Φάσματι ἐποφθείσης Αἰνείᾳ Κρεούσης (Αὐτ: 833. κτ:) Ἐπὶ πᾶσι δὲ, καὶ πρόγε πάντων, ταῖς τῆς Θεαίνης Μητρὸς ἐπαγγελίαις καὶ ὑποχέσεσιν. (Αὐτ: 670.)

Στίχ: 7. . . . ΕΝ ΑΝΤΑΝΔΡΩι κτ: Πόλις δ' ἦν ἡ Ἄνταν δρος ὑπὸ τινὶ Ἰδίω πρὸς Ἴῃ Μυσίᾳ τῆς Αἰολίδος. (Στέφ. Βυζ.) Εἶχε δὲ καὶ ὄρος ὑπερκείμενον, ὅπερ Ἀλεξάνδρεια ἐπεκλήθη, διὰ τινὶ ἐπ' αὐτῷ τῶν Θεαινῶν δίκιω ὑπὸ Ἀλεξάνδρε τῦ Πάριδος· (Στράβ. Βιβλ. ΙΓ.) Ἄνταν δρος δὲ εἴρηται, ἢ ἀπὸ Ἀντάνδρε τῦ Στρατηγῦ Αἰολέων· ἢ ἀντὶ Ἄνδρε τῆς Νήσε, ἔθεν ὠκίθη· ἢ ἀντὶ τῦ Ἄνδρος, καθότι λύτρον ἐδόθη τοῖς Ἕλλησιν ὑπὸ Τρώων ἐπὶ ἀναῤῥύτει Πολυδώρε κατὰ Θράκιω ἁλόντος· ἢ ὅτι ἐκεῖ ὑπὸ Πολυμήςορος κτανθεὶς, ἀπέῤῥιπται μετὰ τινὶ Ἰλίε ἄλωσιν. Διὸ καὶ Ἑκάβη τὸν νεκρὸν τῦ υἱέως θεασαμένη ἑαυτινὶ ἐκεῖ κατεπόντωσεν· ἢ καὶ εἰς κυῶα πέπλασαι μεταβαλέθαι, ὡς πολλὰ Ἑλλίων καθυλακτήσασα.

Στίχ: Ἄυτ: . . . ΦΡΥΓΙΗΣ . . . ΙΔΗΣ. Πρὸς διαζολὴν τῆς ἐν τῇ Κρήτῃ, Φρυγίαν προσείρηκε. Θρυλλεῖται δὲ, ἡ μὲν Κρηταία Ἴδη, διὰ τινὶ ἐπ' αὐτῆς τῦ Διὸς γέννησιν· ἡ δὲ Φρυγία διὰ τινὶ ἐν τῷ ἐκεῖ ἀπηλαίω

τῶν

Τρωϊάδος πάσης, γαίης ἱερῆς Ποσιδῶνος
Χώρας μαξέυειν τε, ὑπειροπίης ἰδ' ἐρήμας,
Ὀμφαῖς θεσπεσίῃσιν ὑπακοντες Φερόμεθα.
Τοι γὰρ ἐν Ἀντάνδρῳ, Φρυγίης ὑπὸ ἄρεσιν Ἴδης
Νῆας ἐτεύχομεν, ἀδ' αὐτοὶ σάφα εἰδότες ἔμπης,
Οἷ κῆρες ποτ' ἄγωσιν, ὅπα δ' ἄρα παῦλα δοθείη.
Ξυὼ δ' ἄνδρας λεγόμεσθα. Θέρος δ' ἐπὶ ἄρχετο πρῶτον,
Ἀγχίσης δὲ πατὴρ μοίρας κέλεθ' ἱσὸν ἑπάρας,
Πάτρης δακρυχέων λιπόμιν τότε θῖνας ἰδ' ὅρμους,
Ἀγρὸς θ' ἥχι ἔιω Τροίη, ἀπιών διὰ πόντε
Σώ θ' ἑταροις, καὶ φωῖτι Θεοῖς μεγάλοις τε πατρῴοις.
Κεῖται γαῖα πέριω Ἀρήϊος ἐυρύπεδος τε,
Θρῆκες ναιετάασ' ἀγρὸς αὐτῆς ἀπελέθρους,

Η'

❋ ❋ ❋

τῶν Θεαινῶν ἐπὶ Πάριδος κρίσιν, δι' ἣς Ἀφροδίτη τὸ καλλιστεῖον ἀπηνέγκατο.

Στίχ: 8 ΝΗΑΣ ΕΤΕΥΧΟΜΕΝ. Ἡ γὰρ Ἀντανδρος ἐν μυχοῖς τῆ Ἀδραμυττινῆ κόλπε κειμένη, παράλιός τε ἔσα, καὶ τιὼ πολυδενδροτάτιω Ἰδίω ἐκ τῆ σωέγγυς ἔχεσα, πρὸς ὑλοτομίαν τε καὶ ναυπηγίαν ἐπικαιροτάτη ὑπῆρχε τοῖς περὶ Αἰνείαν, ὥςε τὰ πρὸς τὸν ἔκπλεν παρασκευάσαθαι.

Στίχ: 10. . . . . ΘΕΡΟΣ Δ' ΕΠΕΙ ΑΡΧΕΤΟ ΠΡΩΤΟΝ, Θέρος ὧδε τὸ ἔαρ ὑποθετέον, κατὰ τιὼ εἰς δύο τῆ ἐνιαυτῆ παρὰ τοῖς παλαιοῖς διαίρεσιν. Ὅσον δὲ ἄρα χρόνον Αἰνείας, ἐν Ἀντάνδρῳ τὰ πρὸς τὸν ἔκπλεν παρασκευάζων διατρίψας ἐγένετο, αὐτὸς μὲν ὁ Ποιητὴς ἐκ ἐδήλωσεν· ἀδὲ γὰρ ἀδὲ τὰ περὶ τῶν ἄλλων ἐκείνε ἀναςαθμῶν, ὧν πολλαχῆ πλέων μεταξὺ ἐποιησατο, ἐπ' ἀκριβὲς ἡμῖν ἐγνω χρονολογῆσαι, ὡς ἀχ ἱσορικῶς ἐπιβαλόμενος συγγράφειν, ἀλλὰ ποιητικῶς ῥαψωδεῖν. Διὸ καὶ ἄλλως φέρονται περὶ τάτε ἄλλοι ὑπειληφότες· τῶν μὲν τιὼ Αἰνείε ἐν Ἀντάνδρῳ διατριβιὼ μετὰ τιὼ Ἰλίε ἅλωσιν εἰς τριετίαν παρατεινόντων, τῶν δὲ εἰς ἐνιαυτὸν ἕνα συναιρόντων· ὧν εἷς καὶ ὁ χρονολόγος Σκαλίγερος (περὶ Ἐπανορθ· τῶν χρον. Βιβλ: Ε'.) ὅς τιὼ μὲν ἐκπόρθησιν Τροίας περὶ τροπὰς γενέσθαι τὰς Ἐαρινὰς, τὸν δὲ ἐξ Ἀντάνδρε ἔκπλεν ἐπὶ τῆ ἐφεξῆς ἔαρος εἰσηγήσατο.

Στίχ: 11. ΑΓΧΙΣΗΣ . . . . . ΚΕΛΕΘ' ΙΣΤΟΝ κτ: Ὁ δυχερῶς πρὶν, καὶ μόλις, (Β. Αἰν: στίχ: 689 — 746.) τῆς πατρίδος ἀναπεισθεὶς ἀποσιῶαι ἐκπορθωμένης, Ἀγχίσης, πρῶτος νιῶ ἀνάγεσθαι ἀπ' Ἀντάνδρε κελεύει. Εὖ δὲ τῆ πρέποντος ἐπεσχάσατο καὶ Μάρων, τᾷ πατρὶ καὶ γέροντι τὸ πρὸς Ἰλιὼ ἀναγωγιὼ κέλευσμα ἀπενείμας.

Στίχ: 12. ΠΑΤΡΗΣ ΔΑΚΡΥΧΕΩΝ ΛΙΠΟΜΗΝ κτ: Οὔ φησι τιὼ πατρίδα ἀπολιπέσθαι, ἐκέτι γὰρ ἦν· Θῖνας δὲ, καὶ ὅρμες, καὶ ἀγρὸς τὰς τῆς πατρίδος, ἃς ἐκ ἦν ἐπὶ τοῖς πολεμίοις ἐξ ὄντων ποιήσαθαι.

Στίχ: 15. ΚΕΙΤΑΙ ΓΑΙΑ ΠΕΡΙΗΝ ΑΡΗΙΟΣ, ΕΥΡΥΠΕΔΟΣ ΤΕ, Τῆς Τρωϊκῆς χώρας ἡ πρὸς ἠλίε δυσμὰς περαία, ἡ ἐ πάνυ πόῤῥω, ἀλλ' ἥ ὅσον ὁ Ἑλλήσποντος πορθμὸς τὰς ἠπείρες διείργει, ἀπέχεσα. Τῆ δὲ πορθμῆ εἰσπλέσι κατὰ μὲν τὸ Σίγειον, εὖρος σαδίων ὡσεὶ πέντε πρὸς τοῖς τριάκοντα· περοῖσι δὲ περὶ τιὼ Ἄβυδον ἐπισενομένε, τὸ πεμπτημόριον, ὅπερ ἐςὶ σαδίων ἑπτὰ. Ἀρήϊος δὲ γαῖα καλεῖται ὑπὸ τῆ Ποιητῆ, Mavortia terra: καθάπερ ἂν καὶ ὑπὸ τῆ Λυρικῆ Ὡρατίε (Βιβλ: Β Ὠιδ. Ις'.) Bello furiosa Thrace: Ἀρειμάνιος Θράκη· διὰ τὸ τοῖς ὅπλοις ἔκδοτον εἶναι τὸ ἔθνος, „καὶ πολεμικὸν Ἔνθεντοι καὶ παρ' Εὐριπ. ἐν Ἑκάβῃ: Ἰὼ Θράκης λογ„χοφέρον, ἔνοπλον, ἔυιππον, Ἄρει κάτοχον γένος. Ἀλλὰ καὶ εὐρύπεδος ἡ Θράκη προσείρηται· ὅροι γὰρ αὐτῆς πρὸς μὲν Βορρᾶν τὸ ὄρος ὁ Αἷμος, δι'

Dum fortuna fuit: feror huc, et littore curvo
Mœnia prima loco, fatis ingreſſus iniquis;
Aeneadaſque meo nomen de nomine fingo.
Sacra Dionææ matri, diviſque ferebam
Auſpicibus cœptorum operum: ſuperoque nitentem
Cœlicolûm regi mactabam in littore taurum.
Forte fuit juxta tumulus, quo cornea ſummo
Virgulta, et denſis haſtilibus horrida myrtus.
Acceſſi, viridemque ab humo convellere ſylvam
Conatus, ramis tegerem ut frondentibus aras:
Horrendum et dictu video mirabile monſtrum.

Nam,

❁ ❁ ❁

ἓ τῆς Μοισίας ἀφαρίζετο· πρὸς δὲ Νότον ἄνεμον, τὸ Αἰγαῖον πέλαγος· Δυσμόθεν δὲ τὸ Παγγαῖον ὄρος, τὸ τῆς Μακεδονίας αὐτίῳ ἀποδιῖῶν· ἐξ Ἀνατολῶν δὲ ὁ Εὔξεινος πόντος, καὶ ἡ Προποντὶς, καὶ ὁ Ἑλλήσποντος.

Στίχ. 17. ΑΙΝΟ'Σ ΠΟΤΕ ΛΥΚΟΫΡΓΟΣ. Παῖς ἦν ἔτος Δρύαντος, χαλεπὸς ἀνὴρ καὶ ἄγριος, τῶν παρὰ τὸν ποταμὸν Στρυμῶνα Ἠδωνῶν, ἢ Βισσόνων βασιλεύων· ὃς τῆς ὑφ' αὐτῷ χώρας, Βάκχον, καὶ τὸν ἐκείθε Θίασον ὑβρίσας ἐξήλασε. Διὸ καὶ εἰς μανίαν ἐτράπη· καὶ ποτε ἀμπέλε κλῆμα ἐκκόπτειν δοκῶν, τὸν ἰέα πλήξας πελέκει ἀπέκτεινεν· ὡς δὲ φασὶν, ὅτι καὶ ἑαυτὸν τῇ ποδὶ ἀκρωτηριάσας ἐπεσωφρόνισε. Περὶ τούτε Ἀπολλόδ. ἐν Γ. Βιβλ: ΚεΦ, Ε καὶ ἄλλοι. Ἔνθ' ἔπεσιν ὑπὸ τὸν μῦθον διορᾷν, τὸν ἄοινον μὲν αὐτὸν βιῶντα, ἀμπέλους δὲ φυτεύειν τοῖς ἀρχομένοις ἀποτόμως ἀπαγορεύοντα· ὃς ἐπεὶ κλήματι περιτυχὼν ἀμπέλε, πέλεκιν ἁρπάσας μετ' ὀργῆς, ἐκτεμεῖν αὐτοχειρὶ ἀνεβάλετο, ἀπροσέκτως κατενεγκὼν, ἑαυτῇ τὸν πόδα κατηλόησεν· ἐξ οὗ, Διονύσῳ τούτῳ δῆναι τῷ δίκῃ δεισιδαιμονέσερον ἀναπεισθεὶς, τῇ λοιπῇ ἁπλῶς καὶ τραχέως τοὺς ἀμπελοκομοῦντας κολάζειν ἀπέχετο.

Στίχ. 18. ΟΙ" ΡΑ ΠΑ'ΡΟΣ ΤΡΟΙ'Η. . . . Ξενία γὰρ ἦν Θρᾳξὶ τε καὶ Τρωέσιν ἐκ παλαιῆ, καὶ Θεοὶ παρ' ἀμφοτέροις τοῖς ἔθνεσιν ἐτιμῶντο οἱ αὐτοὶ, ὡς καὶ ὑπὸ τῶν πρὸς τὸ αὐτὸ γένος ἀναγομένων βασιλευομένοις. Δάρδανος γὰρ καὶ Ἰασίων ἀδελφῶ ἦσιν, ἐκ Διὸς καὶ Ἠλέκτρας (Ἀπολλόδ. Βιβλ: Γ. ΚεΦ. ΙΒ) ὧν ὁ μὲν ἐβασίλευε Θρᾴκης, Δάρδανος δὲ Φρυγίας. Παρὰ ταῦτα δὲ καὶ ἀγχιστεία ὕστερον ἐπιγενομένη, ἔτι καὶ μᾶλλον εἰς οἰκειότητα τὰ γένη σωῆψε, Πολυμνήστορος τῇ Θρακῶν κρατοῦντος Ἰλιώνιν γήμαντος θυγατέρα Πριάμε. Ἀλλὰ γὰρ τῇ δυσηνῳ Τροίᾳ μετὰ τῆς τύχης, φησὶ, καὶ τὰ τῆς μετὰ Θρακῶν οἰκειότητος συμμετέβαλέτε καὶ ωωεξέλιπε.

Στίχ: 20. ΠΡΩΤΑ ἘΚΕΙ" ΜΟΙ'ΡΗΣΙΝ. . . Τίῳ παρὰ ταῖς Ἕβρε ἐκβολαῖς πόλιν, ἤτοι τίῳ Αἶνον οἱ πλεῖσοι ἐνταῦθα ὑποτιθέασιν, ἧς καὶ Ἡρόδοτος μέμνηται (Βιβλ: Α' Ἀριθμ. 90.) καὶ Πλίνιος (Φυσ, Ἱσορ. Βιβλ. Δ'. ΚεΦ: ΙΑ'.) καὶ Ἄλλοι οἱ καὶ τὸν Πολυδώρε Τύμβον, τῇ ὑπὸ τῇ πλετομανεῖς Πολυμνήστορος ἀναιρεθέντος, ἄχρι πόρρω ἐκεῖσε δείκνυθαι παρέδωκαν, ἐναγίσμασιν ἐνιαυσίοις τιμώμενον Ἀλλὰ γὰρ ἐνέσηκε, φασί τινες, ὅτι καὶ πρὸ τῆς Ἰλίε ἐκπορθήσεως, τὸ τῆς Αἴνε ὄνομα παρ' Ὁμήρῳ φέρεται, ἐν „οἷς, Πείρως Ἰμβρασίδης εἰσάγεται Θρηκῶν ἀγὸς, ὃς ἄρ Αἴνόθεν εἰληλέθει (Ιλ. Δ. 520.) Καὶ πρὸ τῶν Τρωϊκῶν δὲ, ἐπὶ Ἡρακλέους ἔτι, ὃς ἀπὸ Τροίης ἀναχθεὶς Αἴνῳ προσέσχε, καὶ ξενίας ἔτυχεν ἐν αὐτῇ τῆς τῇ Πόλτυος. (παρὰ Ἀπολλόδ. Βιβλ. Β'. ΚεΦ. Ε'.) ἐξ ὧν πάντως ὁ Ἁλικαρνασ. Διονύσ. (ἐν τῷ Α'. τῆς Ῥωμ. Ἀρχαιολ.) κινηθεὶς, τίῳ παρὰ τῷ Ἕβρῳ Αἶνον ἐπὶ τίῳ ἐν τῷ Θερμαϊκῷ κόλπῳ καλεμένῳ Αἰνείαν μετέσησε, τίῳ δὲ πλεῖσιν ἢ πεντε-

Ἠδέ τ' ἀρῆσιν· τῆς δ' αἶνος ποτε ἦρχε Λυκᾶργος.
Οἵ ῥα πάρος Τροίῃ ξένοι αὐτὰρ ὀμέξιοι ἔσσαν,
Ἔς τ' ἦν εὐδαίμων. Τιὼ δ' ἄρ καμπιὼ ἐπικέλσας,
Πρῶτα ἐκεῖ Μοίρῃσιν ἀνάρσια ἤλασα τείχη.
Αἰνεάδας τ' ἐθέμιω, ἠμόν γε κατ' ἄνομα κλῄσιν.
Ἰρὰ Διωναίῃ δὲ τεκόσῃ, Δαίμοσί θ' ἕρδον
Ἔργων ἡγητῆρσιν ἐπ' ἀκταῖς. Ταῦρον τ' ἀργὸν
Ῥέξον ἐκεῖ ὑπάτῳ κρειόντων οὐρανιώνων.
Χῶμα τι ἐνθάδ' ἔιω ἔμπλιω, καὶ τᾶδ' ἐπὶ ἄκρης,
Θάμνοι τε κρανέης, μύρτα θαμὰ δᾶρα τε θάλλον·
Κεῖσ' ἐπιβὰς γαίης χλοερὶω ὕλιω ἐκπάθαι

Β 2 Σπεῦδον,

❋ ❋ ❋

πεντεκαίδεκα χιλιάσι βημάτων (ὡς φησί) Θεσσαλονίκης ἀπέχουσαν. Ἀλλ ἐδὲν οἶμαι ἔδει μακρὰν ἔτω τὸν Αἰνείαν ἀπὸ τῆς Θρακικῆς περαίας ἀπαγαγεῖν ἐπὶ τὸν κόλπον τὸν Θερμαϊκὸν, ὅτε ἀναχθεὶς ἐξ Ἀντάνδρε, καὶ ἀκτὶω μίαν παραμείψας καμπύλιω, αὐτίκα πρῶτον ἄρηται τὶω οἰκοδομίαν ἀναβαλέσθαι τᾶ Ἄξεος. Ἔγω γὰρ Αἶνον τινὰ πόλιν ἄλλιω ἐκεῖ προϋφεσᾶναι ἤδη καὶ πρότερον, ἀλλὰ τὶω χώραν ἑαυτῷ πρὸς οἴκησιν Αἰνείας ἐπικαταλαβὼν καὶ κατοχυρώσας, ἐδὲν ἄτοπον εἰ ἐκ τᾶ ἰδίε ὀνόματος καλεῖσθαι ἐποίησε, τῆς προτέρας (εἴτις ἦν) ἐξαμαυρωθείσης, καὶ τᾷ νεωργηθείσᾳ παραχωρησάσης τᾶ ὀνόματος. Εἶτα καὶ κατ' ἐπιχρονισμὸν ἴσως ὁ Μάρων, σωάμα τᾷ πρῶτον ὑπ' Αἰνείᾳ καταβληθείσᾳ πόλει, ἀκριβεῖως πρῶτον καὶ τὸ τῆς Αἴνε διέπλασεν ὄνομα, κατ' ἐξουσίαν ποιητικὶω, καὶ περ ἄλλως, ἐχὶ τὶω πόλιν αὐτὶω Αἶνον ἔφησεν ὁ Ποιητὴς ἐπικληθῆναι, τὸς δὲ οἰκήτορας Αἰνειάδας.

„Αἰνεάδας τ' ἐθέμιω ἠμόν γε κατ' ἄνομα κλῄσιν.

Ὅτι μὲν ἔν καὶ πόλεις ἄλλαι πολλαχᾶ, καὶ ὑπὸ πολλῶν φέρονται κτισθεῖσαι Αἰνώνυμοι, καὶ ὁ τῶν Ἐθνικῶν Συγγραφεὺς μαρτυρεῖ, πέντε, ἢ ἔξ τινὰς καταλέγων· Ἀλλ ἐδὲν κωλύει, τᾶ μὴ παρὰ τᾶτο, τὶω ἐπὶ τῶν ἐκβολῶν τᾶ Ἕβρε, ἄλλιω δέ τινα ἐνταῦθα νοεῖσθαι, ἣν ἐξ Ἀντάνδρε καταχθεὶς Αἰνείας πρῶτον ἐδείματο· τάυτιω γὰρ, Αἰνειάδων τῶν πολιτῶν προσερημένων ὑπὸ τᾶ σωοικίσαντος, Αἶνον ἐκνικῆσαι καλεῖσθαι, ἣν ἐυλογώτατον.

Στίχ: 22. ΙΡΑ ΔΙΩΝΑΙΗΙ ΔΕ ΤΕΚΟΥΣΗΙ κτ. Πρῶτον τᾷ μητρὶ Ἀφροδίτᾳ, ἔπειτα καὶ τοῖς Θεοῖς, οὓς ἀντιλήπτορας καὶ βοηθὸς εἰς τὸ ἔργον ἐπεκαλεῖτο. Διωναία δὲ ἡ Ἀφροδίτη, ὡς ἐκ Διὸς τεχθεῖσα καὶ Διώνης μιᾶς τῶν Τιτανίδων, ἃς Οὐρανὸς ἔσχεν ἐκ Γῆς θυγατέρας· (Ἀπολλόδ. Βιβλ: Α. Κεφ. Α. καὶ Γ.) Κύπριν δὲ Διωναίαν προσείρηκε καὶ Θεόκριτος· (Εἰδυλ. ΙΕ'. στίχ. 106.) Οὐκεν ἄρα τᾶ Λεξικοποιᾶ ἀκουστέον (Σουίδ.) λέγοντος, ὅτι Διωναία ἡ Ἀφροδίτη, καὶ Διώνη ἡ αὐτή. Διώνη γὰρ ἡ τῆς Ἀφροδίτης μήτηρ, ἧς καὶ Ὅμηρος ἐμνήσθη (Ἰλ. Ε'. 381.) καὶ ὁ τὸν πρῶτον τῶν Ὕμνων ἄσας (τὸν εἰς τὸν Ἀπόλ. στίχ. 93.) τῶν Ὁμήρῳ προσεπιγραφέντων· Οὐδ' ὁ τὰ Σοίδα δὲ σημειώσεσιν ἰδίαις καταπυκάσας τᾷ Ποιητικᾷ Θεογονίᾳ δοκεῖ παρηκολουθηκέναι, ἐν οἷς Διωναίαν τὶω Κύπριν σεσημείωκεν ὀνομασθῆναι ἀπὸ τῆς ἐν Κύπρῳ πόλεως Διωνίας, ἧς ἐμνήσθη καὶ Στέφανος ὁ Βυζάντιος· εἰκὸς γὰρ τὶω πόλιν μᾶλλον, ἐξ ἧς ἦν τιμῶσα Θεοῦ παρονομασθῆναι, ἢ ἐκ τῆς πόλεως τὶω Θεὸν.

Στίχ: 23. . . ΤΑΥΡΟΝ Τ' ΑΡΓΟΝ· Οὐιργίλιος nitentem ἔχει· ὅπερ ἐστὶ λάμποντα, στίλβοντα· τὸ δὲ, ἢ ὡς εὐτραφῆ τε καὶ πίονα, καὶ τὸ δέρμα λεῖον τε καὶ καθαρὸν ἔχοντα, ἀπ' ἐναντίας τᾷ αὐχμηρᾷ καὶ κατίχνῃ· ἢ διὰ τὶω λευκότητα τῆς χροιᾶς. Ὑπεθέμιω οὖν καὶ αὐτὸς τὸ ἀργὸν, ὅ ἐστὶ λευκὸν τοῖς Γαλλισὶ ἑπόμενος ἑρμηνεύσασιν: un Taureau blanc· καὶ τῷ Ἰταλῷ Κάρῳ: un bianco toro.

Στίχ:

Nam, quæ prima ſolo ruptis radicibus, arbos
Vellitur, huic atro liquuntur ſanguine guttæ,
Et terram tabo maculant. Mihi frigidus horror
Membra quatit, geliduſque coït formidine ſanguis.
Rurſus & alterius lentum convellere vimen
Inſequor, & cauſas penitus tentare latentes:
Ater & alterius ſequitur de cortice ſanguis.
Multa movens animo, Nymphas venerabar agreſtes,
Gradivumque patrem, Geticis qui præſidet arvis;
Rite ſecundarent viſus, omenque levarent.
Tertia ſed poſtquam majore haſtilia niſu
Aggredior, genibuſque adverſæ obluctor arenæ:
(Eloquar, an ſileam?) gemitus lacrymabilis imo
Auditur tumulo, & vox reddita fertur ad aures.
Quid miſerum, Aenea, laceras? jam parce ſepulto:
Parce pias ſcelerare manus: non me tibi Troja
Externum tulit: haud cruor hîc de ſtipite manat.
Heu! fuge crudeles terras, fuge littus avarum.
Nam Polydorus ego: hic confixum ferrea texit
Telorum ſeges, & jaculis increvit acutis.
Tum vero ancipiti mentem formidine preſſus
Obſtupui: ſteterunque comæ, & vox faucibus hæſit.
Hunc Polydorum auri quondam cum pondere magno
Infelix Priamus furtim mandârat alendum
Threïcio regi; cum jam diffideret armis
Dardaniæ, cingique urbem obſidione videret.
Ille, ut opes fractæ Teucrûm, et fortuna receſſit,
Res Agamemnonias, victrlciaque arma ſequutus,

Fas

❀ ❀ ❀

Στίχ. 37. . . ΑΜΑΔΡΥΑΔΑΣ ΤΕ ΡΑ ΝΥΜΦΑΣ, (Ὅρα Γεωργ. Βιβλ. Α'. Σημ. Στίχ. 10. Αυτ.) Ἐξιλεῦτο γοῦν τούτους, μὴ τὸ ὀφθὲν αἷμα, ἐξ αὐτῶν εἴη ἐκρέον, τῶν θάμνων ἀναπαυομένων.

Στίχ: 38. . . . ΚΑΙ ΑΡΗΝ ΓΕΤΙΚΗΝ κτ. Ὡς εἰ καὶ Θρακικῆς ἔφησε νοητέον, τῶν Γετῶν τὸ πάλαι τῆς Θράκης μέρος ἐπικρατησάντων, ὡς Θεκιδίδ. Ἰσορ. Βιβλ: Β'. Ἱλεοῦτο οὖν καὶ τὸν Ἄρεα, μήποτε αὐτὸς εἴη, ὡς τέκμωρ ἀναδὲς τὸ ἀναπιδύσαν αἷμα, τοῖς ἐπιβᾶσιν ἐπεργιθεὶς τῆς χώρας, ἥπερ ὡς ἀρηΦίλε προσάτης αὐτὸς ὢν ἐτύγχανεν.

Στίχ: 42. (ΕΙΠΟΙΜ; ΗΣΙΓΑ ΚΡΥΨΩ;) Τὸ φρικτὸν τὲ τέρατος τῇ δι' ἀμηχανίας παρίστησι παρενθέσει, καὶ ἅμα ἐπιστρέφει τὸν ἀκούοντα πρὸς τὴν τὲ εἰρημένε ἀκρόασιν.

Στίχ: 43. . . . . ΣΤΟΝΟΕΙΣ ΓΟΟΣ . . . . Ὑπὸ γῆν μὲν ὁ ξεναγμὸς ἤχησεν ὁ γοώδης, ὑπὲρ γῆς δὲ προϊὸν τὸ φθέγμα ὡσὶ προσέβαλε.

Στίχ: 45. ΟΥ ΣΕΟ ΤΡΟΙΗ κτ: Οὐ μόνον ὑμεδαπὸς ἐγὼ σοι καὶ ὁμοπάτριος, ἀλλὰ καὶ τῷ γένει προσήκων.

Στίχ: 46. . . . ΤΑΔ' ΑΙΜΑΤΑ ΟΥΚ ΑΠΟ ΔΟΥΡΟΣ. Οὐ κατὰ τὴν παροιμίαν τὴν ἐπὶ τῶν μὴ παντάπασιν ἀναιθήτων: ἐκ ἀπὸ δρυὸς, ἢ ἀπὸ πέτρης· Ἀλλὰ ἀντὶ τε: ἐκ ἀπὸ δένδρε, ὦ Αἰνεία, καθάπερ ὑπείληφας, ἤτοι ἐκ (ἀνωτ: στίχ. 37.) ἐξ Ἁμαδρυάδος τινὸς ἦγε τὰ δ' ἐκπιδύεν τὰ αἵματα.

Στίχ:

Σπεῦδον, ὅφρ' ἐυθαλέεσσι κλόνοις βωμὸς ἐπαγήλω.
Ἔνθ' ἄρ τι Φρικωδες ἐσείδον· θαῦμα φατίζειν!
Τᾶ γὰρ ἀπὸ πρώτᾳ παθέντος γῆς προθελύμνᾳ
Δένδρεο ἐν ψιάσι ϛάζεσκε μελάντερον αἷμα,
Λύθρῳ γιῶ τ' ἐμίαινεν· ὁ δ' ἄρ ῥίγει ὑπέφριξα,
Γυῖα δὲ κατ' κραδάαντο, δέει προτιπήγνυτο δ' αἷμα.
Αὖτε γεμιὼ ἕτερον θάλος ἐκριϛοῦ ἀπαλόν περ
Πειρώμιω, ὅ, τι δ' ἂρ τᾶτ' ἔσκε τὸ λῆθε, δαῆναι.
Καὐξ ἑτέρᾳ δ' αὖθις πίδυσσε μελάντερον αἷμα.
Πολλὰ μενοινώων δὲ, Ἁμαδρυάδας τε ῥὰ Νύμφας
Ἱλασόμιω, καὶ Ἄρηα Γετικῆς ἐπίκρον ἀρούρης,
Ὄψεσ' ἀρηξέμεν, αἷς ἐθλὸν τρέψαθαι δ' ὄσσαν.
Ἀλλὰ γὰρ εὖτε τρίτοισι βιαιότερον θάμνοισιν
Ἀμφεπονεύμιω, γνύξ δὲ κατὰ ψαμάθᾳ μ' ἐπέρειδον,
(Εἴποιμ'; ἢ σῖγα κρύψω;) χοὸς ἐκ μυχίοιο
Ἤχησε ϛονόεις γόος, αὐδὴ φέρτο δ' ἐς ἀύρας:
Αἰνέα δύσποτμον τὶ δαΐζεις; φείδεο τύμβᾳ.
Φείδεο ἁγνιὼ χεῖρα μιαίνειν· ἀ σέο Τροίη
Ἀλλοδαπὸν μ' ἤνεικε. Τὰδ' αἵματα ἐκ ἀπὸ δρυὸς·
Φεῦγε ἀπιωέα, φεῦ, χθόνα, χρυσομανῆα τε ἀκτιὼ.
Αὐτὸς δὴ Πολύδωρος ἔγωγέ σοι ἔγχεα δ' ὧδε
Ταρφέα μ' ἀτήσαντα, ἐς ὀξὲ ἀκόντι ἀέξει.
Τῆμος ἐν ἀμφιδόκῳ δὲ πιεθεὶς δείματι ἦτορ
Δὴ τάφον· ὀρθὴ θρὶξ δ' ἔξη, αὐδή τε φαρύγγων.
Τὸν γάρ τοι Πολύδωρον ἅμα χρυσῷ ἀμεγάρτῳ,
Δύσιωος Πρίαμος, λάθρῃ τραφέμεν παρέθηκε
Θρηϊκίῳ βασιλῆϊ, ἐπεὶ ἀ θάρσεεν ὅπλοις
Δαρδανίοισι, πρόπαν ϛενάμενον Ἄξυ δὲ λεῦσσεν.

Εὖ-

❀ ❀ ❀

Στίχ. 48. ΑΥΤΟΣ ΔΗ ΠΟΛΥΔΩΡΟΣ. . . Ὁ τῆς σῆς ἀλόχᾳ αὐτάδελφος, τῆς Κρεούσης. Ἄμφω γὰρ Πριάμῳ ἐξ Ἑκάβης ἐγενέθην. (Ἀπολλόδ. Βιβλ. Γ. Κεφ ΙΒ'.)

Στίχ. 49. ΤΑΡΦΕΑ Μ' ΟΥΤΗΣΑΝΤΑ. Ὅμηρος μὲν Πολύδωρον ἔργον ἐποίησε αἰχμῆς τῆς Ἀχιλλέως γενέθαι (Ιλ. Υ'. 416.) Εὐριπίδης δὲ, ἐν τῷ Ἑκάβης Δράματι, λάθρᾳ ὑπὸ Πολυμνήϛορος ἀναιρεθέντα κατὰ θαλάσσης ἀποῤῥιφῆναι, ὡς ἂν ἄδηλος μένῃ ἡ ἀταθαλία τᾶ δράσαντος. Ὁ δ' ἡμέτερος ἐνταῦθα, ὁμοίως τῷ Εὐριπίδῃ πλεῖόσον, πυκνοῖς τοξεύμασιν διαπαρέντα χώματι βαθεῖ κατακαλυφθῆναι διέξεισι, μεθαρμόζων ἅτως ἐν μέρει τὸ δρᾶμα πρὸς τὸν σκοπὸν τὸν τᾶ ῥαψῳδήματος. Οὐκ ἀπιθάνως δ' ἄν τις ἐν„ταῦθα φαίη, ἐπὶ τιὶ Ῥώμύλᾳ λόγχιω ἀποσκοπῆσαι τὸν Μάρωνα „ἦν „ἀπὸ τᾶ Λεοντίνᾳ ἀκοντίσας τὸ ξυσὸν ἔχεσαν κρανείας, καταδῦσαν εἰς „βάθος ἡ γῆ ἔσεξε ζωόφυτος ἔσα, καὶ βλαϛὲς ἀνῆκε, καὶ ϛέλεχος ἐυμέ„γεθες κρανείας ἔδρεψεν· ἥ ὡς ἱερὰ ἔπειτα σεβαζομένη μετὰ Ῥωμύλον, διαρκέσαι λέγεται ἐς γ' ἐπὶ Γαΐᾳ τᾶ Καίσαρος. (Παρὰ Πλετ. εἰς Βίον. Ῥωμύλ.)

Στίχ. 54. ΘΡΗΙΚΙΩι ΒΑΣΙΛΗΪ, Τῷ Πολυμνήϛορι, ἅτε δὴ οἰκείῳ τε καὶ ξένῳ ἀνέκαθεν (Αν. 18. 19.) καὶ ἐπὶ Τῇ θυγατρὶ Ἰλιώνῃ γαμβρῷ· Εὖ δὲ τὸ (Θρηϊκίῳ) προσεθὲν τιὶ ἐθάδα τῷ ἔθνει ὠμότητα ὑπελέγχει καὶ ἀπιϊώσιαν. Διομήδης μὲν γὰρ ὁ Θρᾴξ, ὁ Ἄρεος καὶ Κυρήνης, ἵππους ἔχων ἀνθρωποφάγους, σαρξὶν ἀνθρωμέους διέτρεφεν.

Fas omne abrumpit; Polydorum obtruncat, & auro
Vi potitur. Quid non mortalia pectora cogis
Auri ſacra fames? Poſtquam pavor oſſa reliquit,
Delectos populi ad proceres, primumque parentem,
Monſtra Deûm refero, & quæ ſit ſententia poſco.
Omnibus idem animus, ſceleratâ excedere terra:
Linquere pollutum hoſpitium, & dare claſſibus Auſtros.
Ergo inſtauramus Polydoro funus, & ingens
Aggeritur tumulo tellus: ſtant Manibus aræ
Cæruleis mœſtæ vittis, atraque cupreſſo;
Et circum Iliades crinem de more ſolutæ.
Inferimus tepido ſpumantia cymbia lacte,
Sanguinis & ſacri pateras; animamque ſepulchro
Condimus, & magnâ ſupremum voce ciemus.
Inde, ubi prima fides pelago, placataque venti
Dant maria, & lenis crepitans vocat Auſter in altum;
Deducunt ſocii naves, & littora complent.

Prove-

❋ ❋ ❋

(Ἀπολλόδ. Βιβλ. Β. Κεφ. Ε'.) Λυκέργος δὲ, ἄχρι καὶ κατὰ Θεῶν τὴν ὕβριν προήγαγεν. (Ἀνωτ. 17.) Τηρεὺς δὲ, τὴν Πανδίωνος Φιλομήλην τῆς ἰδιολεκτρεᾶς κασιγνήτην παραβιασάμενος, τέως μὲν καὶ ἐγλωττοτόμησεν, ἐν ἀποῤῥήτοις τὴν ἀθεμιτογαμίαν τηρήσων, ὡς ἤλπιζεν. (Ἀπολλόδ. Βιβλ. Γ. Κεφ. ΙΔ'.) Οἱ δὲ, Θρᾷκες ἦσαν ἅπαντες.

Στίχ: 57. . . . ΌΠΛΑ ΤΑ ΚΡΕΊΣΣΟΝΑ. . . . Κρείσσονα μὲν Αἰνείας τὰ τῶν πολεμίων εἶπεν ὅπλα τῇ νίκῃ, ἀλλ' οὐκ ἂν ἐκὼν εἶναι τοιαῦτα ὡμολόγησε καὶ τῇ δίκῃ, ὡς δῆλον ἐξ αὐτοῦ γε τοῦ πρώτου ἔπους τοῦ παρόντος Βιβλίου.

Στίχ: 60. ἸΡΗ ΒΟΥΛΙΜΊΗ ΧΡΥΣΟΊΟ; Οὕτως ἐκ μεταφορᾶς ὑπέγραψε τὴν φιλοπλουτίαν, ἐκ ἧς οὐτινος κακοῦ ἐχὶ παραίτιον αὐτὴν ὑποδείξας, ἰάσεώς τε ἀνεπίδεκτον τὸ παράπαν, ὡς ἄπληστόν τε καὶ μηδένα κόρον εὑρίσκουσαν, οἷς ἂν ἐνσκήψειεν. Ἱερός τις λιμὸς ἐστὶ τὸ πάθος, φησὶ, sacra fames. ὅπερ ἐστὶ, μέγας· καθὰ καὶ ἱερὸν ὀστοῦν τὸ μέγα, καὶ τὴν ἐπιληψίαν μεγάλην νόσον οὖσαν, ἱερὰν καλοῦσι. (Πλάτ. πότερ. τῶν ζώων Φρονιμ.) Διὸ καὶ τὴν Βουλιμίαν αὐτοὶ ὑπεθήκαμεν, ἤτοι τὴν Βόειναν, εἰς ἐπίτασιν.

Στίχ: 63. . . ΓΗΣ ΟΥΧ ΟΣΙΗΣ . . Καθ' ὑπαλλαγὴν εἴρηται, ὃ γὰρ κυρίως τῇ γῇ, τοῖς δὲ τὴν γῆν οἰκοῦσι προσήκει τὸ ἀνόσιον ἢ ἀσεβὲς ἢ ἀθεμιτεργὸν ἐπιλέγεσθαι.

Στίχ: 66. ΧΩΝΝΥΤΟ Δ' ΑΡ ΤΥΜΒΟΣ. . . Καιμὴν ὁ τύμβος περὶ ὃν τὸ τέρας, παρὴν, καὶ ἤδη προσέχωσο. Ἀλλ' ὅτως ἁπλῶς τὸν χῶν ἐκεῖ συμπεφορημένον ἦν ὁρᾶν, μηδὲν ὅλως δεῖγμα σήματος παρεχόμενον· οὐ γὰρ ἂν, ἔπερ, Αἰνείας παραβιάσαι ἐτόλμησε, τὰς ἐπιφυέντας θάμνας ἐκκαῦσαι πειρώμενος.

Στίχ: 67. ΣΤΕΜΜΑΣΙ ΚΥΑΝΕΟΙΣ. . . . Κ' ΟΡΦΝΗΙ ΚΥΠΑΡΙΣΣΩι. Ταινίαις γὰρ κυανέχρωσιν ἀπεχρῶντο ἐν πένθεσι καὶ κηδείαις, τῶν ἐν ἀκμῇ μάλιστα τοῦ ζῆν ἀπελθόντων. Ὁμοίως δὲ καὶ ἡ Κυπάρισσος τοῖς νεκροῖς καθωσίωτο, διότε τὸ ὑπόσυγγον καὶ μελάντερον τῆς τῶν φύλλων χροιᾶς, καὶ διὰ τὴν φύσιν τοῦ δένδρου, ὅτι ἀποτμηθεῖσα ἐκέτι πέφυκεν ἀναθάλλειν Κυπάρισσος, ὥσπερ ἔν γε δὴ πευκίνη κοπεῖσαν βλαστὸν ἀνιέναι, Δίδυμος ἐν τοῖς Σχολ: φησὶν. (Ἰλ. Β. στίχ. 51.) Εἰμή τις ἄλλως ἐπὶ τὸν μῦθον ἀναδραμεῖν ἐθέλοι, περὶ ὃ ἐν ἄλλοις πᾳ ἡμῖν εἴρηται. (Γεωργ. Α. στίχ. 19. Σημ.)

Στίχ: 68. ΙΛΙΆΔΕΣ ΚΑΤ' ἜΘΟΣ κτ. Ὅυκουν ταῖς Ἰλιάσιν ἴδια τὸ τοιοῦτον ἔθος ἀποδοτέον. Καιγὰρ καὶ παῤ Ἕλλησι, καὶ Ῥωμαίοις, ἢ ἄλλοις, τὰς θηλείας εἰκὸς

Εὖ τε δὲ Τεῦκροι θραύθεν, ἀπέξη τῶν'δε δὲ Δαίμων,
Ἠδ ὅγ' ἐπ' Ἀτρείδας τε, καὶ ὅπλα τὰ κρείσσονα ῥέψας,
Πάντ' ἀνέτρεψε θέμιξα, ἀτὰρ Πολύδωρον ἀνεῖλε,
Χρυσὸν δ' ἥρπασε. Τιπτ' ἀ θνητῶν τήθε ἀνώγεις
Ἱρὴ βελιμίη χρυσοῖο; Ἐπεὶ δ' ἀνέηκε τὸ δεῖμα,
Τοῖς δήμω λογάσιν, κἀυτῷ γενετῆρι τὸ πρῶτον,
Θεῖον τ' ἔκφαινον τέρας, ὥς τε φρασσάατο δῖζον.
Πᾶσι δ' ὁμῶς ἐδόκει γῆς ἐχ ὁσίης ἀποβαίνειν,
Καὶ μιαρῆς ξενίης ἀπέχειν, καὶ χρῆθαι ἀήταις.
Τοιγάρ τοι κῆδος Πολυδώρῳ ἐτεύχομεν ἄυθις.
Χώννυτο δ' ἄρ τύμβος, καὶ Δαίμοσι βωμοὶ ἴδρωτο,
Στέμμασι κυανέοις λυπροὶ, κ' ὀρφνῇ Κυπαρίσσῳ.
Ἰλιάδες κατ' ἔθος πλοχμοῖς δ' ἀνέτοισι παρέξαν·
Κύμβια δ' ἄρ γλάγεος καθαγίζομεν ἀρτιαμέλκτε,
Αἵματος ἠδὲ χοὰς ἱερῦ πλείοις δεπάεσσιν.



❀ ❀ ❀

εἰκὸς ἐν πένθεσιν εἰωθέναι τὰ ὅμοια. Σέρβιος δὲ καὶ τὰς Αἰγυπτίας, φησὶν, ὡσαύτως. Δεῖ τοίνυν ἔτως ἐκδέχεθαι τὸ ῥηθὲν· ὅτι, κατὰ τὸ κοινῇ ἐπικρατῆν ἔθος, αἱ Ἰλιάδες ἐν ἀνέτοις τότε καὶ κατημελημένοις τοῖς βοστρύχοις περιεῖσαι τὸ σῆμα, τλιὼ ἐπὶ τῷ κειμένῳ λύπλω ἐνέφαινον.

Στίχ: 69. ΚΥΜΒΙΑ Δ' ΑΡ ΓΛΑΓΕΟΣ κτ: Τὰ μὲν Κύμβια, ἃ καὶ Κυμβία παρεξυτόνως λέγεται, κυφά τινα ἐκπώματα ὑπῆρχε κυμβοειδῆ· τετέσι καλὰ χῆμα κύμβης, ἤτοι μικροῦ ἀκατίε μορφόμενα· (περὶ ὧν, εἰ βέλει, ὅρα Ἐρρίκ. Στέφ. ἐν τῷ Παραρτήμ. Ἐτελεῦντο δὲ ἄρα αἱ τῶν ἀποιχομένων σπονδαὶ ἐκ διαφόρων, γάλακτος, μέλιτος, ὕδατος, αἵματος, οἴνε, ἐλαίκ, ἀλφίτων, ἀνθέων, κτ: ἐπὶ τῷ τῆ νεκρῆ τάφῳ ἐπιχεομένων· ἐξ ὧν δυοῖν μάλιτα Ὀυίργίλιος ἐπὶ τῆ παρόντος μέμνηται, γάλακτός τε καὶ αἵματος, ὡς ἐν τέτοις ἐξόχως τῶν ψυχῶν ἐνηδομένων προσφερομένοις· τῷ μὲν γάρ, τὸ σῶμα τρέφεται αὐτίκα ἐμψυχωθὲν, ἢ μᾶλλον τοι γεννηθὲν· τῆ δὲ ἀπολείποντος, ἐνσκηνῆν ἡ ψυχὴ τῷ σώματι ἐκ ἀνέχεται· τῷ γε μιὼ αἵματι μάλιτα ἐπιλιχνέυεθαι τὰς ψυχὰς παρίτησιν Ὅμηρος, Ὀδυσσέα παράγων ἐν τῇ Νεκυίᾳ, ὅπως ἀνεκάλεσε τὰς ἐξ Ἅδε ἐκπηγέμενον (Ὀδ. Λ. 24.)

„ . . . Ἐγὼ δ' ἄορ ἐξὺ ἐρυσσάμενος παρὰ μηρῆ
„Βόθρον ὄρυξα, ὅσον τε πυγάσιον, ἔνθα καὶ ἔνθα·
„Ἀμφ' αὐτῷ δὲ χοὰς χέομεν πᾶσιν νεκύεσσιν,
„Πρῶτα μελικρήτῳ, μετέπειτα δὲ ἡδέϊ οἴνῳ,
„Τὸ τρίτον αὖθ' ὕδατι· ἐπὶ δ' ἄλφιτα λευκὰ πάλυνον.

Εἶτα πολλὰ καθικετεύσας τὰ νεκύων ἀμενιλιὰ κάρινα, πολλά τε καθυποσχόμενος, ἐπειδὰν εἰς Ἰθάκιν ἀφίκωμαι, θύματα αὐτοῖς ἱερεύσειν, καὶ ἃ πρεσειμάσας ἔχον σφάγια ἀπεδειροτόμησα. (Αὐτ: στίχ. 36)

„Ἐς βόθρον· ῥέε δ' αἷμα κελαινεφὲς· Αἱ δ' ἀγέροντο
„Ψυχαὶ ὑπ' ἐξ Ἐρέβευς νεκύων κατατεθνειώτων. κτ:

Σημείωσαι δὲ, ὅτι αἱ μὲν ἦσαν χοαὶ μονόσπονδοι καὶ ἁπλαῖ, ἐν αἷς ἕν τι τῶ μόιον ἐκ τῶν εἰρημένων αὐτῶν ἦν τὸ ἐναγιζόμενον· αἱ δὲ δισπονδοι, ἐν αἷς δύο εἶσι ἡ τῆ Λίνειε ἐνταῦθα, ἐκ γάλακτος καὶ ἐξ αἵματος· αἱ δὲ τρίσπονδοι, ὡς ἡ παρὰ Σοφοκλεῖ ἐν Ἀντιγόνῃ:

„Χοαῖσι τρισπόνδοισι τὸν νέκυν σέφει.

Αἱ δὲ ὑπὸ τῆ Ὀδυσσέως ἐν τῇ Νεκυίᾳ, ἐκ τῆ ἀριθμῆ τῶν ἐναγισθέντων, πεντάσπονδοι.

Στίχ:

Provehimur portu: terræque, urbeſque recedunt.
Sacra mari colitur medio gratiſſima tellus
Nereidum matri, & Neptuno Aegæo:
Quam pius Arcitenens, oras & littora circum
Errantem, Mycone celſa Gyaroque revinxit:
Immotamque coli dedit, & contemnere ventos.
Huc feror, hæc feſſos tuto placidiſſima portu
Accipit: egreſſi veneramur Apollinis urbem.
Rex Anius, rex idem hominum, Phœbique ſacerdos,
Vittis et ſacrâ redimitus tempora lauro,
Occurrit, veterem Anchiſen agnoſcit amicum.
Jungimus hoſpitio dextras, & tecta ſubimus.
Templa Dei ſaxo venerabar ſtructa vetuſto:
Da propriam, Thymbræe, domum, da mœnia feſſis,
Et genus, & manſuram urbem: ſerva altera Trojæ
Pergama, relliquias Danaûm, atque immitis Achilli.

Quem

❀ ❀ ❀

Στίχ: 71. ΗΜΟΣ ΨΥΧΗΝ Δ' ΑΡ ΤΥΜΒΩι ΕΝΙΚΕΤΣΑΜΕΝ ΩΔΕ. Τετέσι πλαζομένῳ τε καὶ περιῶσαν ἐντὸς τῆ τύμβᾳ ἠρεμεῖν κατεσήσαμεν. Ἰσέον γαρ, ὅτι παρὰ τῳ ἐν ἀνθρώπῳ ζῶντι μὲν ἀχώριστον ἦσαν, θανόντος δὲ, κατὰ τὰ ἐν τῷ βίῳ οἱ πεπραγμένα ἐφ' ἑτέρας λήξεως μεταβάι ᾱσαν, ἔτι καὶ ψυχῳ ἑτέραν οἱ παλαιοι, καθ' ἣν περὶ ταῦτα εἶχον ἅγνοιαν ὑπετίθεσαν δευτέραν ταύτῳ ἦσαν, καὶ τῆς πράτης ψυχῆς οἷον ἀπεσκίασμά τι καὶ εἴδωλον, ἐκ τῶν λεπτοτέρων τε καὶ καθαρωτέρων συνισαμένῳ μορίων τῆ ἐνύλη σώματος. Τῳ δὲ, συνδιάγειν μὲν καὶ παραμένειν τοῖς τῆ νεκρῆ λειψάνοις, εἰ τῆς νομιζομένης αὐτὸς τύχοι κηδείας, ἐφημεῖσαν καὶ ἡσυχάζεσαν· ἀσατεῖν δὲ καὶ κύκλῳ περιέιναι ἀκηδεύτε καταλειφθέντος, πλαζομένῳ οἰκτρῶς, καὶ ὧδε κἀκεῖσε ἠλάσκεσαν, εἰς ὃ διὰ τῶν εἰωθότων ἐναγισμάτων τῆς πλάνης πάυσαιτο· ταῦτα δὲ εἶναι τὰ ἀμενηνὰ φάσματα, καὶ τὰς τῶν ἀποιχομένων σκιὰς, αἳ πολλάκις τοῖς ζῶσι παραφαίνονται.

Στίχ: 72. ΦΩΝΗΙ ΥΣΤΑΤΙΗι κτ: Τῆτο δὲ ἰῶ περὶ ὃ καὶ ἀλλαχῆ ἐλέγομεν· (A. Alν: σίχ: 237.) ὅ, τοῖς κηδευθεῖσιν ἐναγίσαντες καὶ ἀπεισάμενοι τὸ ἔχατον τρὶς ἐπεφώνουν (Χαῖρε τε καὶ ἅλε) προσεπιβοώμενοι·

„Καὐτοὶ ἐθελείης ἄυτως ἑπόμεθα ἅπαντες.

Στίχ. 77. ΕΚ ΔΕ ΠΛΟΪΖΟΜΕΝΩΝ κτ: Ὀπτικὸν τὸ φαινόμενον, ὃθ' ἔσιν ὅτω ἐκ τῆς πείρας ὃ δῆλον. Ἐπειδὴ γὰρ τῶν ὀφθαλμοῖς ἀπὸ τῶν περὶ ἡμᾶς προσβαλλεσῶν ἀκτίνων, ἅμα μετ' ἄμας τὸν ἐν πυθμένι τῆ αἰσθητηρίῳ ὑμένα κινῆσιν, εἰκὸς αὐτὰ δοκεῖν κινεῖσθαι μεταβάλλοντα τόπον, τὰ ἀφ' ὧν ἐκπέμπονται.

Στίχ: 78. ΜΕΣΣΗ ΤΙΣ ΠΟΝΤΟΥ . . . . Ἡ Δῆλος αὕτη Νῆσος ἐσὶν· ἣ πάλαι μὲν Ὀρτυγία ἐκαλεῖτο, ἐξ Ἀστερίας τῆς Λητῦς ἀδελφῆς, τῆς εἰς Ὄρτυγα μὲν ἀπορνεωθῆναι τὸ πρῶτον, εἶτα κατὰ μῆνιν Διὸς ἀπολιθωθῆναι, καὶ εἰς Νῆσον τέως συσλῆναι, μεμυθευμένης. Ταύτῃ κατ' ἀρχὰς πλωτὴ ὖσαν Ἀπόλλων, ὡς ἐπ' αὐτῆς γεννηθεὶς, κατεσήριξε, Γύαρόν τε καὶ Μύκονον τὰς νήσυς ἑκατέρωθεν αὐτῇ προσεφάψας οἷα δὴ πείσματα. Μέσση δὲ πόντε εἴρηται κεῖσθαι τῆ Αἰγαίῳ, ὡς ὑπὸ τῶν Κυκλάδων περιεχομένη. Ἱερὰ δὲ προσείρηται, ὡς ἀνακειμένη Δωρίδι ὠκεανῆ μὲν θυγατρὶ, γαμετῇ δὲ Νηρέως, μητρὶ δὲ Νυμφῶν πεντήκοντα. Καὶ Ποσειδῶνι δὲ μάλισα, τῷ θαλάσσης μὲν ὅλης, Θεῶν δὲ πάντων τῶν θαλασσίων δεσπόζοντι. Κατ' ἐξοχὴν δ' εἰπεῖν τῷ Ἀπόλλωνι (ὡς κατωτ: σίχ. 95.) τῷ ἐν αὐτῇ τῇ Νήσῳ καὶ οἰκεῖν, καὶ τιμᾶσθαι, καὶ χρησμολογεῖν τὰ ἄδηλα αἱρετίσαντι· ἐξ οὗ καὶ Δῆλον καλεῖσθαι τῳ πρὶν, ὡς εἴρηται, Ὀρτυγίαν ἐκράτησε. Σεσημειώθω δὲ, ὅτι

Ἤμος ψυχιὼ δ' ἄρ τύμβῳ ἐνικεύσαμεν ὧδε,
Φωνῇ ὑξατίῃ μέγα δὴ ἐπαΰσαμεν αὐθι.
Ἔνθεν ἐπεὶ πρῶτον θαρρᾶν παρέιω πελάγεσσι,
Καδδέ γε νηνεμίῃ ἐξόρνυτο λαῖτμα θαλάσσης,
Ἂν δ' ἐκάλων πόντονδε λιγυπνείοντες ἀῆται,
Ναῦς τε προείρυσσαν, ῥηγμῖνι δ' ἄγερθεν ἑταῖροι
Ἐκπλωϊζομένων γαῖ δὲ, πτόλιές τ' ἀπεχώρων.
Μέσση τις πόντῳ ἠδίζη ναίεται αἶα,
Μητέρι Νηρεΐδων ἱερὰ χθὼν, καὶ Ποσιδῶνι
Αἰγαίῳ, τιὼ Φοῖβος ἀλίπλαγκτὸν ποτ' ἔθσαν,
Αἰπεινῇ Μυκόνῳ ξωέδησεν, καὶ Γυάρῳ δὲ,
Ναίεθ' ἁξεμβῆ τε καὶ ἀδὲν ὄθεθαι ἀῆτων,
Ἔνθα κατήχθιω· ἡ δ' ἀποκεκμηῶτας ἐκήλη
Δέξατο ἀσφαλέως λιμένος πολυβενθέος ἐντὸς.
Ἐκβάντες δ' ἀγάμεθ' ἑκαέργυ ἱερὸν Ἄξυ.
Ἄνιος αὐτὰρ ἄναξ τ' ἀνδρῶν, Φοίβυ τ' ἀρητῆρ,
Στέμμασ' ἐὰς κροτάφους, ἱερῇ δάφνῃ τ' ἀναδητὸς
Ἀντιόων, ἔγνω φίλον ὄντα πάλαι γ' Ἀγχίσιω,
Δὰς δ' ἄρ δεξιτερὶω ξάνυς ὑπὸ δέκτο ἐς οἶκον.

Ἰρὰ

❋ ❋ ❋

ὅτι τῆς μὲν Μυκόνυ διὰ δυοῖν ὀρέων κορυφυμένης, ἡ περίμετρος ἐ πλέον ἐκτείνεται σαδίων ὀκτὼ ἐπὶ διακοσίοις καὶ ἐγδοήκοντα· τῇ δὲ τῆς Γυάρυ περιμέτρῳ, λυπρᾶς τε ἔσης καὶ ἀγόνυ, τὸ τριτημόριον ἀπονέμουσιν· ἐν δὲ ταύτῃ καὶ τὰς ὑπερορίους πεμπομένους σωφρονεῖν οἱ Ῥωμαίων Αὐτοκράτορες. Λέγεται δὲ καθ' ἡμᾶς αὕτη χυδαιότερον, τὰ Γυάρα.

Στίχ: 82. ΝΑΙΕΣΘ' ΑΣΤΕΜΒΗ ΤΕ . . . . Τᾧθ' ὅπερ διαπίσεται, καὶ ὁ παρ' Ἡροδότῳ (ἐν Ἐρατ.) ἀναφερόμενος χρησμὸς: (Κυνάω καὶ Δῆλον, ἀκίνητόν περ ἐθσαν.) Φέρεται δὲ καὶ Καλλίμαχος, ἄτρεπτον αὐτὴν ὀνομάσας, ἤτοι ἀκίνητον καὶ ἀδιάσειστον, ὡς ὁ ἐξηγητὴς ἑρμηνεύει, ἐπιφέρων μάρτυρα καὶ Θουκυδίδην, περὶ σεισμῶ τινὸς ἐν ἴσῃ, φάσκοντα ἔτω σφοδρὸν γενέσθαι, ὥσε καὶ τὴν Δῆλον Νῆσον σεισθῆναι.

Στίχ: 86. ΑΝΙΟΣ. . . ΑΝΑΞ. . . ΑΡΗΤΗΡ, Τὲς γὰρ αὐτὲς νόμος ἀρχαῖος ἠρεῖτο καὶ βασιλεύειν, καὶ ἱερᾶσθαι. Τὸν δ' Ἄνιον τέτον, ὑὸν μὲν φέρσι γενέσθαι Ἀπόλλωνος, ὑὸν δ' ἐχνικέναι Ἀνδρένα, ἐξ οὗ Ἄνδρος ἡ Νῆσος ὠνόμασαι, σωοικίσαντος· καὶ τρεῖς δὲ θυγατέρας. Ὧν ὡς ἀνατεθεισῶν αὐτῷ Διόνυσος, τῇ μὲν ἀπεκλήρωσεν, οὗπερ ἂν ἅψαιτο, εἰς τί τῶν ἐδωδίμων αὐτὸ μεταποιεῖν· τῇ δὲ εἰς οἶνον, τῇ δὲ εἰς ἔλαιον. Ἔνθεν τοι καὶ Ἀγαμέμνονα, φασὶ, κατὰ Τροίας τὸν ζόλον ἄγοντα, μεταπέμψασθαί τε αὐτὰς, καὶ δεσμίας παρ' ἑαυτῷ τηρεῖν, ὡς ἂν τὰ πρὸς ἐπισιτισμὸν τῷ στρατῷ ἄφθονα αὐτᾶ ἐπιχορηγοῖεν· ἐκ δ' αὐτῶν καὶ μίαν, (ὅτινες προσιθέασι) τὸν βασιλέα διακορεύσασθαι παραβιασάμενον. Ἀλλὰ Λυαῖος τῶν δεσμῶν ἀπολύσας εἰς περισερὰς ἀπωρνέωσεν· ἐξ ὧ καὶ τὰς περὶ Δῆλον περισερὰς θηρᾶσθαι, ἢ ἄλλως ἐπηρεάζειν, ἢν ὅλως ἀθέμιτον. Ταῦτα μὲν παρὰ Σερβίῳ. Ὁ δὲ τὰ ἐθνικὰ συγγράψας, Ἄνδρον, ἢ Ἀνδρίδα, ἐκ Ἄνδρενα τὸν Ἄνδρυ οἰκιζιὼ ὀνομάζει· γενέσθαι δὲ ὑὸν Εὐωμάχυ τῷ Ἀνίυ Ἀδελφοῦ, τῷ πατρὸς τῶν Οἰνοτρόπων, ἢ καὶ αὐτῷ Ἀνίυ. Καὶ τὰς θυγατέρας δέ, ὁ τὰ Λυκοφρονος ἀναπτύσσων, ἐκ Δορίππης Ἄνιον ἐσχηκέναι καθίσορεῖ· καὶ καλεῖσθαι τιὼ μὲν Οἰνῶ, τιὼ δὲ Σπερμῶ, τιὼ δὲ Ἐλαΐδα, Οἰνοτρόπες δὲ ὀνόματι κοινῷ, ὧν ὡς Ἀνίυ θυγατέρων, μνημονέυει καὶ Ἡσύχιος.

Στίχ: 88. . . ΦΙΛΟΝ ΟΝΤΑ. . . ΑΓΧΙΣΙΝ. Οἱ δὲ φασὶν, ὅτι καὶ τῷ γένει προσήκοντα, ἐκ Παλαφάτυ. Ἀλλ' ὁ Μάρων ὠδὲν ἄλλ' ἢ φίλον τε καὶ γνωτὸν εἶπεν· ἐκ ἂν εἶμαι ὠδὲ τιὼ ἐκ γένυς οἰκειότητα παρασιγήσας,

Quem ſequimur? quove ire jubes? ubi ponere ſedes?
Da, pater, augurium, atque animis illabere noſtris.
Vix ea fatus eram; tremere omnia viſa repente,
Liminaque, lauruſque Dei, totuſque moveri
Mons circum, & mugire adytis cortina reclusis.
Submiſſi petimus terram, & vox fertur ad aures:
Dardanidæ duri, quæ vos à ſtirpe Parentum
Prima tulit tellus, eadem vos ubere læto
Accipiet reduces: antiquam exquirite matrem.
Hîc domus Aeneæ cunctis dominabitur oris,
Et nati natorum, & qui naſcentur ab illis.
Hæc Phœbus: miſtoque ingens exorta tumultu
Lætitia, & cuncti, quæ ſint ea mœnia, quærunt:
Quò Phœbus vocet errantes, jubeatque reverti.
Tum genitor, veterum volvens monumenta virorum,
Audite, ô proceres, ait, & ſpes diſcite veſtras.

Creta

❀ ❀ ❀

ὁ τιὼ ἐκ προλαβέσης σωτυχίας ἐπίγνωσιν, ἔσιν ὅιον τῆς Φιλίας ἐν αὐτοῖς ὑποθεὶς κατάγε τὸ σιωπώμενον.

Στίχ: 91. . . ΘΥΜΒΡΗΪΕ. . . Πεδίον ἰῶ Τρωϊκὸν ἡ Θύμβρα· ἀπὸ τῆς ἐν αὐτῷ συχνῆς Φυομένης βοτάνης ἕτω καλέμενον· ἐν αὐτῷ δὲ καὶ βωμὸς Ἀπόλλωνος τῦ ἐντεῦθεν Θυμβραίυ ἀκέσντος, καθάπερ ἢν καὶ Λύκιος προσείρηται, καὶ Δήλιος, καὶ Παταρεῖος, ἀπὸ τῶν χωρῶν ἐν αἷς κατ' ἐξοχὴν ὑπῆρχε τιμώμενος. Ἐν τῷδε δὲ τῷ κατὰ τιὼ Θύμβραν Νεῷ, καὶ Ἀχιλλέα φέρεσιν ἀναιρεθῆναι ὑπὸ Πάριδος. (Ὅρα καὶ Γεωργ. Βιβλ. Δ. στίχ. 401.) Τὸν σωὶ Θυμβραῖον Ἀπόλλωνα Αἰνείας ἐν Δήλῳ ἐπικαλέιται δυχόμενος· ἡ δ' ἐυχὴ αὐτῷ ἀπὸ τῶν ἰδιαιτέρων ἐπὶ τὰ ἑλικώτερα πρόεισιν. Αἰτεῖται γὰρ ἑαυτῷ μὲν ἑξίαν εἰς οἴκησιν· (Δὸς δόμεν.) ἔτα καὶ τοῖς σωὶ αὐτῷ πλανωμένοις, πατρίδα τινὰ πρὸς ἀσφάλειαν· (Δὸς τείχεα.) καὶ Τρωσὶ δὲ πᾶτι κατάξαιν, ὥξε μὴ αὐτῶν ἀπολέσθαι τὸ ἔθνος. (Δὸς γένος.) Τῷ δὲ τοι γένει ἄυδις ἀποκαθεξῶτι, καὶ κράτος ὀχυρὸν προσαπαιτεῖ, ὡς ὑπὸ χειρὸς πολεμίας ἐξῆς εἶναι ἀπόρθητον. (Δὸς Ἄξυ.) Ἐπειδὴ δὲ τῆς πρώτης περὶ τιὼ Λῖνον πείρας ὤφθησαν ἀπρσφαλέντες, ἄλλιω οἰκοδομῆσαι πόλιν, ἥτις ἂν τῦ λοιπῦ σρίσιν ἑδραία τε εἴη, καὶ εἰς τὸ διὶ ωεκὲς διαμένσα (Ἄλλα δὲ Πέργαμα ἔμπεδα σῶζ') Ἐπὶ πᾶσι δ' εὔχεται, πίσας οἰωνὸς τὸν Θεὸν αὐτοῖς ἐπιπέμψαντα, καὶ ταῖς ψυχαῖς αὐτῶν ἅμα παρεῖναι πρὸς τιὼ ὀρθιὼ ἐκείνων κατανόησιν·

„Δὸς Πάτερ οἰωνὸν, ψυχαῖς δὲ παρείης ἡμετέρῃσιν.

Οὕτω καὶ Πρίαμος τῷ Διὶ ἐυχόμενος· Ἰλ. Ω. στίχ. 310.

„Πέμψον δ' οἰωνὸν ταχὺν ἄγγελον, ὅς τε σοι αὐτῷ
„Φίλτατος οἰωνῶν, καὶ εὖ κράτος ἐστὶ μέγιστον. κτ.

Στίχ: 96. ΟΥ̓ΠΩ ΠΑΝ ΕἸΡΗΤ' ΕΠΟΣ. . . Ὁμηρικὸν τὸ ἡμιστίχιον. Ὀδυσ. Π. στίχ. 11.

„Οὔπω πᾶν εἴρητο ἔπος. . . . Καὶ στίχ. 351.
„Οὔπω πᾶν εἰρηθ', ὅτ' ἄρ κτ.

Στίχ: Αυτ: . . ΩΠΤΟ Δ' ΑΡ ΕΝΤΡΟΜΑ ΠΑΝΤΑ· Παρὰ χρῆμα τῆς Αἰνείε ἐυχῆς ἐπακέσας Ἀπόλλων, αὐτόν τε τὸν Νεὼν κατέσεισε, καὶ τὰ ἐν αὐτῷ, καὶ τὰ περὶ αὐτὸν· κλονεῖθαι γὰρ καὶ συσσείεσθαι ἐπισέυετο πάντα τῦ Θεῦ παραξάντος, ὡς καὶ παρὰ Καλλιμάχῳ ἐν τῷ εἰς τὸν Ἀπόλλ. Ὕμν. δηλῦται·

„Οἷον ὁ τῷ πόλωνος ἐσείσατο δάφνης ὄρπηξ
„Οἷα δ' ὅλον τὸ μέλαθρον. . . . . .

Πῶς

Ἰρὰ δ' ἐγὼν ἀγάμιω, ἀρχαῖα λιθώδεα ἔργα.
Δὸς δόμον οἰκεῖον Θυμβρήϊε· δὸς δέ τε τείχη·
Δὸς γένος· Ἄξυ δὸς· Ἄλλα δὲ Πέργαμα ἔμπεδα σῶζε,
Λείψαν' ἀπηνείης Δαναῶν, αἰνῆ τ' Ἀχιλῆος.
Τῷ γ' ἑσπέσθαι; ποῖ δ' ἴμεν; ἔνθ' ἱδρῦσθ' ἐπιτάσσεις;
Δὸς Πάτερ οἰωνὸν, ψυχαῖς δὲ παρείης ἡμετέρῃσιν.
Οὕπω πᾶν εἰρητ' ἔπος, ὤπτο δ' ἄρ ἔντροπα πάντα
Σταθμὰ Νεῶτε, Θεῆ τε δάφνη, ὅλον ἀμφὶ δὲ κύκλω
Οὖρος σείετο, ἐν δ' ἀδύτοις ὅλμος μυκᾶτο.
Κύψασι δ' ἄρ χαμάδις, προτὶ ἔασιν ἤχησ' ὀμφὴ.
Δαρδανίδαι τάλανες, γενετήρων ἥ γ' ἀπὸ ῥίζης
Ὑμᾶς ἥνεικε χθὼν, ἔθρεπτ' ἐΰφρονι κόλπῃ
Δέξεται ἀυθιμόλης. Τῷ μητέρα δίζεσθε πρώτιω,
Ἔνθ' Αἰνείᾳ οἶκος ἅπαντ' ἐπὶ πείρατ' ἀνάξει,

D 2 Καὶ

❀ ❀ ❀

Πῶς δ' ἐκ ἂν ἐν θαύματι τὸ συμβαῖνον τεθείη, ἀδιασείστε τῆς Δήλε ἔσης ὡς εἴρηται; (Ἀνωτ. στίχ. 82.)

Στίχ: 97. . . ΘΕΟΥ ΤΕ ΔΑΦΝΗ, . . Ἱερὸν γὰρ ἰῷ Ἀπόλλωνι τὸ φυτὸν, διὸ καὶ συχνοὶ ἔθαλλον οἱ δαφνῶνες ἔν τε Δελφοῖς, καὶ ἐν Δήλῳ, καὶ πολλαχῆ, ἔνθα ἂν ὁ Θεὸς εἴη ἐξόχως τιμώμενος. Ὁ δὲ μῦθος ὁ καθιερώσας, τοιός δε. Δάφνη Λητῆς ἦν θυγάτηρ, ὡς αὐτὸς Ἀπόλλων ὑός. Ἐρασθεὶς δὲ τῆς Ἀδελφῆς, τὴν μίξιν ἀποτρεπομένης τε καὶ ἀποφευγέσης, ἐπειδήποτε ἐγγὺς τῆ καταλαβεῖν διώκων ἐγένετο, τῆς γῆς ἡ παῖς ἐδεήθη δέξαθαί τε καὶ κατακρύψαι· ἡ δὲ χανεῖσα ὑπεδέξατο, καὶ ἀνετανέδωκε τὸ Φυτὸν· ὃ δὴ Ἀπόλλων προσοικειωσάμενος ἀειθαλὲς τῆ λοιπῆ ἀνέδειξε, μαρτύριον τῆς παρθενίας, ἣν εἰς τέλος ἡ κόρη ἀσινῆ διεφύλαξε. Φύλαρχος δὲ „(Παρὰ Πλετ. εἰς βίον Ἁγίδος·) Ἀμύκλα θυγατέρα Δάφνιν τέκνωμα, „φησὶν, ὑποφεύγουσαν Ἀπόλλωνα βελόμενον αὐτῆ μιγῆναι, καὶ μεταβάλλουσαν εἰς τὸ φυτὸν, ἐν τιμῆ τε Θεῆ γενέσθαι, καὶ μαντικὴν λαβεῖν δύναμιν.

Στίχ: 98. ΟΥΡΟΣ ΣΕΙΕΤΟ. . . Τὸ ἐπὶ τῆς Δήλε· ὁ Κιώθος, ἐφ οὗ καὶ ὁ Ναὸς ἵδρυτο· ἐξ οὗ καὶ Κιώθιος ὁ Ἀπόλλων ἐκλήθη ὀνομάζεσθαι.

Στίχ: Αὖτ: . . ΕΝ Δ' ΑΔΥΤΟΙΣ ΟΛΜΟΣ ΜΥΚΑΤΟ. Ὅλμος, παρὰ τὸ μαγειρικὸν ἐργαλεῖον, καὶ ὁ Δελφικὸς τρίπους· (Σειδ. ἐν Λέξ:) ἢ, ὡς ἀκριβέστερον ὁ Πολυδεύκης (Ονομας. Βιβλ. Ι.) ἐχ ὁ τρίπους αὐτὸς, τὸ δὲ τῆ τρίποδος ἐπίθημα, ᾧ ἐγκάθηται ὁ Προφήτης. (ἢ ἡ Προφῆτις.) τὸν δὴ Ὅλμον τῆτον, Cortinam τῆ Ῥωμαίων φωνῆ τῆ Οὐϊργιλιε ὀνομάσαντος, οἱ μὲν τῶν Σχολιαστῶν ἀπὸ τῆ Corium ἐτυμολογῆσιν, ὅπερ ἐστὶ Σκύτος, ἢ βύρσα· καθότι τὸ ῥηθὲν ἐπίθημα, ἢ ἐπικάλυμμα Σκύτινον, ἢ Βύρσινον ἦν· οἱ δὲ ἀπὸ τῆ Cor, ὅ ἐστιν ἡ καρδία· καθότι ἡ τῆ ἐπικαθημένη τῷ Ὅλμῳ καρδία, προσεῖχεν αὐτῷ, ὅθεν ἂν τῷ χρωμένῳ τὸ δῆλον ἀνακαλύψειεν. Ὑπεμυκᾶτο τοίνυν ὁ Ὅλμος· τετέχθαι γὰρ τινὰ μυκηθμὸν ὑπεδίδε, δέος ἐμποιῆντα τοῖς ἀκέεσι καὶ κατάπληξιν.

Στίχ: 100. ΔΑΡΔΑΝΙΔΑΙ ΤΑΛΑΝΕΣ. . . Παρὰ πόδας ὁ χρησμὸς, δι' οὗ τοῖς ἀμφ' Αἰνείαν ὁ Λοξίας, τῶν ἑσομένων τὰ μὲν ὑπέκυθε, τὰ δ' ὑπέφαινεν, ἀχλὺν βαθείαν ἐπισκεδάζων τοῖς ἔπεσι. Τάλανας εἰῶ προσειπὼν, ὅπερ ἐστὶ τλησιπαθεῖς, καὶ τλήμονας, καὶ ταλαπειρίας, ὅτι μὲν ἐξῆς πολλὰ πείσονται, ὑπηνίξατο· ἡλίκα δ' ἄρα καὶ οἷα, ὑπεκρυψεν. Εἶτα τῶν γενετήρων αὐτὸς ὑπέμνησεν, ἀφ' ὧν τῆς ῥίζης ἀνέφυσαν. Πότερον δὲ, τὸς ἀμφὶ Δάρδανον τότε νοεῖ, ἢ τὸς ἀμφὶ Τεῦκρον; ἃ διορίζεται. Ἀλλαμὴ ὅτι καὶ ἡ τῶν προγόνων γῆ αὐτὸς ὑποδέξεται ἀυθιμόλης, ἐσήμανεν· ὁποία δέ τις αὕτη, καὶ ὅπε ἐστὶ κειμένη, ὑπεσίγησεν. Ἐπὶ δὲ τέτοις καὶ μητέρα τὴν πρώτιω χρῆναι ζητεῖν παραινεῖ· ὡς ἔγε τῶν ἐνδεχομένων ἰῷ μητέρα πρώτιω

Creta Jovis magni medio jacet inſula ponto,
Mons Idæus ubi, & gentis cunabula noſtræ:
Centum urbes habitant magnas, uberrima regna;
Maximus unde pater (ſi rite audita recordor)
Teucrus Rhœteas primùm eſt advectus ad oras,
Optavitque locum regno. Nondum Ilium, & arces
Pergameæ ſteteraut: habitabant vallibus imis.
Hinc mater cultrix Cybele, Corybantiaque æra,
Idæumque nemus: hinc fida ſilentia ſacris,
Et junctì currum dominæ ſubiere leones.
Ergo agite, &, Divûm ducunt quà juſſa, ſequamur;
Placemus ventos, & Gnoſſia regna petamus.
Nec longo diſtant curſu: (modo Jupiter adſit)
Tertia lux claſſem Cretæis ſiſtet in oris.
Sic fatus, meritos aris mactavit honores;
Taurum Neptuno, taurum tibi, pulcher Apollo:

Nig-

❋ ❋ ❋

πρώτίω καὶ δευτέραν ἔχειν τὰς ἀυτὰς· καὶ εἴπερ ἐπ' ἀορίστοις τοῖς γενήτορσι τίω μητέρα ἐυρέσθαι ἦν ῥᾴδιον. Τίω δὲ πατρίδα τυχὸν ὑπαινιττόμενος ὁ χρησμὸς, ταύτίω ἥτις ἐσὶ, καθ' ἑαυτὰς ἐξετάσειν παρέιασεν. Ἐπὶ πᾶσι καὶ τίω μέλλουσαν τῷ Αἰνείᾳ οἴκῳ, καὶ τοῖς ἀπογόνοις, δωμασείαν τε καὶ δόξαν λαμπρῶς προαγγέλλει· ὅπως δὲ ἐπὶ τῆς ἀρχῆς ἤξουσιν, ἢ ψήφοις δημοσίαις, ἢ ὅπλοις περιγενόμενοι, καὶ διὰ πολέμων κρατήσαντες, περὶ τάτε ἐν βυθοῖς ἀγνοίας παρῆκε κατακυμαίνεθαι.

Στίχ: 104. ΚΑΓ ΠΑΓΔΕΣ ΠΑΓΔΩΝ κτ: Ἐξ Ὁμήρε τὸ ἔπος ἐπὶ λέξεως. Οἷς οὖν ἐνταῦθα προφοιβάζει Ἀπόλλων Αἰνείᾳ, παραπλήσια καὶ Ἀφροδίτη Ἀγχίσῃ τῷ Αἰνείᾳ γενέτῃ προεπηγγείλατο· (ἐν τῷ εἰς Ἀφροδ. Ὕμν. στίχ. 197.)

„Σοὶ δ' ἔσαι φίλος υἱὸς, ὃς ἐν Τρώεσσιν ἀνάξει,
„Καὶ παῖδες παίδεσσι διαμπερὲς ἐκγεγάονται. (ἴσ: οἳ γεγάωνται.)

Καὶ Ποσειδῶν δὲ τῆς Πηλείδε αἰχμῆς ὑπεξαγαγεῖν Αἰνείαν παῤῥάζων. (Ἰλ. Υ. 302.) ἔφη:

„ . . . . μόρσιμον δὲ οἱ ἔς' ἀλέασθαι
„Ὄφρα μὴ ἄσπερμος γενεὴ καὶ ἄφαντος ὄληται
„Δαρδάνε. . . . . .

Καί τοι γε ἐξιῶν εἰς τῶτο εἰπεῖν, ὅτι καὶ τῶ Αἰνείε ἀπολομένε περιλιῶν Ἀσκάνιος εἰς διαδοχὴν τῶ γένες ἐμπύρευμα. Προσαπεφήνατο δ' οὖν, ἐξ αὐτῶ Αἰνείε τὰς ἀπογόνες ἀναδεξομένες τὸ κράτος. (Ἀυτ: 307.)

„Νῦν δὲ δὴ Αἰνείαο βίη Τρώεσσιν ἀνάξει
„Καὶ παῖδες παίδων, τοί κεν μετόπισθε γένωνται.

Σημειωτέον δὲ, ὅτι παρὰ μὲν Οὐιργιλίῳ ἐνταῦθα κατὰ πάντων ἐθνῶν ἡ τῶν Αἰνειαδῶν ἀρχὴ ἐκτανθησομένη προαναφωνεῖται: (Ἅπαντ' ἐπὶ πέρατ' ἀνάξει.) καθ' ὃν καὶ ὁ Καλαβρὸς ἐξεραψώδησε: (Παραλ. ΙΓ. στίχ. 339.)

„ . . . αὐτὸν δὲ πολυπερέεσσι ξεροῖσι
„Κοιρανέειν· ἐκ τᾶ δὲ γένος μετόπισθεν ἀνάξειν,
„Ἄχρις ἐπ' Αὐτολίῳ τε, καὶ ἀκάματον δύσιν ἔλθῃ.

Παῤῥ Ὁμήρῳ δὲ μόνον ἐπὶ τῶν Τρώων ἀφώρισαι τὰ τῆς δωμασείας. Ἐξ „οὗ τινες ὑπεσλήφασιν „Αἰνείαν καταςήσαντα λόχον εἰς Ἰταλίαν, ἀνακο„μισθῆναι πάλιν οἴκαδε, καὶ βασιλεῦσαι τῆς Τροίας· τελευτῶντα δὲ κατα„λιπεῖν Ἀσκανίῳ τῷ υἱῷ τίω βασιλείαν, καὶ τὸ ἀπ' ἐκείνε γένος ἐπὶ πλείσον καταχεῖν τίω ἀρχίω. Τῇ μέντοι δόξῃ τῇδε (Διονύσ. ὁ Ἁλικ. ἐν Α'. τῆς Ῥωμ: Ἀρχ. καὶ Στράβ. ἐν ΙΓ. τῶν Γεωγρ.) ἐ σωτίθενται· καὶ

θαυμα-

Καὶ παῖδες παίδων, τοίκεν μετόπισθε γένωνται.
Ταυτα ῥὰ Φοῖβος: Ὁρῷ δ' ἔμμικτον γῆθος ἐνῶρτο
Απλετον. Ἄτται δ' ἔοι πάντες τάδε τείχεα δίζον,
Οἵποτε δ' ἄυ καλέοι μετ' ἄλιω Φοῖβος παλινόρσας.
Τῆμος δ' ἀρχαίων μνήμας ὁ πατὴρ ἀνελίσσων,
Κέκλυτ', ἔφη, λογάδες· τὰ δ' ἐπέλπεθ' οἷατε γνῶτε:
Κρήτη ἥδε Διὸς μεγάλα, μέσση ἐνὶ πόντῳ,
Ἔνθ' ὄρος Ἴδη, ἔνθ' ἡμῶν τὰ πάργανα φύτλης.
Τῇ δ' ἑκατὸν πόλιες ναίονται βωτιανείρῃ.

Ἐνθεῦ-

❁ ❁ ❁

*Θαυμαςὸν ἐδὲν μὴ προσθέσθαι, ἐπὶ Ρωμαίων τῶν μέγα κατ' αὐτὲς ἅπαντα χῆ διωαμένων, συγγράφοντας. Ἀλλ' ἐπιεικῶς, τίω ἐπ' αὐτῇ τῶν Αἰνειαδῶν ἐπικράτειαν, ὅπως τε καὶ ὅπε ἐξ ἀρχῆς ἵδρυτο ἠγνοηκέναι, πιςεῦσαι ἐ ῥᾴδιον.*

Στίχ: 105. . . ΘΡΩΪ Δ' ΕΜΜΙΚΤΟΝ ΓΗΘΟΣ . . *Τὸ μὲν γῆθος ἐκ τῆς προαγγελθείσης αὐτοῖς βασιλείας, ὁ δὲ θρὲς, ἐκ τῆς αὐθηλίας τῆς χώρας, ἐν ᾗ τὸ κράτος ἐδει ζητεῖν.*

Στίχ: 108. . . Ο' ΠΑΤΗΡ ΑΝΕΛΙΣΣΩΝ, *Ἀγχίσης δηλονότι, ὡς διὰ τὸ προῆκον τῆς ἡλικίας, γνώσεσθε καὶ σωίσει διαφέρων, ἐξ ὧν αὐτός τε εἰδὼς, καὶ παρὰ τῶν παλαιοτέρων παρειληφὼς ἐτύγχανε, τας τῆ γένες ἀρχὰς ἀναπεμπαζόμενος ἐτεκμαίρετο.*

Στίχ: 109 ΚΕΚΛΥΤΕ, ΕΦΗ, ΛΟΓΑΔΕΣ . . . *Οὕτω καὶ ὁ γέρων Ἀλιθέρσης παρ' Ὁμήρῳ, Ὀδυς. Β 161.*

„Κέκλυτε δὴ νυῶ μευ, Ἰθακήσιοι, ὅ, ττικεν εἶπω.

Στίχ: 110. ΚΡΗΤΗ ΗΔΕ ΔΙΟΣ κτ: *Διὶ γαρ ἡ Νῆσος ἀνέκειτο ὡς ἐν αὐτῇ καὶ τεχθέντι ὑπὸ Ρέας, καὶ ἐν τῷ ἐκεῖ ὄρει τῆς Ἴδης ἀποκρυβέντι, καὶ περισωθέντι ἀπὸ τῆ τεκνοβόρε Κρόνε, τῆ τὸν ὑποβληθέντα ἐπαργανωμένον λίθον, ἀντὶ τῆ βρέφες καταβροχθίσαντος. (Ἀπολλόδ. Βιβλ. Α' Κεφ. Α'.) Καί τοι γάρ καὶ Φρύγες, καὶ Ἀρκάδες, παρὰ σφίσι τον Δία τεχθῆναι, πρός τε ἀλλήλυς καὶ πρὸς Κρῆτας ἐριζοντες διετείνοντο, ὡς Δημήτριος ὁ Σκήψιος (παρὰ τῷ Ἀπολλωνίῳ Σχολιαςῇ ἐν τῷ Γ.) παρέδωκε· πρὸς δὲ καὶ Μεσσηνίοις πρὸς Ἀρκάδας ὁμοίως παραπλησία τις περὶ τότε διεφέρετο ἔρις· (Παυσαν· ἐν τοῖς Ἀρκαδ καὶ Μεσσηνιακ.) Ἀλλ' ὁ τὸ γέρας ἀπονέμων τῇ Κρήτῃ μῦθος κοινῇ ἐξενίκησεν. (ὅρα Δ. Γεωργ. στίχ. 186.)*

Στίχ: Αὐτὶ . . ΜΕΣΣΗ ΕΝΙ ΠΟΝΤΩι. *Ὡσάυτως καὶ Ὅμηρος Ὀδυσ. Τ. στίχ. 172.*

„Κρήτη τις γαῖ', ἐςὶ μέσῳ ἐνὶ οἴνοπι πόντῳ.

*Οὐχ ὅτι ὕδασι πανταχόθεν ἐςὶ περίῤῥυτος, ὃ κοινὸν ἐςὶ νήσοις ἁπάσαις· Ἀλλ' ὅτι αἱ μὲν ἄλλαι, ἑνί τινι πελάγει ἰδίᾳ προσδιορίζονται· οἷον Δῆλος μὲν τῷ Διγαίῳ, Ῥόδος δὲ τῷ Καρπαθίῳ· Κύπρος δὲ τῷ Κιλικίῳ, ἢ τῷ Συριακῷ. Σαρδὼ δὲ τῷ Ἀφρικανῷ κτ: περὶ δὲ τῆς Κρήτης, εἰς ὄντινα δὴ πόντον αὐτὴν ἀνακτέον, εἰπεῖν ἐ ῥᾴδιον. Ἔνθεν μὲν γαρ τάυτῃ τὸ Λιβυκὸν πέλαγος περιῤῥεῖ, ἔνθεν δὲ τὸ Αἰγύπτιον, ἄλλοθεν δὲ ἐπὶ τὸ τῆς Ἀφρικῆς ἡ νῆσος ἀπονέυει, ἑτέρωθεν δὲ πρὸς τὸ Ἰώνιον. Περὶ οὗ ὅρα Στραβ. Γεωγρ. Βιβλ: Γ.*

Στίχ: 111. ΕΝΘ' ΟΡΟΣ ΙΔΗ, ΕΝΘ' ΗΜΩΝ ΤΑ' ΣΠΑΡΓΑΝΑ ΦΥΤΛΗΣ. *Ἕτερον παρὰ τὸ ἐπὶ τῆς Τρωικῆς χώρας, τόδε τῆς ἐν τῇ Κρήτῃ Ἴδης τὸ ὄρος, καθ' ὕψος ἐπιφανὲς ὑπερβάλλον, καὶ ἀπὸ βάσεως ἑξήκοντά πε σταδίων τίω περίμετρον κορυφέμενον. Ἐνταῦθα τοίνυν Ἀγχίσης τὴν τῆς ἑαυτῆ φύτλης ἀρχηγὸν ἀναφέρων, ἔνθα καὶ Ζεὺς αὐτὸς ἐπιςεύετο γεννηθῆναι, δῆλος ἐςὶ θεῖον αὐτῇ τὸ γένος ἀνακηρύξαι βελόμενος.*

Στίχ: 112. ΤΗΪ Δ' ΕΚΑΤΟΝ ΠΟΛΙΕΣ ΝΑΙΟΝΤΑΙ. . . *Ἰσαρίθμως καὶ Ὅμηρος τὰς πόλεις ἔφθη καθιερεήσας, Ἰλ. Β'. στίχ. 649.*

„Ἄλλοθ' οἱ Κρήτηθεν ἑκατόμπολιν ἀμφενέμοντο,

Nigram Hyemi pecudem, Zephyris felicibus albam.
Fama volat, pulsum regnis cessisse paternis
Idomenea ducem, desertaque littora Cretæ,
Hoste vacare domos, sedesque astare relictas.
Linquimus Ortygiæ portus, pelagoque volamus,
Bachatamque jugis Naxon; viridemque Donysam,
Olearon, niveamque Paron, sparsasque per æquor
Cycladas, & crebris legimus freta consita terris.
Nauticus exoritur vario certamine clamor;
Hortantur socii, Cretam proavosque petamus.
Prosequitur surgens à puppi ventus euntes,

Et

❁ ❁ ❁

Ἀλλὰ γὰρ αὐτὸς Ὅμηρος, ἐν ἄλλοις (Ὀδυσ. Τ. 174.) τὰς πόλεις ὑπέθετο ἐννεηκοντα· ἔνθα ἐπιζήσας Εὐξάθιος, κατὰ περιπέτειαν, φησὶ, τοῦτο συμ-„βῆναι· ἀναστατωθεῖσαι γὰρ, φησὶ, δέκα ὑπὸ Ἰδομενέως ἐπανελθόντος ἐξ „Ἰλίου, ὅτε Λεῦκος αὐτὸν ἀπήλαυνεν, ὄντερ θετὸν παῖδα ὄντα, φύλακα „τῆς βασιλείας κατέλιπε· Δράκοντα θρεπτὸν, ὡς ὁ Λυκόφρων φησί. Τὰς „δὲ τοιαύτας δέκα πόλεις προσκτισθῆναι, φασὶν, ὕστερον μετὰ τὰ Τρωϊκά. „Ἕτεροι δὲ, ἐκ ὡρισμένως ἐκεῖ (Ἰλ: Β΄.) νοοῦσι τὸν ἑκατόμπολιν· καὶ ἐσω-„θεν ἕτω ποτὲ λαμβάνεσθαι τὸ ἑκατὸν, διὰ τὸ πρεσβεῖον τῆ ἐντελεῖ ἀ-ριθμῆ, ὡς καὶ ἡμῖν ἀνωτέρω πε σεσημείωται· (Β΄. Alv. 539.) Ὅρα δὴ καὶ Στράβ. Γεωγραφ. Βιβλ. Γ΄. Ἦν δὲ ἄρα ἡ ἑκατόμπελις, ἢ πολύπολις· καθ' Ὅμηρον εἰπεῖν, (Ὀδυσ. Τ. 173.) καλή τε καὶ πίειρα, κατὰ τὸ ἑπόμενον. Οὐδὲ γὰρ οἷόν τε γῆν ὑπὸ πολλῶν οἰκεῖσθαι λυπρόν τε καὶ ἄκαρπον, ὡς μηδὲ τὰ πρὸς τροφὴν διαρκῆ τοῖς πολλοῖς ἀποφέρειν ἰσχύσαν.

Στίχ: 114. ΤΕΥΚΡΟΣ ΡΟΙΤΕΙΟΥΣ . . . . . Περὶ μὲν τῆ Τεύκρε (Α. Alv. 257.) Τὸ δὲ Ῥοίτειον ἄκρα Τρωάδος, ἑκατόν πε σαδ. ἀπέχουσα τῆ Σιγείε πρὸς Βορρᾶν ἄνεμον· ἔνθα καὶ ὁ Τύμβος Αἴαντος τῆ Τελαμωνίε, καὶ πόλις ὁ-μώνυμος αὐτῇ τῇ Ἄκρα. (Στέφ. Βυζ.) Ῥοίτειοι δὲ καὶ αἱ ἀκταὶ, ἐφ' αἷς ἀπὸ Κρήτης ἐλθὼν ὁ Τεῦκρος τὸ κράτος ἐπισωέσησε, καὶ τὸ ἔθνος ἐντεῦθεν Ῥοίτειοι καὶ Ῥοιτειεῖς.

Στίχ: 115. . . . . ΟΥ̓ ΓἈΡ ΠΩ ΤὈΤΕ ΊΛΙΟΝ ΈΣΚΕ. Τετὶ μὲν Ὅμηρος περὶ Δαρδάνε λέγει τῆ Τεύκρῳ ἐπιγαμβρεύσαντος. Ἰλ: Υ. 214.

„Δάρδανον ἂυ πρῶτον τέκετο νεφεληγερέτα Ζεὺς·
„Κτίζε δὲ Δαρδανίην· ἐπεὶ ἔπω Ἴλιος ἰρὴ
„Ἐν πεδίῳ πεπόλισο, πόλις μερόπων ἀνθρώπων·
„Ἀλλ' ἔθ' ὑπωρείας ᾤκεον πολυπίδακος Ἴδης.

Στίχ: 117 ΈΝΘΕΝ Δ' ΆΡ ΚΥΒΈΛΗΣ κτ: Ἐντεῦθεν ἀπὸ Κρήτης, φησὶ, καὶ τὰ Κυβέλης ὄργια εἰσηνέχθη, Κυβέλη δὲ ἡ Ῥέα, ἀπὸ Κυβέλε, φασὶν, ὄρες Φρυγίας· ἢ, ἀπὸ τῆ πρώτε ἐκεῖ αὐτῇ ἱερεύσαντος, ἕτω καλεμένε· ἢ ἀπὸ τῆ κυβιστᾶν τὰς ἐκεῖ θιασώτας ἐν ταῖς παρ' αὐτῇ ὀρχήσεσιν. Ἡ δ' αὐτὴ πολυώνυμός τις καὶ ἄλλως, καὶ Μήτηρ κατ' ἐξοχὴν, ἡ Μεγάλη δὲ Μήτηρ ἤκουσε, καὶ Πασιγένα, ὡς πᾶσι Θεοῖς παραχωρήσασα τὴν Γένεσιν, ὡς ἐν τοῖς Ὀρφικοῖς ὕμνοις· (Ὕμν. ΙΓ΄. καὶ Κς΄. καὶ Μ.) Καὶ τῷ Ὁμηρικῷ δὲ, ἔπερ Ὁμήρε.

„Μητέρα μοι πάντων τε Θεῶν πάντων τ' ἀνθρώπων.

Στίχ: 118. . . ΚΑἸ ΒΑΡΎΔΟΥΠΑ ΣΑΚΗ ΧΑΛΚἈ ΚΟΡΥΒΆΝΤΩΝ. Οἱ γὰρ ἐπὶ τῆς Φρυγίας τῇ Μητρὶ τῶν Θεῶν ὀργιάζοντες τοῖς ὄρεσι τὰς ἀσπί-δας συνέκρεον, ὡς οἱ ἐν Ἴδῃ τῷ ὄρει τῆς Κρήτης Κορύβαντες, οἱ Διὸς ἔρε, „Θεὸς Φύλακες. Τὸν οὖν μῦθον ἕτως ἡμῖν Ἀπολλόδωρος πρέπιεν: (Βιβλ: „Α΄. Κεφ: Α΄.) Κρόνος ὁ ἐξ Οὐρανῆ καὶ Γῆς, τὴν ἀδελφὴν Ῥέαν γήμας, „ἐπειδὴ (οἱ τεκόντες) ἐθεσπίσθην αὐτῷ ὑπὸ παιδὸς ἰδίε τὴν ἀρχὴν ἀφαι-ρεθή-

Ἐνθεῦτεν προπάτωρ, (εἰ μέμνημ' εὖ ῥὰ ἀκούσας.)
Τεῦκρος Ῥοιτείης πρώτις' ἀκτάς δε κατήχθη,
Εἵλετο δ' εἰς κράτος· οὐ γάρ πω τότε Ἴλιον ἔσκεν, 115
Οὐδέ τε Πέργαμα, ἀλλ' ἔτι ἄγκεα ἔχατα ναίων.
Ἔνθεν δ' ἄρ Κυβέλης ἐσενήχθη ὄργια Μητρὸς·
Ἔνθεν καὶ βαρύδουπα σάκη χαλκᾶ Κορυβάντων·
Καὶ Ἰδήϊον ἄλσος, ἰδ' ἀμφὶ τ' ἀνέκφορα πίσις.
Οἵτ ἄρ' Δεσποίνης ζεύγνυνται ὑφ' ἅρματι Λίες· 120
Τοιγὰρ ἄγ' ἑσπώμεθα, ὅποι κεν ἄγωσι Θεοίπερ·
Ἱλασόμεθ' ἀνέμους, ἀρχὰς Κνοσίης ζητῶμεν.
Οὐ μακρὸς δ' ὁ πλοῦς, αὔκεν Ζεὺς ἄμμι παρείη.
Κρηταίοις κέλσουσι νέες δὲ τριταῖαι ἐν ὅρμοις.



❁ ❁ ❁

„ρεθήσεσθαι, κατέπινε τὰ γεννώμενα. . . Ὀργισθεῖσα δ' ἐπὶ τούτοις Ῥέα „παραγίνεται μὲν εἰς Κρήτην, ὀπλίσασα τὸν Δία ἐγκυμονοῦσα ἐτύγχανε, „γννᾷ δὲ ἐν ἄντρῳ τῆς Δίκτης Δία, καὶ τοῦτον μὲν δίδωσι τρέφεσθαι Κύ„ρησί τε, καὶ ταῖς Μελισσέως παισὶ Νύμφαις, Ἀδρασείᾳ τε καὶ Ἰδῃ. „Λύσαι μὲν οὖν τὸν παῖδα ἔτρεφον τῷ τῆς Ἀμαλθείας γάλακτι. Οἱ δὲ, „Κούρητες ἔνοπλοι ἐν τῷ ἄντρῳ τὸ βρέφος φυλάσσοντες τοῖς δόραισι τὰς „ἀσπίδας συνέκρουον, ἵνα μὴ τῆς τοῦ παιδὸς φωνῆς ὁ Κρόνος ἀκούσῃ. Ῥέα δὲ „λίθον σπαργανώσασα δέδωκε Κρόνῳ καταπιεῖν, ὡς τὸν γεγεννημένον παῖδα. Οἱ τοίνυν Κούρητες οὗτοι, οἱ αὐτοὶ καὶ Κορύβαντες, δέκα τὸν ἀριθμὸν, ἢ ἐννέα, τῆς Ῥέας παῖδες ὄντες, ἢ ὀπαδοὶ μᾶλλον κατ' ἄλλους (Σχόλ. ἐν Λέξ.) εἴτε ἀπὸ τῆς Κόρης, ἤτοι τῆς Περσεφόνης ἔτως ἐκλήθησαν, ἢ ἀπὸ τοῦ ἐπὶ τῆς Κύπρου χαλκοφόρου ὄρους. Κόριον γάρ, φασὶν, ὁ χαλκὸς κατὰ γλῶσσαν Κύπριον. Ὅτι δὲ Κυβέλη τοῖς τοιούτοις ἔχαιρε τῶν Κρήτων κροτοθορύβοις, καὶ ἐκ τοῦ Ὁμηρικοῦ εἰς αὐτὴν Ὕμνου πάρεστι μαθεῖν.

„Ἦ κροτάλων, τυπάνων ἰαχὴ, σοῦ τε βρόμος αὐλῶν
„Εὐαδέν, ἠδὲ λύκων κλαγγὴ, χαροπῶν τε λεόντων·
„Οὔρεά τ' ἠχήεντα, καὶ ὑλήεντες ἔναυλοι·

Καὶ ἐκ τοῦ Ὀρφικοῦ δὲ, τοῦ ἔτως αὐτὴν ἐπικαλεμένου:

„Τυμπανόδαπε, φιλοιτρομανὲς, χαλκόκροτε Κόρη,
„. . . . . .
„Οὐρεσιν ἢ χαίρεις, θνητῶν τ' ὀλολύγμασι φρικτοῖς.

Στίχ: 119. ΚΑΪ ΊΔΗΪΟΝ ΆΛΣΟΣ κτ. Καὶ τὸ ἄλσος γάρ, ὥσπερ καὶ τὸ ὄρος, ἐκ τῶν ἐπὶ τῆς Κρήτης μετονομαθίσας ἐκδιδάσκει Ἀγχίσης· οἷς προσίθησι καὶ τινι νενομισμένῳ τῶν ἀπορρήτων πιστὸν ἀποσίγησιν· ἥτις, ὥσπερ κατὰ τὰ Δήμητρος μυστήρια ἐν Ἐλευσῖνι, ἔτω καὶ τοῖς Κυβελίοις ὀργιασμοῖς παρεγγυᾶτο.

Στίχ: 120. ΟΙ΄Τ' ΆΡ ΔΕΣΠΟΙ΄ΝΗΣ κτ. Τὸ Δεσποίνης ὄνομα κατ' ἐξοχὴν πως τῇ Κυβέλῃ ἀπονενέμηται, ἤτοι τῇ Ῥέᾳ, ἥτις κατ' ἀναγραμματισμὸν ἦν ἡ Ἥρα, τουτέστιν ἡ γῆ, ὃ περ ἄρα καὶ Δημήτης ἔστιν ὅτε ἐγεραίρετο ἐπικαλεμένη, ἅτε δὴ καὶ αὕτη τὴν γῆν ἐν μέρει παρισῶσα, οἵα Γῆ Μήτηρ. (Γεωργ. Βιβλ. Α'. στίχ. 7.) Τῆς οὖν μεγάλης Μητρὸς Ῥέας τὸ ἅρμα ὑπὸ λεόντων ἔλκεσθαι λέγεται (ὡς ἐν Ὀρφ. Ὕμν. Κ. στίχ. Κς.)

„Ταυροφόνων ζεύξασα ταχύδρομον ἅρμα λεόντων.

Τῇ γὰρ Μητρὶ καὶ τὰ θηριώδεστατα αὐτὰ, πάντα ὑπείκει, μηδὲν ἐυλόγως τῇ τεκούσῃ ὑπεναντιοῦσθαι δυνάμενον.

Στίχ: 122. . . ΆΡΧΑΣ ΚΝΟΣΙ΄ΟΥΣ. . . Τὰς ἐν Κνωσσῷ, ἢ Γνωσσῷ· ἤτοι τὰς ἐν τῇ Κρήτῃ. Κνωσσὸς γὰρ πόλις ἰδίως ἐπίσημος Κρήτης, πρὸς Ἀνατολὰς ἐπὶ τῆς Βορείου ἀκτῆς ἀπονένευσα, ἐν ᾗ καὶ ὁ Λαβύρινθος ἦν ὁ περιώνυμος, τοῦ ἐν Αἰγύπτῳ ἔκτυπόν τε καὶ ἀπομίμημα. Ἐκ δὲ τῆς πόλεως ταύτης, καὶ ἡ ὅλη ποτὲ Κρήτη Γῆ Κνωσσία προσείρηται.

Στίχ:

Et tandem antiquis Curetum allabimur oris.
Ergo avidus muros optatæ molior urbis,
Pergameamque voco; & lætam cognomine gentem
Hortor amare focos, arcemque attollere tectis.
Jamque fere ſicco ſubductæ littore puppes,
Connubiis, arviſque novis operata juventus:
Jura domoſque dabam: ſubito cum tabida membris,
Corrupto cæli tractu, miſerandaque venit
Arboribuſque ſatiſque lues, & lethifer annus.
Linquebant dulces animas, aut ægra trahebant
Corpora, tum ſteriles exurere Sirius agros.
Arebant herbæ, & victum ſeges ægra negabat.
Rurſus ad oraclum Ortygiæ, Phœbumque, remenſo
Hortatur pater ire mari, veniamque precari:
Quem feſſis finem rebus ferat; unde laborum
Tentare auxilium jubeat, quo vertere curſus.

Nox

❁ ❁ ❁

Στίχ: 126. ΈΝΝΟΣΙΓΑΙΩι ΤΑΥΡΟΝ· ΆΤΑΡ κτ: Ἄλλα μὲν γὰρ ἄλλοις ἦν τεταγμένον Θεοῖς ἱερεῖα θύεθαι. Οἷον Ποσειδῶνι μὲν καὶ Ἀπόλλωνι Ταῦρον, διὰ τὸ ἐνεργὸν τῶν Θεῶν καὶ δραστήριον· καί τοι τῷ μὲν μέλαινα, φασὶ, διὰ τὸν ἐκ τῆ βάθες οἴνοπα πόντον· τῷ δὲ λευκὸν, διὰ τὸ καθαρὸν καὶ αἰγλῆεν τῆ Ἡλιακῆ σελαγίσματος. Χειμῶσι δὲ καὶ Ζεφύροις ὄϊν, τέτοις μὲν λευκὸν, ἐκείνοις δὲ μέλαιναν. Ὥσπερ καὶ παρ' Ὁμήρῳ. (Ἰλ: Γ. 103.)

„Οἴσετε δ' ἄρν', ἕτερον λευκὸν, ἑτέρῳ δὲ μέλαιναν,
„Γῆ τε καὶ Ἠελίῳ.

Σημείωσαι δὲ, ὅτι ἐπὶ τῆ προκειμένῃ Ὀυϊργιλιακῆ ἔπες: (Ἐννοσιγαίῳ Ταῦρον:) Φῦκός τι, ἐκ ὄιδ' οἷον, σιωπηρακέναι ἔοικε Γέλλιος (Βιβλ: Γ. Κεφ: ΚΕ.), ἐδ' ἀνεπιτηδεύτως ἔοικε, φησὶν, εἰρῆθαι, ὥσπερ τὸ ἀφ' ἧ ἀπεξέθη Ὁμηρικὸν: (Ἰλ: Δ. 727.)

„Ταῦρον δ' Ἀλφειὸ, Ταῦρον δὲ Ποσειδάωνι.

Ἀλλ' ἐμὲ γὰρ ἐπισρέφει τῆς ἐπισροφῆς ἐνταῦθα τὸ χάριεν, καὶ εὔλογον κατὰ τὸ αὐτὸ, τῆς πρὸς τὸν Ἀπόλλωνα. Ἐπὶ γὰρ τῆ Ναῒ ἕως Ἀγχίσης, ὡς ἄρα παρόντι καὶ ὁρωμένῳ τῷ Θεῷ διαλέγεται.

„Ἐννοσιγαίῳ Ταῦρον, ἀτὰρ Σοὶ Ταῦρον Ἄπολλον.

Στίχ: 129. ΊΔΟΜΕΝΗ͂ ΆΡΧΟΝ. . . Ἰδομενεὺς γὰρ, ἀλάσης Τροίας, ἐπαναπλέων εἰς Κρήτίω ἧς ἐβασίλευε, κλύδωνι περιπεσὼν ἀνυποςάτῳ, τοῖς Θεοῖς ἔυξαθαι λέγεται θύσειν ἐπομώσας τὸν πρῶτος ἀφικομένῳ προσυπαντήσοντα. Καὶ δὴ κατάρας, καὶ τὸν ὑὸν, ὃς πρῶτον ὤφθη, ἀνελεῖν ἐπιθέμενος, ἐις ςάσιν καθ' ἑαυτῆ τὸν δῆμον ἐκίνησε, τῆς τε πρὸς τὸν παῖδα ἀπηνείας ἕνεκα, καὶ διὰ τὸν ἐπιπολάσαντα λοιμὸν τῷ ἔθνει; ὃς ἰῶ ἐνσκήψας ἐκ θείας, ἥπερ ἐδόκει, νεμέσεως. Ἔνθεν τοι καὶ τῆς χώρας ἀπελαθεὶς, καὶ τὸ Σαλεντίνων καταλαβὼν ἀκρωτήριον, τὸ ἐπὶ τῆς Καλαβρίας, μετὰ τῶν συμπεπλευκότων ἐκεῖ τιὼ εἵκησιν ἵδρυσε. Ταῦτα δὴ πυθομένης ἀνέπεισε τὰς Τρῳὰς ἐκ Δήλε θᾶττον ἐπὶ Κρήτης περαιωθῆναι, ὡς ἐυκαίρως ἤδη ἐκ τῆς ἐπισυμβάσης ἀναρχίας καὶ ςάσεως ἔρημα τὰ βασίλεια καταλήψομένης, καὶ τὸ πρεσποφοιβαθὲν σφίσι Κράτος συξήσοντας.

Στίχ: 131 ΛΕΙΠΟΜΕΝ ΌΡΤΥΓΙΗΣ ΔΙΜΕΝΑΣ. . . Πόθεν Ὀρτυγία πάλαι καλεῖθαι ἡ Δῆλος ἔλαχε, μυθικώτερον εἰρηται. (Ἀνωτ. στίχ. 78.) Ἀλλὰ γὰρ καὶ πραγματικώτερον ἔοικεν ἀπὸ τῶν Ὀρτύγων ὕτω κληθῆναι, ὧν ἄλοθεν ἄλοσε μεταχωρούντων κατὰ ἔτος ὥραν, πλῆθος ἐπὶ τῆς Νήσε συλλέγεται, τῆς διαποντίε μεταξὺ διανεπαυομένων περαιώσεως.

Στίχ.

Ὡς ἔπας, τὰ γ' ἔδει ἐπὶ βωμοῖς θύματα ἔρδειν.
Ἐννοσιγαίῳ ταῦρον· ἀτὰρ Σοὶ ταῦρον Ἄπολλον.
Καὶ χειμῶνι μέλαιναν, ὄϊν δ' ἀργιὼ Ζεφύροισι·
Φῆμις δ' ἄρ πεπότητ' ἀρχῆς πατρικῆς ἐλαθιῶας
Ἰδομενῆ ἀρχὸν, Κρήτης ἀπὸ τὰς δέ γ' ἐρήμας,
Κενά τ' ἀνάκτορα, ἠδ' ἄφρακα ἑδώλια κεῖθας.
Λείπομεν Ὀρτυγίης λιμένας πτίωοὶ διὰ πόντα,
Νάξον τ' ἀμπελόεσσαν, ἀτὰρ χλοερίῳ τε Δονῆσαν,
Ὠλιάρου τε, Πάρον τε χιώνεον· ἠδ' ἐπὶ λαῖτμα
Εὐρυχαδὲς πόντα, καὶ Κυκλάδας οἷα σπαρτὰς
Παρπλέομεν, πορθμὸς δ' οἳ ταρφέσι κεῖντ' ἐνὶ νήσοις·
Ναυτίλλων δ' ἔρις ἦρε πολὺ μέγα θρῶν κέλαδόντε
Ὅφρα κελευτιόωντο ἑταῖροι κάρτα βοῶντες·

Δεῦτ'

❁ ❁ ❁

Στίχ: 132. ΝΑ΄ΞΟΝ Τ' ΑΜΠΕΛΟ΄ΕΣΣΑΝ, ΑΤΑ΄Ρ ΧΛΟΕΡΗ΄Ν ΤΕ ΔΟΝΟΥ΄ΣΑΝ. Τὴν Νῆσον Νάξον, ἀπὸ Νάξ. Φέρεσι κληθῆναι ὑπ' Εὐδυμίωνος. Ἐπιφανὴς δ' ἡ Νῆσος ἐν ταῖς Κυκλάσι, πρὸς μὲν τὴν ἐγγὺς Πάρον ἀνατολικωτέραν, πρὸς δὲ Ἴον βορειοτέραν τὴν θέσιν ἔχουσα. Περιφερὴς δέ πως ὅσα τὸ χῆμα, καὶ Στρογγύλη προσείρηται, ἐν περιμέτρῳ περιγεγραμμένη σταδίων ὡσεὶ ὀκτακοσίων καὶ τεσσαράκοντα. Ὠνόμασται δ' ἄλλως ἡ αὐτὴ καὶ Καλλίπολις, καὶ μικρὰ Σικελία διὰ τὸ εὔκαρπον· (καί τοι γε καὶ Σικελικήτις φέρεται πόλις, Νάξος ὄνομα·) καὶ μὲν δὴ καὶ Δία, καὶ Διονυσιάδα, ὅτι Διόνυσος ἐπ' αὐτῆς ἀνατραφῆναι μεμύθευται. Ἐξ οὗ καὶ Μάρων ὧδε Bacchatam jugis, οἷον ἐκβεβακχευμένην, ἢ βακχεύουσαν τοῖς ἐπὶ τῶν ἐν αὐτῇ ὀρέων ζυγοῖς προσέπτε, διὰ τὰς συχνάς τε καὶ πολυφόρους ἂς τρέφει ἀμπέλους, ὅθεν καὶ αὐτοὶ κεκλήκαμεν ἑρμηνεύοντες ἀμπελόεσσαν. Πεφήμισται δὲ καὶ τὰς Ναξίας ὀκτάμηνα ἐπιζώντα γεννᾶν, χαριτωθείσας τοῦτο δηθὲν ὑπὸ τοῦ Βάκχου, ὃς καὶ αὐτὸς προῆλθεν εἰς τὸν βίον ὀκτάμηνος. (Ὅρα Στεφ. Βυζ.) Ἐν δὲ Νάξῳ καὶ τὴν Ἀριάδνην, φασὶν, ὑπὸ Θησέως ἐγκαταλειφθῆναι. Ἡ δὲ Δονῆσα τὸ Νησίδιον πρὸς Ἀνατολὰς τῇ Νάξῳ παράκειται, οὕτω κληθεῖσα παρὰ τὸ σεισμοῖς κλονεῖσθαι συχνοῖς· χλοερὴ δὲ λέλεκται, ἢ χλωόχρους, Viridis, διὰ τὸ ἐπιπολάζον αὐτῇ δαψιλὲς τῆς πόας· ἢ καὶ διὰ τὸν πρασίτην λίθον τὸν ἐξ αὐτῆς μεταλλευόμενον. Σημείωσαι δὲ ὅτι ἑτέρα ἐστὶν ἡ Σποράς Δονῆσα, μικρὰ ὅσα νῆσος Ῥόδου, εἰς ἣν Διόνυσος ἐκ Νάξου τὴν Ἀριάδνην μετεκόμισεν· ἣ κ) κατὰ παραφθορὰν Δονῆσα ἀντὶ Διονυσίας ὠνόμασαι. (Στέφ. Βυζ.)

Στίχ: 133. ΩΛΙ΄ΑΡΟΝ ΤΕ, ΠΑ΄ΡΟΝ ΤΕ ΧΙΩ΄ΕΟΝ. . . Ὠλίαρος, ἡ καθ' ἡμᾶς Ἀντίπαρος, σταδίους πεντήκοντα ἐκτὸς (παρὰ Στεφ. Βυζ.) τῆς Πάρου ἀπέχουσα· (Ἀλλ' ἐσφαλμένως φασὶ (νῦν) ἀντὶ (ἰσ.), γέγραπται.) διὰ γὰρ τὴν ἐγγύτητα καὶ ἐν τῷ αὐτῷ ἔπει ἀμφοτέρας σωπῆσεν· ὁ Ποικὶς χιώνεον δὲ προσωνόμασε τὴν Πάρον (Niveam) διὰ τὴν ἐν αὐτῇ λατομουμένην λευκὴν μάρμαρον, ἥτις ἐντεῦθεν καὶ λίθος Πάριος λέγεται· καί τοι γε τὸν ἐκ Προκοννήσου, ὅθεν ἦσσονα τῇ λευκότητι τοῦ Παρίου ὁ Στράβων εἶναι φησὶ. (Γεωγρ. Γ. Κεφ. ΙΕ'.)

Στίχ: 134. . . . ΚΥΚΛΑ΄ΔΑΣ ΟΙ΄Α ΣΠΑΡΤΑ΄Σ, Τὰς ἐν τῷ Αἰγαίῳ πελάγει νήσους ὧδε, σπαρτὰς, εἶπεν ὁ Μάρων, κατὰ λαῖτμα θαλάσσης: sparsas per æquor. Καὶ Ἕλλωπες δὲ κοινῇ Σποράδας καλοῦσιν, ὡς οἷον διεσπαρμένας. Ὧν αἱ μὲν κατὰ στίχον πως τεταγμέναι ἐπὶ τὸ ἰθυτενὲς ὀπωσοῦν προϊόντα, Στιχάδες ἰδιαίτερον ἀνόμασιν· αἱ δὲ κατὰ κύκλον περὶ τὴν Δῆλον περιϊσάμεναι, Κυκλάδες. Τῶν δὲ Κυκλάδων πολλὰς μὲν ὁ Στράβων (ἐν Γ: τῶν Γεωγρ.) πολλὰς δὲ καὶ Πλίνιος (ἐν τῷ Δ' τῆς Φυσι. Ἱστορ. Κεφ. ΙΒ.) κατέλεξαν. Ὁρόσιος δὲ (Βιβλ: Α'. Κεφ. Β') καὶ ὡρισμένως ἠρίθμει, τρεῖς ἐπὶ ταῖς πεντήκοντα.

Nox erat, & terris animalia ſomnus habebat:
Effigies ſacræ Divûm. Phrygiique Penates,
Quos mecum à Troja, mediiſque ex ignibus urbis
Extuleram: viſi ante oculos adſtare jacentis
In ſomnis, multo manifeſti lumine, qua ſe
Plena per inſertas fundebat Luna feneſtras.
Tum sic affari, & curas his demere dictis.
Quod tibi delato Ortygiam dicturus Apollo eſt,
Hîc canit: & tua nos en ultro ad limina mittit.
Nos te, Dardaniâ incenſâ, tuaque arma ſecuti;
Nos tumidum ſub te permenſi claſſibus æquor,
Iidem venturos tollemus in aſtra nepotes,
Imperiumque urbi dabimus: tu mœnia magnis
Magna para, longumque fugæ ne linque laborem.
Mutandæ ſedes; non hæc tibi littora ſuaſit
Delius, aut Cretæ juſſit conſidere Apollo.
Eſt locus (Heſperiam Graji cognomine dicunt)
Terra antiqua, potens armis, atque ubere glebæ:
Oenotrii coluere viri: nunc fama, minores
Italiam dixiſſe, ducis de nomine, gentem.
Hæ nobis propriæ ſedes: hinc Dardanus ortus,
Iaſiuſque pater, genus à quo principe noſtrum.

Surge

❁ ❁ ❁

Στίχ. 139. . . ΊΚΜΕΝΟΣ ΌΤΡΟΣ. Τετέχι φορὸς ἄνεμος, ἔπιωθεν ἀπὸ πρύμνης ἐπιπνέων, καὶ ταχὺ συμπαραπέμπων τὰς πλέοντας. Ὁμηρικὴ δὲ ἡ φράσις. Ἰλ. Λ. 319.

„Τοῖσιν δ' ἴκμενον ἦρον ἵει ἑκάεργος Ἀπόλλων.

Καὶ Ὀδυσ: Λ. 6.

„Ἴκμενον ἦρον ἵει πλησίιον, ἐθλὸν ἑταῖρον.

Στίχ. 140. ΈΣ ΔΕ ΤΕ ΚΟΥΡΉΤΩΝ κτ. Οἱ μὲν, φῦλον τι γενέωαι, φασὶ πάλαι τὸ τῶν Κρητῶν, τὸ πρῶτον τιὼ Κρήτιω οἰκῆσαν· οἱ δὲ Κρῆτας τε καὶ Κορύβαντας ὑποτιθέασι τὰς αὐτὰς, τὰς ἀρχιὼ μὲν, ἐπὶ τῆς κατὰ Κρήτιω Ἴδης φυλάσσειν τὸν Δία νήπιον τεταγμένας, ἔπειτα δὲ ἐπὶ τῆς κατὰ Φρυγίαν, τῇ τῶν Θεῶν Μητρὶ ὀργιάζοντας, καθάπερ ἔρηται, ἀνωτ. στίχ. 110. καὶ 118.

Στίχ: 142. ΠΈΡΓΑΜΑ ΚΊΚΛΗΣΚΟΝ. Καὶ πρὸ τῆς Αἰνείω καθόδω, ἱστόρηταί τις ἐπὶ Κρήτης πόλις τὰ Πέργαμα, ἧς καὶ Πλίνιος μνημονέυει (Φυσ. Ἱστορ. Βιβλ. Δ. Κεφ. ΙΒ.) ὁ δέ τοι Γάλλος (Des-Fontaines) Μάρωνος εἶναι πλάσμα φησὶ, τὸ ὑπὸ Αἰνείω πρώτω τὰ Κρηταῖα ταῦτα Πέργαμα κτιωθῆναι, καὶ ἀπὸ τῶν Τρωϊκῶν ἐπονομαωθῆναι. Uirgile feint ici, que ce fût Enée qui commença la batir. Τί οὖν οὐχὶ καὶ περὶ τῆς ἐν τῇ Θράκῃ Αἴνω ὑπολαβεῖν παραπλήσιόν τι ἐξέσαι, κατ' ἐπιχρονισμόν τινα, ἢ μεταχρονισμὸν, ὥσπερ εἴρηται; (ἀνωτ. στίχ. 20) Κεῖται δ' ἡ πόλις ὀ πολὺ πόρρω Κυδωνίας ἀπέχουσα. (Ὅρα Α. Αἰν. στίχ. 510.)

Στίχ: 144. . . ΨΑΜΆΘΟΙΣ ΈΠ' ΑΝΎΔΡΟΙΣ. . . Ἔνθα τῷ ἀναπυματισμῷ μὴ ἐφικνεμένω, αἱ ἐπισωρευόμεναι ψάμμοι μένουσιν ἀδιάβροχοι.

Στίχ: 145 ΓΗΠΟΝΊΗ, ΤΕ ΓΆΜΟΙΣ ΤΕ κτ. Πέρας γὰρ αὐτοῖς ἔζειν ἤλπιζον τὰ τῆς πλάνης ἐκεῖνο, κἀκεῖσε τῷ λοιπῷ σφίσι τιὼ οἴκησιν ἔσεσθαι ἑδραίαν καὶ ἀπαράμειπτον.

Στίχ.

Δεῦτ' ἄγ' ἐπὶ Κρήτῃω σπερχώμεθ' ἀτὰρ προπάτωρας.
Ἀλλὰ καὶ ἐκ πρύμνης προσεπέγρετο ἴκμενος ἄρος,
Ἐς δέ τε Κρητῶν ἀρχαίας κέλσαμεν ἀκτὰς.
Τοιγὰρ προφρονέως ἱμερτά γε τείχε' ἐλαύνων
Πέργαμα κίκλησκον· γηθῶν δὲ φερώνυμον ἔθνος,
Οἰκία τε ςέργειν ἄτρωα καὶ ἔρκεα ἄρειν.
Ὡς δ' ἤδη ψαμάθοις ἐπ' ἀνύδροις ναῦς προέρυσσαν,
Γηπονίῃ τε, γάμοις τε προσεῖχον ὁπόσσοι ἐν ἥβῃ.
Τοῖσι δ' ἐγὼν ἐχέμεν θεσμὸς νέμον, οἰκήσεις τε.
Εὖτε κατεφθορότος διὰ ἠέρος ἤλυθεν ἄφνω
Τηκεδονώδης τις μέλεσ' ἀνδρομέοισιν λύμη,
Δένδρεσί τε, σπορίμοις τ', ἐνιαυτῷ ὅλιος ὥρη.
Λεῖπον γὰρ γλυκεράς γε ψυχὰς, ἠέτ' ἀβληχροῖς
Σώμασιν εἶρπον· ἀτὰρ ςερίφας πάε Σείριος ἀγρὸς·
Οὐ βόσιν ἀναλέος πόρε χλῶς, ἀ λαῖτα νοσεῦντα·
Τῷ τοι ἀν' Ὀρτυγίης χρηςήριον ἆν ὁ γενήτωρ,
Ἀμπλεύσαντας ἄνωγ' ἐυχωλαῖς φοῖβον ἱλάσκειν·
Ὅττι ῥὰ κεκμηῶσιν ἄγοι κεν πρήγμασι πεῖραρ;
Τιὼ δ' αἰτεῖν χραίσμῳω; τόν δ' οἶμον ἐλέσθ' ἐπιτάσσει;
Νὺξ μὲν ἔῳω, καὶ ςῶντα κατὰ χθονὸς ἴχετο ὕπνῳ.
Ἱρὰ Θεῶν δ' εἴδη, Φρυγίης τε Ἐφέςιοι, οὕς περ
Ξιώ μοι ἀπ' Ἰλιόθεν Φλογὸς ἐξείρυσσ' ἐκ μέσσης,
Ὤφθεν ὑπ' ὀφθαλμοῖς, εὐναζομένῳ παρςάντες·
Ἐμφανέες κατ' ὄναρ πρὸς δὴ φάος ἐνσελαγίζον,
Ὅσσον πλησιφαὴς δυρίδων διὰ χεῦε Σελήνη.
Οἱ δ' ὥς παρφασίῃσιν ἔῃσιν μέρμερ' ἀφῆλον.
Ὅττι σοι Ὀρτυγίῃω πλευσθέντι χρήσαι Ἀπόλλων



❁ ❁ ❁

Στίχ: 147. . . . . ΚΑΤΕΦΘΟΡΟ'ΤΟΣ ΔΙΑ' 'ΗΕ'ΡΟΣ . . . . Κατὰ λύμην τε καὶ διαφθορὰν τῆ περιέχοντος τινὸ ἀρχικὸ λαβοῦσα ἡ κάκωσις, θαυμαςὸν οὐδὲν, εἰ μὴ ἐπ' ἀνθρώπες μόνον καὶ κτιςὰ, ἀλλὰ καὶ πρὸς αὐτὰ ἔτι περιεξετάθη τὰ ἐκ γῆς φυόμενα δένδρα καὶ σπέρματα· καὶ γάρ τοι καὶ αὐτὰ φύσιν ἔχει διὰ τῆ αἴρος ζωογονεῖσθαι καὶ θάλλειν καὶ αὔξεσθαι καὶ καρποδοτεῖν. Ὅρα δ' εἰ βέλει τὰ ἐκ τῆ τοιῆδε λοιμῆ συμβαίνοντα πλατύτερον ὑπὸ τῆ Ποιητῆ ἐκτεθέντα ἐν Γ Βιβλ: τῶν Γεωργ. ςίχ. 568 κξ.

Στίχ: 151. . . . . ΣΕΙ'ΡΙΟΣ . . . . Ὁ ἐπὶ ςόματος τῆ Ἀςρώης κυνὸς οὗτος ἐςὶν ἀςὴρ, περὶ ὃ ἐν τοῖς Γεωργ. Βιβλ: Β'. ςίχ 411. ἱκανῶς εἴρηται.

Στίχ: 164. ΌΤΤΙ ΣΟΙ 'ΟΡΤΥΓΙΗΝ ΠΛΕΥΣΟΥ'ΝΤΙ κτ: Ὁ μὲν πατὴρ Ἀγχίσης ὑπὸ τῆς Βίας τῆ ἐνσκήψαντος λοιμῆ ἀρδην ἀπολλυμένες ἅπαντας συμβαλόμενος, εἰς Δῆλον αὖθις παλινοςήσαντας παραινεῖ, ἐξιλάσκεσθαί τε ἐκεῖσε Ἀπόλλωνα, καὶ ἐκδηλότερον παρ' αὐτῆ ἐκπωθάνεσθαι τὰ κελευόμενα. οἱ δὲ πατρῷοι Θεοὶ, οὓς ἐκ Τροίας σωζομίζετο, κατ' ὄναρ τῷ Αἰνείᾳ καθεύδοντι παραςάντες, ὡς ἐξ Ἀπόλλωνος αὐτοῖς ἐπιτεταγμένον, ἀναλαμβάνεσι τε αὐτὸν παραμυθούμενοι, καὶ τὰ προεπηγγελμένα Τρωσὶν ἐπιβεβαιῶνται· θαῤῥεῖν δ' ἐνάγεσιν, ὡς ἐπὶ πολλῷ μείζονά τε καὶ κρείσσονα αὐτὸς καλεμένες, ἢ καθ' ἣν ἐπὶ τῆ παρόντος τὰ χρηθέντα μὴ σωίοντες ἠρετίσαντο οἴκησιν. Καὶ δὴ προτρέπονται χαίρειν μὲν ἐᾶν Κρήτῃω αὐτίκα καὶ τὰ ἐπὶ Κρήτης Πέργαμα, ἅπερ οἰκοδομεῖν ἀνεβάλοντο, πεύσεσθαι δὲ πλοιῷ ἕτερον ἐπ' Ἰταλίας, ὅθεν τινὶ ἀρχικὶ αὐτοῖς ἦκον οἱ ἀπὸ Δαρδάνε πρόγο-

Surge age, & hæc lætus longævo dicta parenti
Haud dubitanda refer. Coritum, terraſque require
Auſonias: Dictæa negat tibi Iuppiter arva.
Talibus attonitus viſis, ac voce Deorum,
(Nec ſopor illud erat, ſed coram agnoſcere vultus,
Velataſque comas, præſentiaque ora videbar;
Tum gelidus toto manabat corpore ſudor)
Corripio è ſtratis corpus, tendoque ſupinas
Ad cœlum cum voce manus, & munera libo
Intemerata focis. Perfecto lætus honore
Anchiſen facio certum, remque ordine pando.
Agnovit prolem ambiguam, geminoſque parentes,
Seque novo veterum deceptum errore locorum.
Tum memorat: Nate Iliacis exercite fatis,
Sola mihi tales caſus Caſſandra canebat.
Nunc repeto, hæc generi portendere debita noſtro.
Et ſæpe Heſperiam, ſæpe Itala regna vocare.
Sed quis ad Heſperiæ venturos littora Teucros
Crederet? aut quem tum vates Caſſandra moveret?
Cedamus Phœbo, & moniti meliora ſequamur.
Sic ait: & cuncti dictis paremus ovantes.
Hanc quoque deſerimus ſedem, paucisque relictis
Vela damus, vaſtumque cavâ trabe currimus æquor.

Poſt-

❁ ❁ ❁

πρόγονοι, καὶ ἔνθα αὐτὲς, ἀπογόνες ὄντας ἐκείνων, οἱ ἀφοριθεῖσαι ὑπὸ Διὸς περιμένειν ἔδραι· ἔγρεσθαι τοίνυν τὸν ὕπνον ἀποσεισάμενον, καὶ τῷ γενέτῃ ταῦτα διακοινώσασθαι· μηδ' ἀναδύεσθαι τὸν ἀνάπλεν, ἀντὶ τῶν Δικταίων ἀρερῶν τέτων, ἃς ἐδεὶς αὐτοῖς τῶν Θεῶν ὑπέση, Κέρυτόν τε τιὼ Ἰταλιώτιδα, καὶ τὲς Αὐσονίες ἀγρὲς, εὖσπερ ὁ Ζεὺς ἐγγυᾶται, ἀναμασέυοντας.

Στίχ: 172. . . . . ΟΥ̓ ΚΡΉΤΗΝ ἜΧΈΜΕΝ ΣΕ κτ: Δί ἑνὸς τῦδε τῦ ἔπες ἡ τῦ γηραιῦ Ἀγχίτε ἀπάτη ἀνακαλύπτεται, ἐν οἷς ἀνωτέρω (στίχ. 108 — 125.) τὸν τῦ Λοξίε χρησμὸν παρηρμήνευεν.

Στίχ: 174. ΓΑΙΑ ΤΙΣ ΩΓΥΓΙΗ κτ. Παναίρχαιος, ἢ ἐν λόγῳ ἔσα πολλῶ· Ὠγύγιον γὰρ τὸ παμπάλαιον, καὶ ἀνέκαθεν ἐπιφανὲς, ἀπὸ Ὠγύγε τῦ βεβασιλευκότος πρόπαλαι Θηβῶν. Οὕτω δὲ καὶ Ὅμηρος τιὼ Καλυψῦς Νῆσον Ὠγυγίην προσεῖπε· καὶ τιὼ Τύρον ὡσαύτως ὁ Περιηγητὴς Διονύσιος.

Στίχ: 175. ΤΗΝ Δ' ΟΙΝΩΤΡΟΙ ΝΑΙΟΝ κτ: Σωσάδες ὁ Μάρων Ἀριστοτέλει περὶ τέτε, παρ' ᾧ ἐν τῷ Η'. τῶν Πολιτ: „Φασὶν οἱ λόγιοι τῶν ἐκεῖ κατοικέν-„των, Ἰταλόν τινα γενέθαι βασιλέα τῆς Οἰνωτρίας, ἀφ' ἧ τὸ ὄνομα με-„ταβαλόντας Ἰταλὸς αὐτ' Οἰνωτρῶν κληθῆναι, Ἀλλ' ὅραμοι τὰ σημειω-θέντα ἐν τῷ Α. τῆς Αἰν. στίχ. 576.)

Στίχ: §177. . . . . ΕΝΘΕΝ ΔΑΡΔΑΝΟΣ ΩΡΤΟ,
§178. ΙΑΣΙΟΣ ΤΕ . . . . . Τέτω δ' ἀδελφῶ ἤτοι ἐκ Διὸς καὶ Ἠλέκτρας· ἄν ὁ μὲν Ἰάσιος, ἢ Ἰασίων, ἐραθεὶς Δήμητρος, καὶ „θέλων καταιχμάσαι τιὼ Θεὸν κεραυνῶται. Δάρδανος δὲ ἐπὶ τῷ θανάτῳ „τῦ ἀδελφῦ λυπέμενος, Σαμοθράκιν ἀπολιπὼν εἰς τιὼ ἀντίπερα Ἤπει-„ρον ἦλθε· ταύτης δὲ ἐβασίλευε Τεῦκρος. (Ἀπολλόδ. Βιβλ: Γ'. Κεφ: ΙΒ'.) Ὅρα καὶ ἐν τῷ Α'. τῆς Αἰν. στίχ. 33. καὶ 253. καὶ 257.

Στίχ:

Ὦδ' ἐπαείδει. Ἠνὶ γὰρ ἡμέας ὡς σὲ προῆκεν.
Ἄμμες σοί γ' ἑπόμεσθ' ἐκ Δαρδανίης πυριφλέκτω·
Ἄμμες δ' ἄμμιγά σοι ξυμπλώομεν οἶδμα θαλάσσης·
Ἄμμες τ' ὀψιγόνως δὲ τεὼς ἐπὶ ἄστρα ἀρεῖμεν,
Πόρσομεν ἄστει δὲ κράτος. Αὐτός δ' ἄρ μεγάλοισι
Δὴ μέγα πόρσιωε τείχος· ἄλης μὴ φεῦγε δὲ μόχθον.
Ἕδρας ἀμειπτέας· ἐκ αὐτάς σοι τάς δ' ὑποθῆκε
Δήλιος· οὐ Κρήτῃω ἐχέμεν σε κελήσατ' Ἀπόλλων.
Χῶρος ἔνι (Γραικοὶ τόν δ' Ἑσπερίην καλέεσι.)
Γαῖα τις Ὠγυγίη, αἰχμῆτις, βωτιάνειρα.
Τὴν δ' Οἰνωτροὶ ναῖον· ἔπειτα δ' οἱ ὕστερον αὐτὴν
Ἰταλίην ἔπον, κατὰ ἔνομα ἡγεμονῆος.
Αἳ δ' ὑμῖν αὐτοῖς ἕδρας· ἔνθεν Δάρδανος ὦρτο,
Ἰάσιός τε πατὴρ, τῶ δὴ πρώτω γένος ἐσμέν.
Ἔγρεο, καὶ γανόων γενέτῃ τάδε μακροετῆϊ
Ἄγγελλ' ἔμπεδα· καὶ Κόρυτον σὺ μάτευ, ἀγρούς τε
Αὐσονίης. Ζεὺς γὰρ Δίκτης ἀπανήνατ' ἀρούρας.
Τοιαῦς δ' ἐμφάσεσίν τε, Θεῶν τ' ὀμφῇσι ταφών γε,
Οὐδ' ὕπνος τὸδ' ἔην· γνῶναι δὲ προσώπατα ἄντιω,
Καί γε κόμας δόκεον δέρκεσθ' αὐτὰς ἀναδήτας·
Ἔρρει δὲ κρυερός μοι ὅλῳ διὰ σώματος ἱδρώς.)

Δέμ-

❁ ❁ ❁

Στίχ: 180. . . . . - ΚΑΙ ΚΟΡΥΤΟΝ . . . . Ἡ δὲ Κόρυτος Τυρρηνῶν, ἢ Θύσκων, ἢ Ἑτρύσκων ἰῶ πόλις, ἡ καθ' ἡμᾶς νῦν Κορτώνη. Ἐπώνυμος δ' ἦν Κορύτῳ τῷ κτίσαντι καὶ βασιλεύσαντι. Ἱστοροῦσι δὲ Κόρυτον, πατέρα γενέσθαι Δαρδάνου τε καὶ Ἰασίωνος· ὧν ἐκεῖνος, τοῦ πατρὸς ἤδη τετελευτηκότος, τὸν ἀδελφὸν ἀνελὼν, καὶ φυγαδευθεὶς ἐπὶ Σαμοθράκης, ἔξης δ' ἐντεῦθεν ἐπὶ τῆς ἀντίπερα Φρυγίας μεταναστὰς, Βατείαν ἐκεῖ τινὶ Τεύκρου θυγατέρα ἐγήματο, καὶ Δάρδανον ἔκτισε πόλιν ἐπὶ τῷ ἰδίῳ ὀνόματι. Τελευτήσαντος δὲ Τεύκρου, καὶ τινὶ χώραν ἅπασαν Δαρδανίαν ἐκάλεσεν. (Ἀπολλόδ. ἔνθ: ἀνωτ: Ὅρα δὲ καὶ τὸν Ἀλικαρν. Διονύσ. ἐν τοῖς περὶ τῆς Ῥωμ. Ἀρχαιότ.)

Στίχ: 181. ΑΥΣΟΝΙΌΥΣ . . . . . Τῆς Αὐσονίας καὶ Ἀπολλόδωρος μνημονεύει (Βιβλ: Α. Κεφ Θ.) Ἡ δὲ μέρος μὲν ἦν Ἰταλίας τὸ πρῶτον, τῆς ὅλης ὕστερον ἅπασ' ὀνομασθείσης ὑπὸ Αὐσονος, τοῦ Ὀδυσσεῖ μὲν γεγονότος ἐκ τῆς Κίρκης, ἢ ἄλλως ἐκ Καλυψοῦς τῆς Ἄτλαντι ἀφ' ἧς καὶ τὸ Σικελικὸν πέλαγος Αὐσόνιον ἐκλήθη. (Εὐσάθ. ἐν τοῖς εἰς Διον. τὸν Περιηγ. ὑπομν.)

Στίχ: Αὐτ: . . . . . ΖΕΥΣ ΓΑΡ ΔΙΚΤΗΣ κτ: Ἐγγὺς τῆς Ἰδης ἰοῦ ἐπὶ τῆς Κρήτης ἡ Δίκτη, ἢ καὶ Δίκτος εἴρηται παρὰ Ἀράτῳ: „Δίκτῳ ἐν εὐώδει ὄρεος κεδὸν Ἰδαίοιο: Ἥνδε καὶ ἄντρον τὸ Δικταῖον ἐν τῷ ὄρει, ἢ τοῦ Διὸς γεννηθέντος ἀποκρυβῆ. (περὶ οὗ ἀνωτ: στίχ. 118.) Ἐπὶ δὲ τοῦ ὄρους αὐτοῦ καὶ ἡ βοτάνη τὸ Δίκταμνον, ἢ Δίκταμον, ἡ κατὰ Διοσκορίδην (Βιβλ: Γ. Κεφ: ΚΖ.) Κρητικὴ πόα, κατὰ δὲ Θεόφραστον (περὶ Φυτ: Βιβλ: Θ'. Κεφ: Ιϛ'.) ἴδιον τῆς Κρήτης φυτὸν, ὡς μηδὲ ἀλλαχοῦ, ἢ ἐν Κρήτῃ φυόμενον, ὡς καὶ Πλίνιος φησὶν (Φυσ' Ἱστορ. Βιβλ: Η. Κεφ: ΚΖ.) Δρασήριος δὲ ἡ τοιάδε βοτάνη λέγεται, τὰ ἐκ σιδήρου τραύματα ἐξιᾶσθαι· ἐμφερὴς δὲ ἐστὶ τῇ ἀγρίᾳ Γλήχωνι.

Στίχ: 182. ΤΟΙΑΙΣ Δ' ΕΜΦΑΣΕΣΙΝ ΤΕ κτ: Καὶ γάρτοι καὶ ὀφθαλμοῖς ἐθεάσατο, ἥτε ὀμφὴ ἔναυλος τοῖς ὠσὶν αὐτοῦ ἔτι ἐνήχει.

Στίχ: 183. (ΟΥΔ' ΥΠΝΟΣ ΤΟΔ' ΕΗΝ κτ: Ἦν ἄρα ὕπαρ Αἰνεία τὰ ὁραθέντα τε καὶ ἀκουσθέντα, ἐκ ὄναρ· ὄψις γὰρ ἰοῦ ἐναργὴς, καὶ ἐχὶ κενήτις φαντασία τῶν ἀνατυπωμένων καθ' ὕπνους. Ἄρσις γὰρ τὸ μὲν ὕπαρ ὕπνε, τὸ

Poſtquam altum tenuere rates, nec jam amplius ullæ
Apparent terræ; cœlum undique, & undique pontus:
Tum mihi cœruleus ſupra caput adſtitit imber,
Noctem, hyememque ferens, & inhorruit unda tenebris.
Continuo venti volvunt mare, magnaque ſurgunt
Aequora: diſperſi jactamur gurgite vaſto.
Involvêre diem nimbi, & nox humida cœlum
Abſtulit; ingeminant abruptis nubibus ignes.
Excutimur curſu, & cœcis erramus in undis.
Ipſe diem, noctemque negat diſcernere cœlo;
Nec meminiſſe viæ mediâ Palinurus in unda.
Tres adeò incertos cœca caligine ſoles
Erramus pelago, totidem ſine ſidere noctes.
Quarto terra die primùm ſe attollere tandem
Viſa, aperire procul montes, ac volvere fumum.
Vela cadunt: remis inſurgimus; haud mora, nautæ
Adnixi torquent ſpumas, & cærula verrunt.
Servatum ex undis Strophadum me littora primum
Accipiunt. Strophades Grajo ſtant nomine dictæ
Inſulæ Ionio in magno: quas dira Celæno,
Harpyjæque colunt aliæ: Phineïa poſtquam
Clauſa domus, menſaſque metu liquere priores.
Triſtius haud illis monſtrum, nec ſævior ulla
Peſtis, & ira Deûm Stygiis ſeſe extulit undis.
Virginei volucrum vultus, fœdiſſima ventris
Proluvies, uncæque manus, & pallida ſemper

Ora

❋ ❋ ❋

δ' ὄναρ ὄντος. Ταῦτα δ' ἀπ' ἀλλήλων καὶ καὶ Ὅμηρος σαφῶς διαξέλει· Ὀδυσ. Τ. 547.

„Οὐκ ὄναρ, ἀλλ' ὕπαρ ἐθλὸν, ὅ τοι τετελεσμένον ἔσαι.

Καὶ Ὀδυσ: Τ. 89.

„. . . . . αὐτὰρ ἐμὸν κῆρ
„Χαῖρ', ἐπεὶ ἐκ ἐφάμιλω ὄναρ ἔμμεναι, ἀλλ ὕπαρ ἤδη.

Ὅρα Ἐυσάθ: ἐν ταῖς Παρεκβολαῖς, Σελ: 1876.

Στίχ: 186. ΔΕΜΝΙΑ ΕΓΡΟΜΕΝΟΣ ΛΙΠΟΝ. Οὐ φησιν ἐξεγερόμενος τῷ ὕπνῳ, ὡς ἐξυπνισθεὶς, ἀ γὰρ ἐκάθευδεν· ἐπεὶ ἐδ' ὄναρ ἰῶ, ἀλλ ὕπαρ.

Στίχ: 190. ΑΜΦΙΒΟΛΟΝ ΦΥΤΑΗΝ . . . . . ΔΙΞΟΥΣ ΤΕ ΓΕΝΗΤΑΣ. Οὐκεν καθ' αὐτὶω ἀβεβαίαν ἔσαν, τῶν δὲ δισσῶν ἕνεκα προγόνων, Δαρδάνα τε καὶ Τεύκρα, τὸν γηραιὸν Ἀγχίσιω παρακρέσασαν, μηδόλως μὲν τῇ προτέρα τὸν νέον γενεᾶ προχόντα, ἐπιμνηθέντα δὲ μόνης τῆς ὕστερον.

Στίχ: 194 ΚΟΥΡΗ ΚΑΣΣΑΝΔΡΗ. Ὅρα μοι καὶ ταῦθα τῶν Κασσάνδρας χρησμολογημάτων τὸ ἄχρηστον, τῆς διὰ τὶω Ἀπόλλωνος μῆνιν, μηδαμῶς πιστευομένης ἐφ' οἷς θεσπιωδήσειε. (Β. Αἰν. 263.) ὃ καὶ μικρὸν κατωτέρω προσίθεται. (στιχ. 198.)

„. . . . . ἦ τίνα κεν Κασσάνδρη πείσατο θέσπις;

Στίχ: 201. ΚΑΙ ΤΗΝ Δ' ΩΣΑΥΤΩΣ κτ: Καθάπερ καὶ Τροίας τὸ πρῶτον, καὶ τῆς ἐπὶ Θράκης Αἴνε τὸ δεύτερον ὑπεξελθεῖν ἠναγκάσθημεν. Εὖ δὲ παρενετέθη τὸ (παρα παύρους) εἰκὸς γὰρ καί τινας ἐξ αὐτῶν διὰ τὸν ἐπισκήψαντα λοιμὸν τῇ χώρᾳ ὕστως ἀθενῶς ἐχηκέναι, ὡς μηδὲ δυνηθῆναι, καὶ πάνυ βελομένες, τοῖς λοιποῖς συνεκπλεύσαθαι.

Στίχ:

Δέμνια ἐγρόμενος λίπον· ὕψι δ' ἐς ἠρανὸν ἄμφω
Χεῖρε τε, καὶ φωνῶ τε ἀνέχον· πρὸς δ' ἔτι λοιβὰς
Ἰσίῃ ἀγνὰς πέμπον· ἔπειτα Θεοῖσι τελέσσας,
Γηθοσύνως δήλησεν Ἀγχίσῃ πάντ' ἀγορεύων·
Ἀμφίβολον Φύτλιῶ· ὁ δ' ἔγνω, διξάς τε γενήτας,
Ὅττι τε ἀρχαίων αὐτὸς κατὰ λήθετο χώρων·
Εἶτ' ἐμνήσθη· Ὦ τέκος, Ἰλιακὰς διὰ μοίρας
Πολλὰ σὺ τλὰς· μύνῃ μοι τοιάδε ἄλγε, ἄειδε
Κύρῃ Κασσάνδρῃ· νῶϊ δ' ἄρ πεμπάξομαι ὧδε
Ταῦθ' ἡμῶν γενεῇ πεπρωμένα τιώδε προφῆναι.
Δηθά δε Ἑσπερίης καλέσαι κράτος, Ἰταλίης τε.
Ἀλλὰ τὶς Ἑσπερίης πίσευσ' ἀκτὰς ποτε Τεύκρως
Ἴξεσθ', ἢ τίνα κεν Κασσάνδρη πίσατο θέσπις;
Φοίβῳ πειθώμεθα· δαέντες ἐλώμεθ' ἀμείνω.
Ὡς φάτο· καὶ πάντες φαιδροὶ δὲ πεπείσμεθα μύθῳ.
Καὶ τιὼ δ' ὡσαύτως, παρὰ παύρως, λάπομεν ἔδρίω,
Ἰσία τ' ἠράμεθ', ἐυρὺ θέοντες λαῖτμα θαλάσσης.
Ὡς δ' ἄρ νῆες ἀνῆχθεν ἀφ' ὅρμων, ἐδέποθεν δὲ
Φαίνετο γαῖα τις, ἀλλ' ἢ ὀυρανὸς, ἠδὲ θάλασσα,
Δὴ τότε κυάνεον νέφος, αἶψ' ἐπὶ κάρ μοι ἐπέσῃ·
Νύκτα τε, χεῖμα τ' ἄγον· δεινὴ δ' ἀχλὺς λάβε πόντον.
Καὶ ῥὰ ἀῆται κῦμα κυλίνδων, ὄιδμα δ' ἁλός περ
Ἤρετο· οἱ δ' ἄρα ἐν δίναις κιδνήμεθ' ἀπείροις.
Ἤμαρ δ' ἐξοφόωτο νέφεσσιν, νύξ δὲ νοτηρὴ
Αἰθέρα κεῦθεν, ἀτὰρ πῦρ κραιπνὰ νεφῶν ἀπερώγει·
Τοὶ γὰρ τὰ πλόα ἐκ κεκρύσμεθα, ἐν ἁλαοῖσι
Κύμασ' ἀλήμενοι· οὐδ' ἀναπρινέμεν ἠρανόθεν περ
Ἤμαρ ἀπ' ἐκ νυκτὸς, φάσκ' ἠδ' αὐτὸς Παλινῆρος,
Οὐδ' ἄρα ἐν μέσσοις, ῥοθίοις μεμνῆθαι ὁδοῖο.
Τὼς τρισὶν ἠελίοις αἰθήλοις τυφλῆθ' ὁμίχλῃ,



❁ ❁ ❁

Στίχ: 204. ΦΑΊΝΕΤΟ ΓΑΪΑ ΤΙΣ . . . . . Ὅμοιον τὸ Θεοκρίτε περὶ τῆς Ταυροσκύλε Εὐρώπης, ἐν Εἰδυλ: Κ'.

„Ἀλλ' ἀὴρ μὲν ὕπερθεν, ἔνερθε δὲ πόντος ἀπείρων.

Στίχ: 213. . . . . ΟΥΔ' ΑΥΤΟΣ ΠΑΛΙΝΟΥΡΟΣ κτ: Τῇ ἐν τῶ (αὐτὸς) πρόσχες ἐμφάσει. Οὐδ', αὐτὸς γάρ, φησὶν, ὁ ἐκ πολλῆς παρατηρήσεως τε καὶ πείρας, τὰς διὰ πόντε κελεύθες, καὶ διαξάσεις, πολλῷ ἑαυτῷ σωφιλοχωρτίῳ ἔξιν τὲ διακρίνειν, ἀδ' αὐτὸς διορᾶν εἶχε καὶ εἰδέναι, ὅποι ποτὲ ἄρα πλαζοίμεθα· ἀδὲ τῆς ὁλῆς, ἤτοι τὲ πλὲ διέσωζε τινὰ μνήμ'ω. Ὁ δὲ Παλινῆρος ἦτος ἦν Ἰασίε, τῆς νηὸς Κυβερνήτης, ἐφ ἧς Αἰνείας ἦν ἐπιβάς· ἐξ οὗ ἐν τῶ ἀπὸ Σικελίας εἰς Ἰταλίαν διάπλω ὕστερον, εἰς θάλασσαν ἐκπεσόντος, τὸ ἐν Λευκανίᾳ ὄρος, διαπεφήμιται.

Στίχ: 217. ΧΘΩΝΌΝ ΔΕ' ΤΕΤΑΡΤΑΪΩι ΛΙΓΡΕΣΘ'. . . Πόρρωθεν Αἰνείᾳ καταγομένῳ εἰκὸς ἦν ἀπὸ τῶν ἐπὶ τῆς νηὸς ὁραθαι τὰς ἀκτὰς κατὰ βραχὺ αἰρομένας, καὶ τὰ ὄρη διανοιγόμενα, καὶ καπνόν τινα ἐξ αὐτῶν ἀνελισσόμενον. Ὀδυσσεὺς δὲ παρ' Ὁμήρῳ ἐκ ναυαγίε ἐκνυβιτήσας εἰς θάλασσαν καὶ διανηχόμενος, ἄλλως μέν πως, πάνυ δ' ἐν καὶ οὗτος εἰκότως πεποίηται. Ὀδυσ. Ε'. 390.

„Ἀλλ'

Ora fame.
Huc ubi delati portus intravimus, ecce
Læta boum paſſim campis armenta videmus,
Caprigenumque pecus, nullo cuſtode, per herbam.
Irruimus ferro, & Divos, ipſumque vocamus
In prædam partemque Jovem. Tunc littore curvo
Extruimuſque toros, dapibuſque epulamur opimis.
At ſubitæ horrifico lapſu de montibus adſunt
Harpyjæ, & magnis quatiunt clangoribus alas;
Diripiuntque dapes, contactuque omnia fœdant
Immundo: tum vox tetrum dira inter odorem.
Rurſum in feceſſu longo ſub rupe cavatâ,
Arboribus clauſi circum, atque horrentibus umbris,
Inſtruimus menſas, ariſque reponimus ignem.
Rurſum ex diverſo cœli, cœciſque latebris,
Turba ſonans prædam pedibus circumvolat uncis;
Polluit ore dapes. Sociis tunc arma capeſſant
Edico, & dirâ bellum cum gente gerendum.

Haud

❁ ❁ ❁

„Ἀλλ' ὅτε δὴ τρίτον ἦμαρ ἐϋπλόκαμος τέλεσ' ἠὼς
„Καὶ τότ' ἔπειτ' ἄνεμος μὲν ἐπάυσατο, πᾶσα γαλήνη
„Ἔπλετο νηνεμίη· ὁ δ' ἄρα κεδὸν εἴσιδε γαῖαν,
„Ὀξὺ μάλα προϊδών, μεγάλῳ ὑπὸ κύματος ἀρθείς.

Τί οὖν ὁ Σχολιαστὴς Κέρδης τῇ παραθέσει, τὸν Μάρωνα, ὡς compte & graviter (κοσμίως τε καὶ σεμνῶς) εἰρηκότα ἐπαινῶν, quæ Homerus multis; περιττὸν δὲ ἀφαιρός τι ὧδε ὑπὸ Ὁμήρου εἰρῆσθαι, ἔφησεν; Ἀλλὰ γὰρ αὐτὸς διατείνομαι, ὅτι ἐφ' οἷς Ὅμηρος εἶχε περισάσειν Ὀδυσσέα, ἀδὲν εἶχε ποῆσαι ἄμεινον. Τὸ γὰρ (μεγάλῳ ὑπὸ κύματος ἀρθεὶς, κεδὸν εἴσιδε γαῖαν·) Οὐδέν τι ἧττον εἰς λόγον ἀκριβῆς εἰκόνος ἐντεῦθα ἐπὶ τῆς Ὀδυσσέως μετὰ τὸ ναυάγιον διανήξεος, τῷ ἐκεῖ πόρρωθεν αἴρεσθαι δόξαι τοῖς γλιῶ ὁρᾶν ἀρχομένοις, καὶ τὰ ὄρη κατὰ μικρὸν διανοίγεσθαι, καὶ καπνὸν ἐλίσσεσθαι τὸν ἀναφερόμενον. Καί τοι γε ἐν ἄλλοις, ἔνθα δὴ, καὶ ὡς ἔδει, καὶ αὐτὸς Ὅμηρος τὸν καπνὸν ὑπέγραψεν ἀποθρώσκοντα ὁραθιῶαι, τοῖς ἀμφὶ τὸν Λαέρτε παρὰ τὸν Λαιεργόνας ἐρμιζομένοις. (Ὀδυσ. Κ. 99.) ποιῶν λέγοντας:

„Καπνὸν δ' οἷον ὁρῶμεν ἀπὸ χθονὸς αἰσσοντα.

Καὶ πάλιν αὐτὸν Ὀδυσσέα: (Αυτ: στίχ. 149.)

„Καίμοι ἐείσατο καπνὸς ἀπὸ χθονὸς εὐρυοδείης.

Στίχ: 222. . . ΣΤΡΟΦΑ΄ΔΕΣ ΚΑΛΕ΄ΟΝΤΑΙ, Νησίδες δύο αὗται εἰσὶν ἀπέχουσαι Ζακυνθου πρὸς Εὖρον ἄνεμον, σταδίους ὡσεὶ διακοσίους ὀγδώκοντα. (Πλίν: Φυσ. Ἱστορ. Βιβλ. Δ. Κεφ. ΙΒ. καὶ Στράβ. βιβλ. Η. Γεωγρ.) Ἐλέγοντο δὲ πάλαι μὲν αἱ Νῆσοι αὗται πλωταὶ, θαμαλαί τε οὖσαι καὶ οἷαι τῇ θαλάσσῃ ἐπινήχεσθαι δοκεῖν πόρρωθεν ἐποπτανόμεναι. Ἐξ ὧν καὶ Στροφάδες τυχὸν ἐκλήθησαν, ὅτι κύκλῳ στρέφεσθαι ἐπισεύοντο. Ἄλλως γε μὴν Στροφάδες εἰρῆνται, φασὶν, ὅτι τὰς Ἁρπυίας οἱ Βορέου παῖδες, ἄχρι τῶν Ἐχινάδων Νήσων διώκοντες, εἶτα ἐνωμότας καταλιπόντες αὐτὰς, τῷ Φινεῖ μηκέτι ἕξῆς ἐπηρεάσειν, ἐκεῖθεν ἀνέκαμψαν ἐπιστρέψαντες, ὅθεν Στροφάδας τὰς Νήσους ἔδωκαν ὀνομάζεσθαι. Οὕτω γὰρ Ἀπολλώνιος ἐν τοῖς Ἀργοναυτ. Βιβλ. Β: στίχ. 295.

„Οἱ δ' ὄρκῳ εἵξαντες, ἐπέστρεφον ἄψ ἐπὶ νῆα
„Σεύεσθαι. Στροφάδας δὲ μετακλείουσ' ἄνθρωποι
„Νήσους τοῖο γ' ἕκητι, πάρος Πλωτὰς καλέοντες.

Στιχ:

Πλαζόμεθ' ἐν πελάγει τρισὶ δ' αὖτως νυξὶν ἀνάγροις.
Χθὼν δὲ τεταρταίῳ ἄρεθ' ἑνὶ ἤματι δόξεν·
Οὖρέ ἀπ' ἀλλήλων διέχειν καπνόν τ' ἀνελίσσειν.
Ἱσία γοῦν πετάνυστο, ἐρετμοῖς ῥίμφα δὲ ναῦται
Ἀφρὸν ἐρηρέδαται στροφάαν, καὶ κύματα σαίρειν.
Καὶ δὴ μ' ἐκ ῥοθίων σῶν πρῶται Στρωφάδες ἀκταὶ
Δειδέχαται· παὶ δὲ Γραικοῖς Στροφάδες καλέονται,
Νησίδες Ἰονίοιο θαλάσσης, τὰς ῥὰ Κελαινὼ,
Ἅρπυιαί θ' ἕτεραι ναίουσι, Φινῆϊον ὄφρα
Κλείθη δῶμα, δέει προτέρας δ' ἀπέλειπον δαῖτας.
Τῶν δ' οὐδέν τι γένοιτο πέλωρ συγερώτερον ἄλλο,

Οὐδὲ

❁ ❁ ❁

Στίχ: 233. ΝΗΣΙΔΕΣ ΙΟΝΙΟΙΟ ΘΑΛΑΣΣΗΣ. . . Τὸν Ἰόνιον δὲ πόντον μέγαν ὁ Μάρων εἶπεν: (Insulæ jonio in magno,) διὰ τὸ ἐν αὐτῷ μερικώτερα ἄλλα „πελάγη ἐμπεριέχεσθαι, οἷον τὸ Ἀχαϊκὸν, τὸ Ἠπειρωτικὸν, τὸ Ἀδριατικόν· „Λέγεσι δὲ τινες καὶ τὸ ἀπὸ Γάζης μέχρις Αἰγύπτε πέλαγος Ἰόνιον λέ„γεσθαι· (Στέφ: Βυζ.) κληθῆναι δὲ, ἀπὸ Ἰοῦς τῆς Ἰνάχε διανηξαμένης δι' αὐτῆ. (Ἀπολλόδ. Βιβλ. Β Κεφ. Α'.) Οἱ δὲ ἀπὸ Ἰλυριᾶ ἢ ἀπὸ Ἴονος τῆ πάντων Ἑλλήνων Ἀρχιγενέτου. Ὅρα καὶ Εὐσάθ. ἐν τοῖς εἰς τὸν Περιηγητὴν αὐτῆ Σημειώμασιν.

Στίχ: 223. . . ΤΑΣ ΡΑ ΚΕΛΑΙΝΩ,
224. ΑΡΠΥΙΑΙ Θ' ΕΤΕΡΑΙ ΝΑΙΟΥΣΙ, Η ἐν Ἅρπυίαις πρωτεύουσα Κελαινὼ ἐκαλεῖτο, ὡς αὐτῇ τὸ πρεσβεῖον ἀπονέμεται κατωτέρω. (στίχ. 268.) Αἱ δὲ Ἅρπυιαι θυγατέρες γενέσθαι μυθεύονται Θάυμαντος καὶ Ἠλέκτρας τῆς Ὠκεανῆ, ἤ ὡς ἄλλοι, Ποσειδῶνος καὶ Γῆς. (Ἀπολλόδ. Βιβλ: Α. Κεφ: Β.) περὶ ὧν καὶ Ἡσίοδος Θεογον. στίχ. 265. Τέτων ἀριθμὸς ἄλλος παῤ ἄλλοις· ὀνόματα δὲ φερόμενα: Ἶρις, Κελαινὼ, Νικοθόη, Ἀελλὼ, ἢ Ἀελλόπες, Ὠκυπέτη, Ὠκυθόη, Ὠκυπόδη, Ποδάργη. Τὸ δ' εἶδος αὐταῖς ὀπῖαι κόραι παρθενικαὶ τὰ ἄνω, τὰ δ' ἔνερθεν ἀλλόκοτοι καὶ παράμορφοι· πτερωταὶ γὰρ, χερσί τε καὶ ποσὶ γαμψώνυχες, ἁρπακτικαὶ, θρασεῖαι, ἀσελγεῖς, γαστρίμαργοι, ἀκόρεστοι δὲ γαστριζεσθαι καὶ ἄπληστοι· τάς τε κοιλίας ἐκ τῆς ἄγαν πλησμονῆς διαῤῥέουσαι, βδελυρώταται, οἷας ἐφεξῆς ὁ ἡμέτερος ὑπογράφει.

Στίχ: 224. . . . ΦΙΝΗΪΟΝ ΟΦΡΑ, Τὰ περὶ τῦ Φινέως ὧδ ἔχει, ἐκ τῆς Ἀπολ„λοδώρε βιβλιοθήκης· (Βιβλ. Α'. Κεφ: Θ'.) Κατὰ τὸν ἐπὶ Θράκης Σαλμυ„δησσὸν Φινεύς ᾤκει ὁ Μάντις, τὰς ὄψεις πεπηρωμένος· ἔν οἱ μὲν Ἀγήνο„ρος εἶναι λέγεσιν, οἱ δὲ Ποσειδῶνος υἱόν· καὶ πηρωθῆναι φασὶν αὐτὸν οἱ „μὲν ὑπὸ Θεῶν, ὅτι προὔλεγε τοῖς ἀνθρώποις τὰ μέλλοντα, οἱ δὲ ὑπὸ Βορέε „καὶ τῶν Ἀργοναυτῶν, ὅτι πειθεὶς μητρυιᾷ, τὰς ἰδίας ἐτύφλωσε παῖδας. „Τινὲς δὲ ὑπὸ Ποσειδῶνος, ὅτι τοῖς Φρίξε παισὶ τὸν ἐκ Κόλχων εἰς „τὸν Ἑλλάδα πλῶν ἐμιῶνσεν. Ἔπεμψαν δὲ αὐτῷ καὶ τὰς Ἅρπυίας οἱ „Θεοὶ· πτερωταὶ δὲ ἦσαν αὗται· καὶ ἐπειδὰν τῷ Φινεῖ παρετίθετο τρά„πεζα, ἐξ ἀρανῆ καθιπτάμεναι, τὰ μὲν πλείονα ἀνήρπαζον, ὀλίγα „δὲ ὅσα ὀσμῆς ἀνάπλεω κατέλειπον, ὥσε μὴ δυνάσθαι προσενέγκασθαι. „Βουλομένοις δὲ τοῖς Ἀργοναύταις τὰ περὶ τῦ πλῦ μαθεῖν, ὑποδήσεσθαι „τὸν πλῶν ἔφη, τῶν Ἁρπυιῶν αὐτὸν ἐὰν ἀπαλλάξωσιν. Οἱ δὲ παρέθεσαν „αὐτῷ τράπεζαν ἐδεσμάτων. Ἅρπυιαι δὲ ἐξαίφνης σὺν βοῇ καταπτᾶσαι „τὴν τροφὴν ἥρπαζον. Θεασάμενοι δὲ οἱ Βορέε παῖδες, Ζήτης καὶ Κάλαϊς, „ὄντες πτερωτοὶ, διασάμενοι τὰ ξίφη δι' ἀέρος ἐδίωκον. (Ἄχρι τῶν Νησίδων Στροφάδων ὡς εἴρηται. (Ἀνωτ: στίχ. 222.) Ὁ δὲ μῦθος ὑπὸ Ἀπολλωνίε ἐν τοῖς Ἀργοναυτικοῖς Βιβλ. Β'. ἐς πλάτος διεξεραψώδηται.

Στίχ: 236. ΣΥΝ ΤΕ ΘΕΟΙΣΙ ΖΗΝΑ ΤΕ κτ. Τὸ γὰρ καὶ τὰς Θεὰς τῆς λείας ποιεῖσθαι μετόχες, πάλαι νομιζόμενον ἦν καὶ παρὰ Ῥωμαίοις, φησὶ Σέρβιος·

Haud ſecus, ac juſſi faciunt, tectoſque per herbam
Diſponunt enſes, & ſcuta latentia condunt.
Ergo, ubi delapſæ ſonitum per curva dedere
Littora, dat ſignum ſpeculâ Miſenus ab altâ
Ære cavo. Invadunt ſocii, & nova prælia tentant,
Obſcœnas pelagi ferro fœdare volucres.
Sed neque vim plumis ullam, nec vulnera tergo
Accipiunt, celerique fugâ ſub ſidera lapſæ,
Semeſam prædam, & veſtigia fœda relinquunt.
Una in præcelſa conſedit rupe Celæno,
Infelix vates, rupitque hanc pectore vocem:
Bellum etiam pro cæde boum, ſtratiſque juvencis,
Laomedontiadæ, bellumne inferre paratis?
Et patrio inſontes Harpyias pellere regno,
Accipite ergo animis, atque hæc mea figite dicta:
Quæ Phœbo pater omnipotens, mihi Phœbus Apollo
Prædixit, vobis furiarum ego maxima pando.
Italiam curſu petitis: ventiſque vocatis,
Ibitis Italiam, portuſque intrare licebit:
Sed non ante datam cingetis mœnibus urbem,
Quàm vos dira fames, noſtraſque injuria cædis,
Ambeſas ſubigat malis abſumere menſas.
Dixit; et in ſylvam pennis ablata refugit.
At ſociis ſubitâ gelidus formidine ſanguis
Diriguit: cecidere animi; nec jam amplius armis,
Sed votis precibusque jubent expoſcere pacem;
Sive Deæ, ſeu ſint diræ, obſcœnæque volucres.
At pater Anchiſes, paſſis de littore palmis,

Numina

❁ ❁ ❁

παξ οἷς καὶ Διὸς ἵδρυτο ἱερὸν Λητῷος, ἐν ᾧ τῆς λητίδος τὸ μέρος προσενεχθὲν ἀπετίθετο.

Στίχ. 239. ΑΙ῎ΨΑ ΔΕ῎ ΦΡΙΚΑΛΕΗ῾ ᾽ΟΡΕΏΝ ᾽ΕΚΠΙΤΉΣΙ κτ. Ο῾ μὲν ᾽Απολλόδωρος (ἀνωτ. στίχ. 224.) σὺν βοῇ τὰς Ἅρπυιας ἐξ ὑψηλῆς καθιπταμένας κατῆγεν. Ο῾ δὲ ᾽Απολλώνιος (Ἀργοναυτ. Β. στίχ. 261.) ἐκ τῶν νεφελῶν καταφερομένας ἐποίει, σκηπτῷ δίκην· ὧν καὶ σωμάτα, φησὶ, τῷ ἐκ τῶν πτερύγων πατάγῳ, καὶ ὀρνεώδης οἷον κλαγγήτις αὐτῶν ἐξηκούετο.

„. . . . . ἠΰτε θέλγα ἀδευκέες
„Ἀπρόφατοι, νεφέων ἐξάλμεναι ἐσσεύοντο
„Κλαγγῇ μαιμώωσαι ἐδητύος. . . . .

᾽Ουιργίλιος δ᾽ ἐνταῦθα, πρῶτον κλαγγηδὸν ἀπ᾽ ὀρέων κατασκηπτέσας, ἔπειτα δὲ καὶ ἀλλαχόθεν διὰ κευθμώνων ἀϊδήλων εἰς μέσον παριούσας ἐποίησεν.

Στίχ: 241. ῞ΟΨΑ Γ᾽ ᾽ΑΦΗ῾ΡΠΑΖΌΝ ΤΕ, ΜΙ῎ΑΙΝΌΝ ΤΕ ᾽ΑΦΑΙ῏Σ ᾽ΑΚΑΘΆΡΤΟΙΣ. ᾽Απολλόδωρος: τὰ μὲν πλείονα ἀνήρπαζον, ὀλίγα δὲ ὅσα ὀσμῆς ἀνάπλεα κατέλειπον. ᾽Απολλώνιος δὲ ᾽Αυτ. στίχ. 188.

„῞Αρπυιαι στόματος, χειρῶν τ᾽ ἀπὸ γαμφυλῇσι
„Σιωεχέως ἥρπαζον. . . . . .
„. . . . . .
„Καὶ δ᾽ ἐπὶ μυδαλέῳ ὀδμὴν χέον. . . .

Στίχ:

Οὐδέ νυ λοιμῷ τῷδ' ἐπὶ γῆς ὀλοώτερος ὤφθη,
Ὅς ῥὰ Θεῶν κε χόλῳ ϛυγὸς ἐκ κύψειε ῥεέθρων.
Εἶδος παρθενικὸν ταῖς δὲ πτηνῇσιν ἐέσσας,
Γαϛρὸς τ' ἐμμιάροιο ἄοιϛος χεύματος ὁδμὴ
Καὶ χέρ γαμψώνυξ, καὶ λιμῷ ὠχρος ἐν ὄψει.
Ἔνθ' ἐπεὶ ἀχθέντες λιμένος δὴ κέλσαμεν ἐντὸς,
Ἠνὶ βοῶν ἀγέλας ἐϋθρέπτας πάντοσ' ὁρῶμεν,
Αἰγῶν τ' ἐν ποίῃσ' ἀφυλάκτως βοσκομενάων.
Καὶ ῥὰ σιδήρῳ τῶν γε κατορνύμεθ' ἐυχόμενοίπερ
Σιῷ τε Θεοῖσι, Ζῆνα τε, ληΐδος ἔμμορον ἔξειν.
Εἶτα δέ τοι ϛιβάδας καμπτῇσιν ἐνασσάμεθ' ἀκταῖς,
Χεῖρας δ' ἐμμεμάαμεν ἐπ' εἴδασι πίσσ' ἰάλλειν.
Αἶψα δὲ Φρικαλέῃ ὀρέων ἐκπτήσι παρ' ἔσσαν
Ἅρπυιαι μεγάλαις πτέρυγας κλαγγαῖσι ϸραδῶσαι,
Ὄψα γ' ἀφήρπαϛόν τε, μίαινόν τε ἀφαῖς ἀκαθάρτοις.
Ὀδμὴ μυδαλέη σιὼ δ' αἰνὸς μῖκτο ἰύγμὸς.
Καὶ ῥὰ μυχὸν δ' αὖθις μακρὸν γλαφυρῇ ὑπὸ πέτρῃ,
Δένδρεσι ϕραττόμενοι κύκλῳ πυκνὸν σκιαροῖσιν,
Πορσιώαντες δαῖτας ἀνήψαμενάυθ' ἔτι βωμὸς·
Αἱ δ' αὖ ἀλλαχόθεν διὰ κευθμώνων ἀϊδήλων,
Ἀθρόαι ἠχεῦσαι περὶ ληΐδα ἀμπεποτῶντο.
Ποσσὶ δὲ γαμψονύχοις, ϛομάτεσσί τε, ὄψα μίαινον.
Τῆμος ἐγὼ δ' ἑτάροις ὅπλ' ἄρ κελόμιλω χερίζειν,
Ἴφι δὲ τῷδε γένει ἐπαρήτῳ δηριάασθαι.
Οἱ δ' ἐτέλων πρόκα, ὡς τὸ κέλευθεν· ὑπαὶ δ' ἄρα ποίλω
Εὖ μάλα κατθέμενοι θυρεὸς τε, καὶ ἄορα κεῦθον.
Ὅϕρα δ' αἳ ἀκτὰς πτάντο ϑροῦσαι καμπυλοέσσας,
Τόϕρ' ἀπὸ αἰπεινῆς σκοπιῆς Μισηνος ἐδήλω,
Σημαίνων χαλκῷ διὰ κόιλω· αἶψα δ' ἑταῖροι
Ταῖς δ' ἐπόρουον· ἀτὰρ τ' ἐν ἀήθει δηϊοτῆτι

## Η 2 Ορνεα

❁ ❁ ❁

Στίχ: 252. . . . . ΘΥΡΕΟΥ̓Σ ΤΕ ΚΑΙ ΎΑΟΡΑ ΚΕΥ̓ΘΟΝ. Τὶ ὅτι δ' ἔκευθον; Ἢ τοι γὰρ ἐ δεδίεσαν αἱ Ἅρπυιαι καὶ ἐν ὅπλοις αὐτὰς ὁρῶσαι, ἀπαθεῖς τε ἔσαι καὶ ἄτρωτοι, ὡς ἐγγὺς κατωτέρω (στίχ. 258.) λέγεται, καὶ περιττὸν ἦν ἄρα τὰ ὅπλα κεύθειν· ἢ τῷ δέει τῆς ὁπλίσεως ἀπεργόμεναι, ἀνεπηρεάσες ἂν ἔτω αἰτεῖθαι ἔασαν. Ἀλλὰ γὰρ κρείσσονας αὐτὰς τῷ παθεῖν· οἱ ἀμφὶ Αἰνείαν ἐκ ὤοντο· ἐπεὶ δὲ καὶ πόῤῥωθεν ταῖς ἐξ ἐκείνων βδελυρωτάταις ἀποῤῥοίαις τὰς τροφὰς σφίσιν ἑώρων μιαινομένας, ἐνδεᾶναι πως αὐταῖς τῇ ἐπικρύψει τῶν ὅπλων ὡς προσιέναι καταθαῤῥῆσαι διενοήθησαν, ἵν' ἔτως ἐγγύθεν ἀμυώνται.

Στίχ: 254. . . . . ΜΙΣἨΝΟΣ ΕΔἨΛΟΥ̓, Ἀυλητὴς ἦν ὁ Μισῆνος, υἱὸς Αἰόλω τῷ ἐπὶ τῶν ἀνέμων τεταγμένω. Εὔδηλον δὲ, ϕησὶ Σέρβιος, ὅτι ἀνέμω δίχα, τετέϛιν ἀέρος, ἐκ ἄν ποτέ τις ἐξήχησις γένοιτο.

Στίχ: 256. . . . . ΈΝ ΑἨΘΕΙ ΔΗἸΟΤἨΤΙ. Καινὰς δήρεις, ἤτοι νέας, Nova prœlia: ὁ Μάρων ὠνόμασεν· ὁ δὲ Σχολιαϛὴς αὐτῷ, ἐκ ἔϛι καινὰ, λέγων, ὧν ἔϛιν ἔχειν προϋπάρξαν παράδειγμα, (οἷον ἦν τὸ Ἡρακλέες ἀγώνισμα κατὰ τῶν ἐπὶ τῷ Ἀρκαδικῷ ὄρες Στυμφαλίδων·) τὸ καινὰ καὶ νέα, mira

μεθερ-

Numina magna vocat, meritosque indicit honores.
Dii prohibete minas, Dii talem avertite casum:
Et placidi servate pios. Tum littore funem
Diripere, excussosque jubet laxare rudentes.
Tendunt vela Noti: fugimus spumantibus undis,
Quà cursum ventusque, gubernatorque vocabant.
Jam medio apparet fluctu nemorosa Zacynthos,
Dulichiumque, Sameque, et Neritos ardua saxis.
Effugimus scopulos Ithacæ, Laërtia regna,
Et terram altricem sævi execramur Ulyssis:
Mox et Leucatæ nimbosa cacumina montis,
Et formidatus nautis aperitur Apollo.
Hunc petimus fessi, et parvæ succedimus urbi:
Anchora de prora jacitur; stant littore puppes.
Ergo insperata tandem tellure potiti,
Lustramurque Jovi, votisque incendimus aras,
Actiaque Iliacis celebramus littore ludis.
Exercent patrias, oleo labente, palæstras
Nudati socii: juvat evasisse tot urbes
Argolicas, medioque fugam tenuisse per hostes.
Interea magnum Sol circumvolvitur annum;

Et

❋ ❋ ❋

μεθερμηνεύσας. ὡς ὄντα παράδοξα τὰ τοιάδε παλαίσματα ἐξεδέξατο· διὸ καὶ αὐτοὶ ξένιόν τε καὶ ἀήθη τιὼ θηριότητα τούτῳ ἀπεδώκαμεν.

Στίχ: 257. ΟΡΝΕΑ . . . . . ΠΟΝΤΙΑ . . . . . Τῶν μὲν γὰρ Θαύμαντος καὶ Ἠλέκτρας τῆς Ὠκεανέ, τῶν δὲ Ποσειδῶνος καὶ Γῆς θυγατέρας τὰς Ἁρπύιας γεγενεαλογηκότων, (στίχ. 224.) ἀμφιβίβας εἰκὸς αὐτὰς οἴεσθαι πεφυκέναι· μᾶλλον δὲ καὶ τριβίβας, εἰ ἔτος ἐστὶ φάναι, ἐκ τῆς καὶ τῶν πτερύγων χρήσεως.

Στίχ: 261. ΟΪΗ , . . . . ΚΕΛΑΙΝΩ, Ὡς ἐν ταῖς λοιπαῖς Ἁρπυίαις πρωτεύουσα (στίχ: 223.)

Στίχ: 262. ΜΑΝΤΙΣ ΛΕΥΓΑΛΕΗ, Δι' ἅπερ ἐφεξῆς, δεινά τε καὶ χαλεπὰ τοῖς ἀμφ' Αἰνείαν συμβαίνειν μέλλοντα προμαντεύσατο, ὥσπερ οὖν καὶ παρ' Ὁμήρῳ μάντις κακῶν ὁ Κάλχας ἦκεν ὑπὸ Ἀγαμέμνονος, (Α. Ἰλ: 106.) ὡς δῆθεν μηδέποτ' αὐτῷ προφιβάσας τὸ κρήγυον.

Στίχ: 264. ΛΑΟΜΕΔΟΝΤΙΑΔΑΙ, . . . . . Ὀνειδιστικώτερον αὐτὲς ἀπὸ Λαομέδοντος τὸ προπάτορος ἔδοξε προσειπεῖν, ὡς μηδ' ἐκείνῳ καλῶς ἐπὶ τούτῳ ἀκέοντος, ὅτι περὶ τὲς Θεὲς, Ποσειδῶνα τε δὴ καὶ Ἀπόλλωνα ἐκ εὐγνωμόνως ἐδὲ δικαίως ἠνέχθη.

Στίχ: 265. ΚΑΡΤΟΥΣ ΠΑΤΡΙΚΟΥ . . . . . Τὲ κατὰ κλῆρον δηλονότι πατρῴων αὐταῖς προσαικόντος, ἅτε δὴ ἐκ Ποσειδῶνος γεναμέναις, ἢ Θαύμαντος καὶ Ἠλέκτρας τῆς ἐξ Ὠκεανὲ καὶ Γῆς (στίχ. 224.)

Στίχ: 266. ΚΕΚΛΥΤΕ ΜΕΥ ΆΡΑ, ΚΑΙ ΦΡΕΣΙΝ ΥΜΕΤΕΡΗΣΙ ΒΑΛΕΣΘΕ, Ὁμηρικὴ ἡ φράσις: Ἰλ: Α. 297. καὶ πολλαχῆ.

» . . . . . Σὺ δ' ἐνὶ φρεσὶ βάλλεο σῇσι.

Στίχ: 268 . . . . . ΕΡΙΝΥΣ ΕΟΥΣΑ ΜΕΓΙΣΤΗ, Κρόνος ἀποτεμὼν τὰ αἰδοῖα τῆ πατρὸς εἰς τιὼ θάλασσαν ἀφῆκεν, ἐκ δὲ τῶν σταλαγμῶν τῆ ῥέοντος αἵματος Ἐριννύες ἐγένοντο, Ἀληκτὼ, Τισιφόνη, Μέγαιρα. (Ἀπολλόδ. Βιβλ: Α'. Κεφ: Α'.) περὶ δὴ τέτων ὅρα καὶ τοῖς Γεωργ. Βιβλ: Α'. 315. καὶ Δ. 582.) Ἀλλὰ γὰρ εἰσὶν οἳ καὶ τὰς Ἁρπυίας ταῖς Ἐρινῦσι συγκαταλέγεσιν, ὡς κἀνταῦθα ὁ Μάρων, τιὼ Κελαινῶ ἐν αὐταῖς πρωτεύειν κατα-

Ὄρνεα πειρώοντο σιδήρῳ πόντια χράυειν.
Αἱ δ' ἀπαθῆ πτίλα, καὶ γε ἀνάτατα δέρματ' ἔχεσκον.
Ῥίμφα δ' ἀποιχόμεναι δρασμῷ ὄξεϊ ὑπὸ ἄξρα,
Λῃΐδα θ' ἡμίβρωτον, ἰὸ ἔμμυσα ἴχνεα λεῖπον.
Οἴη ἐπ' ἀκροτόμῳ αἰπεινῆς ἧσο Κελαινὼ
Μάντις λευγαλέῃ, καὶ τόιῳ ῥῆξε δὲ γῆρυ:
Ἦ, πόλεμόν γ' ἐπὶ βεσί τε καὶ μόχοις κταμένοισι,
Λαομεδοντιάδαι, πόλεμόν γ' ἐσάγειν μεμάασθε,
Ἁρπυίας τ' ἀδίκως κάρτος πατρικῆ ἀπελαύνειν;
Κέκλυτε μευ ἄρα, καὶ φρεσὶν ὑμετέρῃσι βάλεσθε:
Ζεὺς τὰ πατὴρ Φοίβῳ, Φοῖβος δέ τ' ἔμοι γε πρὄφη,
Ταῦθ' ὑμῖν πετάνυμι, Ἐριννὺς ἔσσα μεγίστη.
Πλώετε Ἰταλίηνδε· ἐπιὼ δ' ἔυξηθε ἀήτας,
Ἰταλίηνδ' ἵξεσθε, ἐπαυρήσεθέ τε ὅρμων.
Πέπρωτ' ἀλλ' ὑμῖν τόδε: οὔτι δομήσετε Ἄξυ,
Πρίν κεν βεκτασίης γε δίκῃ τίσοντας τῆς δε
Πάντας ἀναγκαίῃ λιμῷ ὀλοοῖο ἐπείξοι,
Ἀμφιπεριτρώκτους σομάτεσσ' ἀναλῶσαι τραπέζας.
Ἦ, καὶ ἀερσιπότις κατὰ ὕλιν ὦκα ἀπέπτη.
Τημος δ' αἰφνιδίως ἑτάροις σωεπήγνυτο αἷμα
Ἐκ ῥὰ δέος· θυμὸς δ' αὐτὰς λίπεν· ἀκέτι δ' ὅπλοις
Χρῆσθ', ἀλλ' εὐχωλῇσι λιτῇς τε κέλονθ' ἱλάεσθαι,
Αἴ τε Θεαὶ, κ' αἴ τ' ὄρνε' ἀσελγέα ἠδ' ἐπάρητα.
Ἀγχίσης δὲ πατὴρ παλάμας ἀνταῖας ἀνατείνας,
Ἐκ ῥὰ Θεὰς τ' ἐκάλει μεγάλας, ἠ τ' ἐχρὶν τῖεν.
Εἴργετ' ἀπειλὰς· τοῖον ἄπ', ὦ Θεοὶ, τρέψατε οἶτον·
Εὐσεβέσ' ἱλήκοιτε! ἔπειτα σάρτ' ἀπολύειν
Ἠϊόνος ῥὰ κέλευε, κάλως δ' ἀνέτας ἀνασσύειν.

Ἰσία

❋ ❋ ❋

καταναυχωμένῳ εἰσάγων. Καὶ γὰρ καὶ Σειδας ἁρπακτικὰς Δαίμονας ὁρίζεται τὰς Ἁρπυίας καὶ τὰς Ἐριννῦς δὲ, Δαίμονας ὁμοίως καταχθονίας τε καὶ κακοποιὰς. Πλατύτερον γὰρ πᾶσα Διὰμις ὀλεθρία τε καὶ δυσάντητος καὶ ἀποτρόπαιος, Ἐριννὺς εἴωθε λέγεσθαι. Ταύτητοι καὶ Ὅμηρος, Ὀδυσ: Ο. 234.

„Τίῳ οἱ ἐπὶ φρεσὶ θῆκε Θεὰ δυσπλῆτις Ἐριννύς,
Τὸ γὰρ δυσπλῆτις, δυσπροπέλασος ἐσὶ τετέσι δύσχρησος τοῖς προσπελάζεσιν, ἢ οἷς ἂν αὐτὴ προσπελάσειεν.

Στίχ: 274. ΑΜΦΙΠΕΡΙΤΡΩΚΤΟΥΣ . . . . ΤΡΑΠΕΖΑΣ. Τὰς περὶ ὧν ὧδε λόγος τραπέζας, ἄρτος τινὰς εἶναι εἰς κυκλοτρὴμα περιηγμένους, Σιτίνους, οἱονεὶ βάσεις τῶν λοιπῶν ἐδεσμάτων παρατιθεμένους, καὶ Θεοῖς τοῖς Ἐφεσίοις ἀνακειμένους, ὧν ἐ θέμις ἦν ὡς κοινῶν ἅπτεσθαι καὶ γεύεσθαι. Ἦν δὲ ἄρα ἐκ χρησμῶ τοῖς ἀμφ' Αἰνείαν προπεφασμένον, μὴ πρότερον ἀπολήξειν αὐτὸς τῆς πλάνης, πρὶν ὑπὸ λιμῶ ἐπαναγκασθέντας, καὶ τῶν ἱερῶν τότων ἅψασθαι ἄρτων. Τῷ δὲ χρησμῷ καὶ ὁ Ἁλικαρν· ἐμνήσθη, καὶ Στράβων. Ὁ δὲ Οὐάρρων καὶ ὑπὸ τῷ ἐν Δωδώνῃ Μαντείῳ παρεδωκεν αὐτὸν ἐκδοθῆναι, ὥσπερ ἔυκαιρον ὁ Μάρων ἔκρινε τῇ Κελαινοῖ ἐνταῦθα τίῳ πρόρρησιν ἀποδῶναι, οἱονεὶ τίσιν Τρωσὶν ἐπιτεθησομένῳ δικαίαν, ἀνθ' ὧν ταῖς Ἁρπυίαις ἐξήμαρτον, ὡς ὁ Γάλλος Des-Fontaines σεσημείωκε: Comme une vengeance du traitement que les Harpies ont reçu des Troyens.

Et glacialis hyems Aquilonibus aſperat undas.
Ære cavo clypeum, magni geſtamen Abantis,
Poſtibus adverſis figo, et rem carmine ſigno;
Aeneas hæc de Danais victoribus arma.
Linquere tum portus jubeo, et conſidere tranſtris,
Certatim ſocii feriunt mare; et æquora verrunt.
Protinus aërias Phæacum abſcondimus arces,
Littoraque Epiri legimus, portuque ſubimus
Chaonio, et celſam Buthroti aſcendimus urbem.
Hic incredibilis rerum fama occupat aures,
Priamidem Helenum Grajas regnare per urbes,
Conjugio Æacidæ Pyrrhi, ſceptriſque potitum,
Et patrio Andromachen iterum ceſſiſſe marito.
Obſtupui; miroque incenſum pectus amore
Compellare virum, et caſus cognoſcere tantos:

Progre-

❁ ❁ ❁

Στίχ: 285. ΙΣΤΙ'Α Δ' ΑΡ ΤΕΤΑ'ΝΥΝΤΟ νότοις . . . . . Τὸ εἶδος ἀντὶ τῦ γένες. Καί τοι γε τοῖς ἀπὸ Κρήτης ἐπ' Ἰταλίας πλέουσι φορὰς μάλιστα γίνεται ἀπὸ τῶν νοτιωτέρων πνέων ὁ ἄνεμος· τὸ δὲ τὰ Ἰσία τείνεθαι τοῖς ἀνέμοις, Ὁμηρικόν. Ὀδυσ. Λ. 11.

„Τῆς δὲ (νηὸς) πανημερίης τέταθ' ἰσία ποντοπορεύσης.

Στίχ: 286, . . . . . ΟΠΟΙ'ΠΟΤ' ΑΗ'ΤΗΣ

Στίχ: 287. Κ\Ι' ΓΕ ΚΥΒΕΡΝΗΤΗ'Ρ . . . . Σωήθες Ὁμήρῳ καὶ τόδε. Ὀδυσ. Ι. στίχ. 78.

„ . . . . . Τὰς δ' ἄνεμός τε, κυβερνῆταί τ' ἴθυνον

Καὶ Ὀδυσ. Λ. στίχ. 10.

„ . . . . . Τίω δ' ἄνεμός τε, κυβερνήτης τ' ἴθυνεν.

Στίχ: 288. ΖΑ'ΚΥΝΘΟ'Σ Τ' . . . . . ΥΛΗ'ΕΣΣ'. Ὁμοίως ὁ Μάρων nemoroſam Ἰῳ Νῆσον, ὥσπερ κ' Ὅμηρος Ὑλήεσσαν εἶρηκεν. Ὀυιδίῳ δὲ ἐν τῇ Α'. τῶν Ἡρωίδων, προσείρηται alta Zacynthus: αἰπεινὴ, ἢ ὑψηλη Ζάκυνθος. Ἑκάτερον δὲ ἀληθές, ὅτι κ' ὑψηλοῖς ὄρεσι, κ' ἀμφιλαφέσι δ' ὕλαις κομῶσι, πάλαι τε ἐπίσημος ἦν, (κατὰ Στράβ: Γεωγρ. Βιβλ: Γ:,) κ' νῦν ἐχ ἧκιστα, (κατὰ τὸν Συγγραφέα Τῆς παρὰ Ὀυιργ. Γεωγρ. M. Helliez.) καθ' ἣν ἡ Ζάκυνθος ἀπὸ σαδ. 480, ἢ μιλ. 60 περατυμένη, καρποῖς παντοίοις εὐφορωτάτη ἔσα κλείζεται.

Στίχ: 289. ΔΟΥΛΙ'ΧΙΟ'Ν ΤΕ, ΣΑ'ΜΗ Τ', ΙΘΑ' ΝΗ'ΡΙΤΟΝ ΕΙ'ΝΟΣΙΦΥΛΛΟΝ. Καὶ παρ' Ὁμ: Ὀδ. Α. 246.

„Δουλιχίῳ τε, Σάμῃ τε, καὶ ὑλήεντι Ζακυνθῳ.

Αἱ δὲ νῆσοι αὗται τῇ Ἰωνικῇ πελάγυς εἰσὶ, πρὸς τὰ Δυτικώτερα τῆς Ἑλλάδος αἱ πᾶσαι κείμεναι.

Στίχ: Αυτ: ΔΟΥΛΙ'ΧΙΟΝ . . . . Μία τῶν Ἐχινάδων νήσων, τῶν πρὸς Ἰὰς τῇ Ἀχελῴῳ ἐκβολάς, καὶ τῆς Αἰτωλίας ἀντικρὺ κειμένων, ἡ καὶ Δολίχα καλεμένη ἀπὸ Δολιχίε τῦ Τριπτολέμε. Αἱ δ' Ἐχινάδες ἔτως εἴρηνται διὰ τὸ τραχὺ καὶ ὀξὺ, παρὰ τὸν Ἐχῖνον, ἢ διὰ τὸ πλῆθος ἔχειν Ἐχίνων· ἢ ἀπὸ Ἐχίνε, ἢ Ἐχίονος τῦ Μάντεως. (Στέφ. Βυζ.)

Στίχ: Αυτ: . . . . ΣΑ'ΜΗΤ' . . . Οὕτως ἡ νῦν Κεφαλληνία τὸ πάλαι Σάμη τε κ' Σάμος ἡ αὐτὴ ἐκαλεῖτο. Τετραπόλεως γὰρ ἔσης, μία τῶν ἐπ' αὐτῆς „τεσσάρων ἦν ἡ Σάμος. καὶ Σάμος πόλις, καθ' ἑκάτερον τένομα ὁμωνυμεῦσα τῇ Νήσῳ. (Στράβ Ι', τῶν Γεωγρ.) Ἀπολλόδωρος δὲ διασελλόμενος, Σάμιν μὲν τὴν πόλιν, Σάμον δὲ τὴν ὅλην νῆσον ἐβέλετο λέγεθαι. ᾧ δὴ καὶ Σέρβιος ἔδοξε παρακολεθεῖν, Same, σημειώσας, Cephaleniæ Civitas. Τῷ γν μιῷ Μάρωνι Same ἐνταῦθα, Σάμη, ἐχ ἡ πόλις, ἀλλ' ἡ νῆσος. Ὁμηρος δὲ ἀδιαφόρως, νῦν μὲν Σάμιν ὀνομάζει τὴν νῆσον: Ὀδυσ. Α. 246.

„Δουλιχίῳ τε, Σάμῃ τε, καὶ ὑλήεντι Ζακυνθῳ.

Νῦν

Ἰσία μὲν τετάνυστο νότοις, οἱ δ' ἄρ' ἐὶ ἀφρώδεϛ 285
Φυζακινοὶ ῥοθίϛ φερόμεϑα ὁποίποτ' ἀήτηϛ,
Καί γε Κυβερνητὴρ ἴϑυνεν πηδαλιοῦχοϛ.
Ζάκυνθόϛ τ' ἂν ἔξ ἀλὸϛ ὑλήεσσ' ἐνεφάνϑη,
Δουλίχιόν τε, Σάμηϑ', ἰδὲ Νήριτον εἰνοσίφυλλον.
Ἐκτρεπόμεϑ' Ἰθάκηϛ Σκοπέλουϛ, Λαέρτια κάρτη, 290
Γῆν τε ἐπηρασάμεϑ' ἣγ' αἰνὸν ϑρέψ' Ὀδυσῆα.
Αὐτίκα δ' ἔρεοϛ ἄκρα νεφώδεα Λευκάδοϛ ὤφϑη,
Καὶ, τὸν ἐπιτρομέουσι μέγα πλωτῆρεϛ, Ἀπόλλωνα.

Τὸν



❁ ❁ ❁

Νῶν δὲ Σάμον, ὡς ἐν τῷ Καταλόγῳ, στίχ. 634.
„Οἵτε Ζάκυνθον ἔχον, ἠδ' οἳ Σάμον ἀμφενέμοντο.
Καὶ Ὀδυσ. Δ, στίχ. 671. Καὶ Ο'. στίχ. 29. τῷ αὐτῷ ἔπει χρησάμενοϛ:
„Ἐν πορθμῷ Ἰθάκηϛ τε Σάμοιό τε παιπαλοέσσηϛ.
Διακριτέον μέντοιγε τὴν ἐν τῷ Ἰωνικῷ Κόλπῳ ταύτην Κεφαλληνιαίαν Σάμον, τῆϛ ἐν τῇ Ἀσιάτιδι Ἰωνίᾳ Σάμου, τῆϛ ἀπέναντι Ἐφέσου, καὶ τῶν Μυκάλης Ἀκρωτηρίου, ἐν τῷ πελάγει κειμένηϛ τῷ Ἰκαρικῷ.

Στίχ: Αυτ: . . . . . ΙΔΕ ΝΗΡΙΤΟΝ ΕΙΝΟΣΙΦΥΛΛΟΝ. Τὸ Νήριτον ὄρος ἐϛὶν ἐπὶ τῆϛ Ἰθάκηϛ, ὑψηλὸν ἄλιϛ, ὡϛ τῶν πέριξ Σκοπέλων πρῶτον αὐτὸ καθορᾶσθαι τοῖϛ καταπλέουσι. Σωῇψε δὲ τῇ Ἰθάκῃ Ὅμηρος (Ιλ: Β'. 139.) τὸ Νήριτον,
„Οἵτ' Ἰθάκην εἶχον, καὶ Νήριτον εἰνοσίφυλλον.
Οὐχ ὡϛ Νῆσον Νήσῳ συγκαταλέξαϛ, ἀλλ' ὡϛ ὄρος δι' ὃ ἐπιφανὴϛ καθίσατο ἡ Νῆσοϛ, κορυφουμένη ἐπ' αὐτῆϛ, καὶ τῇ πυκνότητι τῶν δένδρων καταγλαΐζοντοϛ. Ὅθεν καὶ εἰνοσίφυλλον εἴρηται.

Στίχ: 290. . . . . ΙΘΑΚΗΣ ΣΚΟΠΕΛΟΥΣ, ΛΑΕΡΤΙΑ ΚΑΡΤΗ· Σκοπέλαϛ Ἰθάκηϛ ὠνόμασε τυχὸν διὰ τὴν τῆϛ Νήσου σμικρότητα· ἢ διὰ τὸ κραναιὸν εἶναι καὶ ἀπόκροτον· προσέϑετο δὲ, φασὶ, τὰ Λαέρτια κάρτη, ἤτοι τὰ Λαέρτου Βασίλεια σκωπτικώτερον. Ἦλικα γὰρ Βασίλεια οἱ Ἰθακήσιοι Σκόπελοι! τὸ δὲ σκῶμμα, παραπλήσιον τῷ πρὸϛ Αἰόλου, (τὸν ἐν ἐυρεῖ Ἄντρῳ κοιμωμένου, καὶ ὑψηλῆϛ δ' ἐπὶ πέτρηϛ τὰ σκῆπτρα χερίζοντα) ὑπὸ τοῦ Ποσειδῶνοϛ ἐπιτοξευθέν. Α. Αἰν. στίχ: 58 — 62.
„ . . . . . Τρηχεῖϛ ὁ δὲ Ἔλαχε πέτρηϛ·
„ . . . . . Ταῦ ἀνάκτορα εὐχεταάσθω
„Αἴολοϛ, εἰρκτῇσιν δ' ἀνέμων κλεισῇϛ ἀγὸϛ ἔσω.
Ἀλλὰ γὰρ Ὀδυσσεὺϛ πρὸϛ τῇ κραναῇ Ἰθάκῃ, καὶ ἄλλων τινῶν ἐκεῖ τοῦ Ἰωνίου πελάγουϛ νήσων ἐκράτει, καὶ ἐπ' αὐτῆϛ δὲ ἔτι τῆϛ Ἠπειρωτικῆϛ περαίαϛ ἄρξαι ἰσόρηται.

Στίχ 292. . . . . ΟΥΡΕΟΣ ΑΚΡΑ ΝΕΦΩΔΕΑ ΛΕΥΚΑΔΟΣ . . . . . Πέτρα γὰρ ἐϛὶ λευκὴ τὴν χρόαν προκειμένη τῆϛ Λευκάδοϛ εἰϛ τὸ πέλαγοϛ καὶ „τὴν Κεφαλληνίαν, ὡϛ ἐντεῦϑεν τέκμαρ λαβεῖν· ἔχει δὲ τὸ τοῦ Λευκάτα „Ἀπόλλωνοϛ ἱερὸν, καὶ τὸ ἅλμα τὸ τοὺϛ ἔρωταϛ πάυειν πεπιϛευμένον. (Στράβ. Γεωγρ. Βιβλ: Γ.) Ἐπὶ γὰρ τῆϛ λευκῆϛ ταύτηϛ ἄκραϛ, ἀφ' ἧϛ καὶ τέκμαρ τῇ Νήσῳ, ἐπὶ τὴν ὑποκειμένην ϑάλασσαν κυβιϛῶντεϛ τῶν μανικῶν ἐρώτων ἀπαλλάττεσϑαι ἐπιϛεύοντο. Ὅθεν καὶ Σαπφὼ ἡ Λεσβία ἔρωτοϛ οἴϛρῳ τοῦ πρὸϛ Φάωνα ἑαυτὴν καταποντίσασα, σωμάτων τῷ ζῆν ἀπέληξε καὶ τοῦ μαίνεσϑαι. (Ὅρα Πλίν. Φυσ. Ἱϛ. Βιβλ. Δ'. Κεφ': Α. Στράβ. Γεωγρ. Γ'. καὶ ἐξ αὐτῶν Στέφ. Βυζ. καὶ Ἐυσάϑ. ἐν τοῖϛ εἰϛ Διονύσ. Σημειώμασιν.

Στίχ: 293. ΚΑΙ', ΤΟΝ ΕΠΙΤΡΟΜΕΟΥΣΙ ΜΕΓΑ ΠΛΩΤΗΡΕΣ, ΑΠΟΛΛΩΝ. Τῷ Ἀπόλλωνι σωεκδεκτέον ὧδε τὸν, ἔνϑα ὁ Θεὸϛ ἐτιμᾶτο, τόπον· Δύσπλουν γὰρ τὸ ἐκεῖ πέλαγοϛ διὰ τὰϛ ὑφάλαϛ, καὶ δύσερμοι αἱ ἀκταὶ καὶ ὕποπτα δὲ ἄλλωϛ ἰαλῦσι χώραϛ διὰ τοὺϛ ἔχοντάϛ, δυομενεῖϛ τε ὄνταϛ καὶ πολεμίουϛ Τρώσι, Διὸ καὶ τρέμειν εἰκὸϛ ἦν, διὰ μὲν τοῦτο τότε, δι' ἐκεῖνα δὲ καὶ πάντα ἁπλῶϛ

τοὺϛ

Progredior portu, claſſes, et littora linquens.
Solennes tum forte dapes, et triſtia dona,
Ante urbem in luco, falſi Simoëntis ad undam,
Libabat cineri Andromache, manesque vocabat
Hectoreum ad tumulum: viridi quem ceſpite inanem,
Et geminas, cauſam lacrymis, ſacraverat aras.
Ut me conſpexit venientem, et Troïa circum
Arma amens vidit, magnis exterrita monſtris
Diriguit viſu in medio; calor oſſa reliquit:
Labitur, et longo vix tandem tempore fatur.
Verane te facies? verus mihi nuncius affers,
Nate Dea? viviſne? aut, ſi lux alma receſſit,
Hector ubi eſt? Dixit, lacrymaſque effudit, et omnem
Implevit clamore locum. Vix pauca furenti
Subjicio, et raris turbatus vocibus hiſco.

Vivo

❁ ❁ ❁

τὲς προπλέοντας. Ἀλλὰ καὶ τότων ἔμπης ἔτως ἐχόντων, ἐπάναγκες ἦν τὲς περὶ Αἰνείαν τετυμμένες ἤδη καὶ ἀπειρηκότας καθορμίσαθαίπε, καὶ τῆς τε πλε ταλαιπωρίας ἑαυτὲς ἀναλήψαθαι.

Στίχ: 294. . . . . ΚΑΪ ΠΡΟ ΠΟΛΙ΄ΧΝΗΣ. Ἡ δὲ, ἡ πάλαι Ἀμβρακία ὑπῆρχεν, ἣν Oppidum (μικρὸν Ἄξυ) καὶ Πλίνιος ὀνομάζει (Φυσ. Ἱς. Δ΄. Κεφ: Α΄.) μιλιαρίῳ θαλάσσης ἀφεστηκὸς. Περὶ δὴ ταύτῳ τῳ Πολίχνιῳ, καὶ Αὔγεστος ἦν παρεμβεβληκὼς, ὅτε τὸν ναυμαχικὸν σιωνεκρότει ἀγῶνα, τὸν κατὰ Ἀντωνίε καὶ Κλεοπάτρας. (Δίων Βιβλ: ΝΑ. καὶ Πλέτ. εἰς Βί. Μ. Ἀντων.) Ἔνθα δὴ καὶ μετὰ τῳ νίκῳ ἔκτισε τῳ ἐπονομαθεῖταν Νικόπολιν.

Στίχ: 296. . . . . ΑΕ΄ΛΠΤΟΥ ΤΗ΄Σ ΔΕ ΧΘΟΝΟ΄Σ . . . . . Οὐδὲ γὰρ ἐλπίσαι ῥᾳδίως παρῆν, διὰ τῆς πολεμίας Ἑλλάδος ἰόντας, μετὰ καὶ πλεῖν ἔτως ἐπισφαλῆ τε καὶ ἐπικινδυνον ἀσκηθεῖς ἔτως ἐπὶ γῆς ἐγκαθορμισθῆναι τοιαύτης, ἧς περ ἐδέποτε ἐπιβιῶναι διενοήθησαν.

Στίχ: 297. ΖΗΝΙ΄ ΛΟΕΣΣΑ΄ΜΕΘ΄, . . . . . Ἀεὶ γὰρ πρὸ τῶν εἰς Θεὸν ἀναπεμπομένων ἐυχῶν, καὶ προσαγομένων θυμάτων, ὁ τῶν προσαγόντων προαπαιτεῖται καθαγνισμὸς καὶ ἡ κάθαρσις.

Στίχ: 298 . . . . . ΕΝ ΟΡΟΙΣ ΕΝΘ΄ ΑΚΤΙΟΝ . . . . . Τὸν Ἀμβρακικὸν εἰσπλέοντι κόλπον, πρὸς δεξιὰν ἀπαντᾷ μέρος Ἀκαρνανίας τὸ Ἄκτιον· τῇ δὲ πορθμῇ πέραν ἐπὶ τὰ λαιὰ κεῖται ἡ ῥηθεῖσα (στίχ. 294.) Νικόπολις, ἣν ἱδρύσας Αὔγεστος, ἀγῶνας ἔταξεν ἐπ αὐτῇ τελεῖθαι τὲς καλεμένες Ἀκτιακὲς. Ὁ δὴ τὰ ἐθνικὰ συγγράψας, Ἀκτία πόλις, φησὶν, Ἀκαρνανίας κτ: εἰ καὶ Ἄκτιον ἐν ὐδετέρῳ γένει πάντες ἐκφέρεσιν, ὅσοι χεδὸν μνημονέυεσιν.) ἐν ταύτῃ γοῦν, Ἀπόλλωνος γυμνικὸς ἀγὼν, καὶ ἱππικὸς, καὶ πλείων ἄμιλλα διὰ τριετηρίδος ἦν. Ὅθεν καὶ Ἀπόλλωνι ἐκράτησεν Ἀκταίῳ τε ᾧ Ἀκτιακῷ ἐπιλέγεθαι· ὁ δὲ Ἀγὼν αὐτὲς καὶ τά Ἄκτια ἔχειν ἐπώνυμον, ὥσπερ ἄρα καὶ τὰ Νέμεα, καὶ τὰ Ἴθμια, κτ:

Στίχ: 300. . . . ΠΑΛΑΙΣΜΟΣΤΎΝΗΝ . . . ΠΑ΄ΤΡΙΟΝ . . . Καιμιλῶ παλαισμοσυίας Ἀθιωαίες πρώτες ἐυρέθαι φασὶν. Ἀλλὰ πάτριον ἰῷ τὸ ἔθος καὶ Ἰλιεῦσι, διά τε Δάρδανον, καὶ Τεῦκρον, τὲς εἰς Ἀθιωαίες τῳ καταρχίῳ αὐτῶν τῇ γένες ἀνάγοντας. (Σέρβιος.) Ἢ βέλτιον, διὰ τὸ τῳ παρὰ Τρωσὶ πάλιν, κατά τινα τρόπον αὐτοῖς ἴδιον εἰωθέναι τελεῖθαι, πάτριον εἴρηκεν, ὥσπερ οὖν καὶ μικρὸν κατωτ: στίχ. 308. Ἰλιακὲς ἄθλες ὠνόμασεν.

Στίχ: 301. ΗΔΥ΄ ΔΕ΄ ΚΑΡΤ΄ ΕΔΟ΄ΚΕΙ, . . . . . ἦπε τοσῦτον, ἔσον αὐτοῖς τὸ πρᾶγμα καὶ ἄελπτον. (στίχ. 296.)

Στίχ: 303 . . . ΜΕΓΑΝ . . . . ΕΝΝΟΝ, Ὃν ὁ ἥλιος κατὰ τῳ ἰδίαν περίοδον ἐξανύει, τὸν καὶ ἐνιαυτὸν Τροπικὸν καλέμενον. (Ὥρα Λ. Αἰν: στίχ. 293.)

Στίχ:

Τὸν δ' ἀπογυιωθέντες ἴμεν. Καὶ δὴ πρὸ πολίχνης,
Ἑυνὰς πρωρῶν ἐκ βάλομεν, καὶ κέλσαμεν ἀκταῖς.
Τοιγὰρ ἀέλπτῳ τῆςδε τέως χθονὸς ὦδ' ἐπιβάντες
Ζωὶ λοεσσάμεθ', ἠδέτε βωμὸς καίομεν εὐχαῖς.
Ἰλιακὸς δ', ἐν ὄροις ἔνθ' Ἄκτιον, ἤγομεν ἄθλους.
Γυμνοὶ καὶ γὰρ ἑταῖροι ἀλειψάμενοι λίπ' ἐλαίῳ,
Ἴφι παλαισμοσιώλῳ δεδαῶτες πάτριον ἦσκον.
Ἠδὺ δὲ κάρτ' ἐδόκει, πόλιας τοσσὰς δ' ἀλεῖναι
Ἀργολικὰς, ἐχθρὰν δὲ φέβεσθ' αὐτῶν διὰ μέσσων.
Μέσφα δ' ἄρ ἠέλιος μέγαν ἀμφιελίσσετο ἔννον,
Χειμὼν δυσθαλπὴς δ' ἀνέμοις κῦμ' ἄγριον ἦρε.
Χαλκῇῳ ἀσπίδ' ἐγὼ, μεγάλοιο Φόρημα Ἄβαντος,
Ἧρτησ' ἀντιπάλων πυλεῶσιν τὼς ἐπιγράψας:
Αἰνείας τάδε ἐκ Δαναῶν τεύχη νικώντων.
Εἶτα λιπεῖν κελόμιν λιμένας, κληῖσί τε ἧσθαι.
Ὀτραλέως δ' ἅλα τύπτον ἑταῖροι, κῦμα δὲ σαῖρον.
Αὐτίκα ἠερίης Φαιήκων κρύπτομεν ἄκρας,

Ἀκτὰς

❀ ❀ ❀

Στίχ: 305. ΧΑΛΚΗ῾Ν ᾽ΑΣΠΙ῾Δ . . . . . ῾ΑΒΑΝΤΟΣ, Εἰκὸς τόνδε τὸν Ἄβαντα τῶν Ἀχαιῶν ἕνα τινὰ γενέσθαι, ὅπερ Αἰνείας περιγενόμενος ἐν τοῖς ὑπὸ Τροίαν ἀγῶσι, καὶ τὸ Σάκος ἄναρον ἀφελόμενος τὸ ἐκείνου, καὶ παρ' ἑαυτῷ ἔχων, ἐπὶ τοῦ ἐν τῇ πολεμίᾳ πυλῶνος ἀνήρτησε, τῆς αὐτοῦ μνημεῖον ἀνδραγαθίας ἀνακεισόμενον. Ὁ δὲ Μάρων ἐνταῦθα τιλὼ τῷ παλαιῷ Ἄβαντος ἀνακινεῖν ἔοικε μνήμιν μεγαλιῶν τὸ ἔργον, καὶ πρὸς ὄγκον ἐξαίρων, μηδένα τε λόγον τῆς τῶν χρόνων ἀκριβείας ποιούμενος. Τοῦθ' ὅπερ αὐτῷ συνήθες καὶ ἐν ἄλλοις ποιεῖν, κατὰ ποιητικὴν ἄδειαν, ὥσπερ ἔφηται. (Ἀνωτ: στίχ: 20. καὶ 142.) Ἦν δὲ ἄρα ὁ παλαίτερος Ἄβας Λυγκέως υἱὸς ἐξ Ὑπερμνήστρας (Ἀπολλόδ. Βιβλ: Α. Κεφαλ. Β΄.) Τί δ' ἦν τὸ ἐν τῷ τοῦ Ἀνδρὸς ἐκείνῳ Σάκει ἐξαίρετον; ἐγὼ μὲν οἶμαι, οὐδὲν ἀλλ' ἢ ὅτι αὐτὸς ὑπῆρχεν Ἄβας ὁ χρώμενος, ἔν τῆς εὐκλείας καὶ τὸ ὅπλον αὐτὸ, ἧπερ συμβαίνει, μετείληφεν. Ὁ δὲ Σχολιαστὴς Σέρβιος, ὅτι πρῶτος Ἄβας, φησὶν, εὑρετὴς ὥφθη τοῦ ἀμυντηρίου τούτου ὅπλου κατά τινας. Ἀλλὰ Πλίνιος (Φυσ. Ἱστορ. Βιβλ: Ζ.) Ἀκρισίῳ τε καὶ Προίτῳ τοῖς υἱέσιν Ἄβαντος, ἢ Χαλκῷ τῷ τοῦ Ἀθάμαντος ἀπονέμει τιλὼ εὕρεσιν. Ὁ δὲ Ἀπολλόδωρος (ἔνθ. ἀνωτ:) περὶ Ἀκρισίου καὶ Προίτου τῶν Ἄβαντος καὶ Ὠκαλείας τῆς Μαντινέως, παρέδωκεν: ὅτι πολεμοῦντες ἀλλήλοις περὶ τῆς βασιλείας (τελευτήσαντος δηλονότι τοῦ πατρὸς.) εὗρον ἀσπίδας πρῶτοι· ἐξ οὗ συμβαίνει ἀντὶ τοῦ μεγαλάσπιδος ἀπολελεῖφθαι ἡμῖν τὸν Ἄβαντα ἄνασπιν· εἴη γὰρ ἂν καιρὸν τοῦτο, καὶ παρὰ τιλὼ τῶν πολλῶν δόξαν, τὸν γενέτιλω μεγαλωθεῖσαι ἐκ τοῦ Σάκους, ὅπερ εὑρεταὶ πρῶτοι οἱ υἱέες ἐγένοντο· εἰ δὲ καὶ μετὰ τὸν ἐκείνου θάνατον ἡ εὕρεσις, καὶ ἄλογον.

Στίχ: 307. ΑΙ῾ΝΕΙ῾ΑΣ ΤΑ῾ΔΕ, ἘΚ ΔΑΝΑΩ῎Ν, ΤΕΥ῾ΧΗ ΝΙΚΩ῎ΝΤΩΝ ᾽Ουκ' οἶδ' εἴπις ἐν Ἐπιγράμματι μονοστίχῳ τοσαῦτα διωνθείη βραχυλογῆσαι, ὅσα ὁ Μάρων ἐν τῷδε νοῆσαι δίδωσι· τὸ δὲ κέντρον μάλιστα ἐν τῇ καταληξει: (νικώντων.)

Τστίχ: 309. ᾽ΟΤΡΑΛΕ῎ΩΣ Δ᾽ ῎ΑΛΑ ΤΥ῎ΠΤΟΝ ἙΤΑΙ῾ΡΟΙ, κτ: Οὕτω δ' ἄρα καὶ ῞Ομηρος, Ὀδυσ. Δ. 579.

„Ἐν δὲ καὶ αὐτοὶ βάντες ἐπὶ κληῖσι κάθιζον.
„Ἑξῆς δ' ἑζόμενοι πολιὴν ἅλα τύπτον ἐρετμοῖς.

Στίχ. 310. ᾽ΑΥΤΙ῾ΚΑ ᾽ΗΕΡΙ῾ΟΥΣ ΦΑΙΗ῾ΚΩΝ κτ: Ἡ Φαιάκων πόλις Σχερία ὀνομάζεται παρ' Ὁμήρῳ· (Ὀδυσ. Ζ.) ἡ Κερκύρα μὲν ὕστερον, καθ' ἡμᾶς δὲ τοῦτο

Vivo equidem, vitamque extrema per omnia duco.
Ne dubita; nam vera vides.
Heu, quis te caſus dejectam conjuge tanto
Excipit? aut qnæ digna ſatis fortuna reviſit?
Hectoris Andromache, Pyrrhin', connubia ſervas?
Dejecit vultum, et demiſſa voce loquuta eſt.
O felix una ante alias Priameia virgo,
Hoſtilem ad tumulum Trojæ ſub mœnibus altis
Juſſa mori: quæ ſortitus non pertulit ullos,
Nec victoris heri tetigit captiva cubile!
Nos patriâ incensâ, diverſa per æquora vectæ,
Stirpis Achilleæ faſtus, juvenemque ſuperbum,
Servitio enixæ tulimus. Qui deinde ſequutus
Ledæam Hermionem, Lacedæmonioſque hymenæos,
Me famulam, famuloque Heleno tranſmiſit habendam.
Aſt illum, ereptæ magno inflammatus amore
Conjugis, et ſcelerum furiis agitatus Oreſtes,
Excipit incautum, patriaſque obtruncat ad aras.
Morte Neoptolemi, regnorum reddita ceſſit
Pars Heleno, qui Chaonios cognomine campos,
Chaoniamque omnem Trojano à Chaone dixit,
Pergamaque, Iliacamque jugis hanc addidit arcem.
Sed tibi qui curſum venti, quæ fata dedere?
Aut quis te ignarum noſtris Deus appulit oris?
Quid puer Aſcanius? ſuperatne, et veſcitur aura?
Quem tibi jam Troja.

Ecquæ

❁ ❁ ❁

τῦτο τε, καὶ Κορυφὼ ἡ αὐτὴ κληθεῖσα, ἐκ τῆς περιφανῆς ἐν αὐτῇ Ἀκρας, τῆς Λόρνε ἄντικρυ καὶ Λιγίλιπος. Τὸ δὲ Σχερία, ἐκ φωνῆς, φασὶ, τῆς Φοινίκων δηλοῖ τὸ Ἐμπόριον. M. Helliez. ἐν τῇ κατὰ Ὁυίργ. Γεωργ.) Ἔκδοτοι γὰρ ὑπῆρχον τῇ ἐμπορίᾳ τὸ πάλαι οἱ ταύτῃ οἰκοῦντες, καὶ εἰς ἀκμὴν πλέτε τε καὶ δυνάμεως θαλασσίας προήχθησαν· ἐξ οὗ καὶ Φαίακες προσείρηνται, ὅ τῇ αὐτῇ Διαλέκτῳ τὸς ὀλβίους σημαίνει καὶ ἀφνεὺς καὶ εὐδαίμονας. Ταύτης οὖν μεταξὺ τῆς Νήσε καὶ τῆς περαίας Ἠπείρε, τὸν ἀπ' Ἀκτίε πλοῦν εἰ ἀμφ' Αἰνείαν ἰθυόντες, τῆς μὲν τὰς πρὸς Νότον ἄνεμον αἰρομένας ἀπέλειπον ἄκρας (τῦτο γὰρ ἦν τὸ κρύπτομεν.) Ἰὼ δὲ παραπλέοντες, τοῖς ἐπὶ Χαονίας προσεπέλασαν ὅρμοις.

Στίχ: 313. ΒΟΤΘΡΩΤΟΙΌ ΆΝ' ΆΣΤΥ, κτ: Μικρά τις Χερσόννησος ἐςὶ τὸ Βυθρωτὸν, ἰθμῷ τῆς Ἠπείρε ἐξεχομένη· ὃν γὰρ Νῆσος πάντη, εἰμὴ τις τὸ νησῶδες πλατύτερον ἐκλαβέσθαι θέλοι. διὰ τὸ αὐλὶ διεζῶσθαι τὸ πλέον: ὥσπε κ' Νῆσον πολλάκις εἰώθαμεν καλεῖν τὶω τῦ Πέλοπος· περὶ δὲ τῦ Βυθρωτῦ ἔρηται, καὶ ἐν τῷ Α'. τῶν Γεωργ. στίχ. 8. Σημ.)

Στίχ: 315. ΠΡΙΑΜΙΌΔΗΝ ΤΈΛΕΝΟΝ κτ: Ἕλενος, ὁ Πριάμε ἐξ Ἑκάβης. καὶ Ἀνδρομάχη ἡ Ἕκτορος ἄλοχος, Τρωϊὰς ἀλόσης, Πύρρῳ τῷ Ἀχιλλέως παιδὶ, δορυαλώτω λαχόντε, τῆς τῦ κεκτημένε ἀμφοτέρω ἀπελαυσέτιω εὐνοίας καὶ χάριτος· ὁ μὲν γὰρ, ἅτε μαντικὸς ὤν, τὰς πλείσους Ἑλλήνων, ναυαγήσοντας ἐν τῷ νόσῳ προγνὺς, καὶ τὸν πλῶν ὑπερθέσθαι ἐπὶ πολὺν αἰνεσάμενος Πύρρον, οἷα σωτὴρ ἐτιμᾶτο καὶ φίλος· ἡ δὲ τῶν λέκτρων μεταχέσα τῶν τῦ δεσπότε, καὶ παιδὸς πατέρα τῦ Μολοσσῦ ἀναδείξασα, ἐν γαμε-

τῆς

Ἀκτὰς τ' ἠπείρου παραμείβομεν· αὐτὰρ ἐν ὅρμοις
Χαονίοις κέλσαντες, ἀνέρπομεν ὑψικάρηνον
Βουθρωτοῖο ἀν' ἄστυ, ἁλιξώνου ἐπὶ πέτρης.
Ἔνθ' ὁ πιστή τις φάτις ἄμφα πρός ἔασι βάλλε,
Πριαμίδην Ἕλενον πόλεσ' Ἑλλήνων ἐπὶ ἄρχειν.
Πύρρου Αἰακίδου ἄλοχον καὶ σκῆπτρα λαχόντα,
Ἀνδρομάχην πατρίῳ τ' αὖ κληρωθῆναι ἀκοίτην.
Καὶ ῥὰ τάφον· πολὺς ἐν σήθεσφιν δ' ἴμερος ὦρτο
Τἀνδρὶ ξωτυχέμεν', ἅ τε οἱ σωέκυρσε δαῆναι.
Ἤια δ' ἐκ λιμένος, νῆας κἀκτὰς παραλάπων.
Τετάκει δὴ δαίτας ἐπετείους, λυγρά τε δῶρα,
Ἔν γε προαστείῳ τεμένει, προτὶ ῥοὴν Σιμόεντος,
Σπένδεσκ' Ἀνδρομάχη ποδιῇ, ψυχὼ δ' ἐκαλεῖτο
Τύμβον ἐφ' Ἕκτορος, ὃν βάλαξι κενὸν χλοεροῖσι,
Δοιοῖς σὺν βωμοῖσιν ἀφωσίᾳ, ἄϊτια πένθους.
Ὡς δ' ἦκον τα μ' ὄπωπεν, ἰδ' ἀμφί με Τρῳϊα ὅπλα,

Κ 2 Ἔκνοος

❁ ❁ ❁

τῆς τάξει ἐτίθετο· Ἐπεὶ δὲ Ἑρμιόνῃ ὕστερον τινὶ τῷ Μενελάου καὶ Ἑλένης ἀναγέσθαι Πύρρος προθέμενος, ἐν τῷ παρὰ Δελφοῖς Νεῷ, δι' ἐνέδρας ὑπὸ Ὀρέστου ἀνῄρηται, θυόντων ἤδη, Ἀνδρομάχῃ μὲν εἰς ἀκοίτην ἀπεκλήρου Ἕλενος, Μολοσσὸν δὲ τὸν υἱὸν τῷ αὐτῷ σωίζει, τινὶ βασιλείαν διαδεξόμενον· τοῦ δὲ παιδὸς μὴ ἐπιζήσαντος, τῆς ἐξ αὐτοῦ Μολοσσίας κληθείσης χώρας (ἥ μέρος ἐστὶν ἐκεῖ τῆς Ἠπείρου) Ἑλένῳ περιῆλθε τὸ κράτος. Ταῦτ' Αἰνείας ὡς ἐκ φήμης ἠκέτισαι, θαυμάζων ἅμα καὶ χαίρων ἀνῄει τὸ Ἄσυ, τοῖς ἐκ γένους αὐτῷ προσήκουσι, παρὰ πᾶσαν ἐλπίδα, μέσον Ἑλλήνων διωκισμένοις ἐντευξόμενος. Σημείωσαι δὲ ὅτι ὁ μῦθος ἄκρατος τὰ εἰρημένα, ἀλλὰ καὶ Ἱστορίας πραγματώδες ἔχεσθαι ἐκ μέρους δοκεῖ. Καὶ γάρτοι καὶ Ἰβῆνος (ἐν τῇ Τρώγλῃ τοῦ Πομπ. Ἐπιτομῆς) φέρεταί τι τοιοῦτο καθιστορῶν· καὶ Πλίνιος (Φυσ. Ἱς. Δ. Κεφ. Λ'.) καὶ Στράβων (ἐν Ζ'. τῶν Γεωγρ.) Ῥωμαίων ἀποικίαν ἀποκαλοῦσι τοὺς τὸ Βουθρωτὸν ἔχοντας.

Στίχ: 317. . . . . ΠΑΤΡΙΩι . . . . ΑΚΟΙΤΗι. Ὡς ἂν εἰ λέγοι, ἀκέτι Ἕλλωι σωῶσα, ὡς τῷ Πύρρῳ, Τρωὶ δὲ Τρωὰς ἔσα, ὡς ἤδη Δάμαρ Ἑλένῳ, καθάπερ ἦν πρότερον Ἕκτορος. Πατρὶς γὰρ ἦν καὶ αὐτῇ, ἡ ἐπὶ τῆς Κιλικίας Θήβη ἡ Ὑποπλακία, ἡ τελοῦσα ὑπὸ τινὶ Τρωϊκῷ ἐπικράτειαν· ἥτις, κατὰ τὸν Ἐτυμολογικὸν, τὸ νῦν ἐστὶ καλούμενον Ἀτραμύττειον.

Στίχ: 319. ΤΑΝΔΡΙ ΞΥΝΤΥΧΕΜΕΝ . . . . Τῷ Ἑλένῳ.

Στίχ: 322. . . . . ΠΡΟΤΙ ΡΟΥΝ ΣΙΜΟΕΝΤΟΣ, Οὕτω γὰρ ἔδοξεν Ἑλένῳ τὸ ἐκεῖ ῥεῖθρον ἐπονομάσαι, τὸν τῆς πατρίδος παραμυθεμένῳ πως ἴμερον· ὁ γὰρ Σιμόεις ἐν ἦν τῶν ἀπὸ τῆς Ἴδης ῥευμάτων διὰ Τροίας ἰὸν, καὶ τῷ Ξάνθῳ ἐξῆς συνεκβάλλον εἰς τὸν Ἑλλήσποντον.

Στίχ: 324. ΤΥΜΒΟΝ, . . . . ΚΕΝΟΝ . . . . . Τοῦτο δ' ἐστὶ Κενοτάφιον, ἢ Κενήριον εἰπεῖν. Τοιαῦτα δὲ ἦν τὰ ἐγειρόμενα εἰς νεκρῶν τύπον, μὴ ἔχοντα νεκρόν. (Σαϊδ. ἐν Λέξ.) μνήμης ἕνεκα καὶ τιμῆς τῶν ἀλλαχόσε κατοιχομένων· Τὰ γὰρ τοῦ Ἕκτορέως σώματος λείψανα, ἀπὸ Τροίας, ὅπου τὸ πρῶτον τέθαπτο, Θήβαζε ὕστερον, κατά τινα χρησμὸν, μετακομισθῆναι ἱστόρηται. (παρὰ Παυσαν. ἐν τοῖς Βοιωτ.)

Στίχ: 325. ΔΟΙΟΙΣ ΣΥΝ ΒΩΜΟΙΣΙΝ . . . . Διατὶ δὲ τοὺς Βωμοὺς ἐδίσευον; ἢ ὅτι τῷ ἀρτίῳ μάλιστα ἀριθμῷ οἱ ὑποχθόνιοι χαίρουσι· (φησὶ Σέρβ.) ὥσπερ οἱ οὐράνιοι τῷ περιττῷ. Ἦν δὲ τοῦτο ἓν τῶν Πυθαγόρου Παραγγελμάτων (Παρὰ Πλατ: εἰς Βί: Νεμᾶ.) τοῖς μὲν Οὐρανίοις περισσὰ θύειν

Ecquæ jam puero eſt amiſſæ cura parentis?
Ecqvid in antiquam, virtutem animoſque viriles
Et pater Aeneas, et avunculus excitat Hector?
Talia fundebat lacrymans, longoſque ciebat
Incaſſum fletus; cum ſeſe à mœnibus heros
Priamides multis Helenus comitantibus offert;
Agnoſcitque ſuos, lætuſque ad mœnia ducit,
Et multum lacrymas verba inter ſingula fundit.
Procedo, et parvam Trojam, ſimulataque magnis
Pergama, et arentem Xanthi cognomine rivum
Agnoſco, Scææque amplector limina portæ.
Nec non et Teucri ſocià ſimul urbe fruuntur.
Illos porticibus Rex accipiebat in amplis.
Aulaï iu medio libabant pocula Bacchi,
Impoſitis auro dapibus, pateraſque tenebant.
Jamque dies, alterque dies proceſſit, et auræ
Vela vocant, tumidoque inflatur carbaſus Auſtro.
His vatem aggredior dictis, ac talia quæſo:
Trojugena, interpres Divûm, qui numina Phœbi,
Qui tripodas, Clarii lauros, qui ſidera ſentis,
Et volucrum linguas, et præpetis omina pennæ,
Fare age: namque omnem curſum mihi proſpera dixit
Relligio, et cuncti ſuaſerunt numine Divi
Italiam petere, et terras tentare repoſtas.

Sola

❁ ❁ ❁

θύειν, ἄρτια δὲ τοῖς χθονίοις. Ἢ δύο, τὸν μὲν Ἀϊδονεῖ, τὸν δὲ Περσεφόνῃ ἢ τέως τὸν μὲν Ἕκτορι ἀνακεῖσθαι, τὸν δὲ τῷ ὑῷ Ἀχυάνακτι.

Στίχ: 327. . . . . ΤΕΡΑΤΩΝ Δ' ΕΠ' ΑΕΛΠΤΩΝ, Οὐ γὰρ Αἰνείας αὐτὸς, φάσμα δὲ καὶ εἴδωλον τὸ Αἰνείᾳ ἔδοξεν αὐτῇ παραστῶσαι, καὶ αὐτὸ ἤδη τυχὸν γενομένῃ ἐκ ζώντων, καὶ περὶ τινὶ τῶν καμόντων ἐπιμέλειαν χολαζέσῃ παρεσιάζοντος.

Στίχ: 334. . . . . ΑΡΑΙΩΙ ΦΟΕΓΜΑΤΙ . . . . Ἐκ διαλειμμάτων, φθέγξαθαί τι ἐθέλων, εἶτ ἄυθις ἀχανὴς μένων, οἷον ἐξεπηκὼς ἐφ' οἷς ἑώρα καὶ ἐνωτίζετο.

Στίχ: 340. ΕΚΤΟΡΟΣ ΑΝΔΡΟΜΑΧΗ . . . . . Μόλις γὰρ αὐτῷ πιστὰ εἶναι ἐδόκει, ἅττα περὶ αὐτῆς καὶ Ἑλένῃ προπέπυστο. (στίχ. 315. ἀνωτ.)

Στίχ: 341, . . . . . ΩΠΑ Θ' ΟΜΟΥ ΑΥΔΗΝ ΤΕ ΚΑΘΕΙΣΑ: Εἰς αἰδῶ χηματίζει τινὶ Ἀνδρομάχῃ, ἐντρεπομένῃ τῷ περὶ τῆς μετὰ ἀνδρὸς ἑτέρῳ ὁμιλίας διερωτήματι.

Στίχ: 342. Ω ΚΟΥΡΗ ΠΡΙΑΜΟΥ . . . . . Ὅρα ὅπως τινὶ ἐπ' εὐθείας πρὸς τὸ ἐρώτημα παρεκκλίνει ἀπάντησιν· πιυθανομένῳ γὰρ, ὅτινος ποτὲ ἀποίτη ἕσα ἀκέσεται, ἡ δὲ τινὶ Πολυξένῃ μακαρίζει τῷ λόγῳ, τινὶ ἐπὶ τῷ Ἀχιλλέως τάφῳ σφαγιασθεῖσαν, καὶ τὸ ἄνθος ἔτω τῆς ἀγνίας ἄθικτον ἐς τέλος τηρήσασαν. Πολυξένης γὰρ Ἀχιλλεὺς ἐραθεὶς, ἐν ᾧ νυμφεύεται ἐν τῷ Ναῷ τῷ Θυμβραίῳ Ἀπόλλωνος ὑπὸ Πάριδος δολοφονεῖται· ταφεὶς δ' ἐπὶ Τρόιας, φωνὴ ἀφίησιν ἐκ τῆ Τύμβῳ, ἐπισφαγιῶσαι οἱ τινὶ ἐρωμένῃ ἐξαιτέμενος, καὶ λαμβάνει, ὡς ἐνταῦθα ῥαψῳδεῖ ὁ ἡμέτερος. παρ' ἄλλοις γὰρ ἄλλως· τῶν μὲν, κατὰ τινὶ ἀντιπέρας Χερρόνησον, ἐπὶ τῷ ἐκεῖ δομηθέντος Ἀχιλλεῖ Κενοτάφῳ τινὶ Κύρῃ τυθῆναι καθιερεύντων· τῶν δὲ, αὐτὴν ἐκεῖσαν, ἅτε δὴ ἀντερῶσαν, τῷ ἐρασθῇ ἑαυτὴν διεργάσασθαι.

Στιχ:

Ἔκτορος Ἀνδρομάχη, ἦ Πύρρῳ ἦλθα ἀκοίτη;
Ἡ δ' ἀπαμείψατο, ὦπα ἰδυίη· ἐμῷ ἀνδρὶ τε καθεῖσα·
Ὦ κύρη Πριάμῳ πασῶν γε μακάρτατος οἴῃ,
Δηΐῳ ἦν τύμβῳ αὐτοῖς ὑπὸ τείχεσι Τροίης
Πέπρωτ' ἐκθανέειν, ἦτ' ἀ παλάχη κληρώθη,
Οὐδ' ἄρ ἐπὶ κρατέοντος ἔβη λέχος ἀντιόωσα.
Ἡμεῖς πιμπραμένης γε πάτρης πολλὰ διὰ πόντα
Ἀχθεῖσαι, φύτλης Ἀχιλῆος ἀλαζονίῃ τε,
Αἰζηῶ τ' ἔτλημεν ὕβριν πειθήνιοι· ὅς περ
Ἐκδοτος Ἑρμιόνῃ Ληδαίῃ, καί γ' ὑμεναίοις
Ἐκ Σπάρτης, δόλιῳ δόλῳ μ' Ἑλένῳ μεθέηκεν.
Ἀλλά μιν, ἀρθείσης ἀλόχοιο, φλοξὶν ἐρώτων
Ἠδὲ τ' Ἐριννύσι κάρτ' ἐπισεύμενος ἦτορ Ὀρέστης,
Πρὸς βωμοῖς πατρίοις ἀφύλακτον ἐόντα κατέκτα.

Τὼς

❋ ❋ ❋

Στίχ: 346. ΗΜΕΙΣ ΠΙΜΠΡΑΜΕΝΗΣ κτ: Ἑαυτὴν ταλανίζει Ἀνδρομάχη, ὡς χέτλια παθοῦσα, καὶ ἀπολογίαν ἅμα οἷόν τινα ὑπὲρ ἑαυτῆς παρενείρει, ὡς ἄρα οἵκτε μᾶλλον ἢ μομφῆς ἐπ ἀξία, τῆς μετὰ Πύρρου ὁμιλίας ἕνεκα, μηδαμῶς ἑκοῦσα, ἀλλ' ὑπ' ἀνάγκης ταῖς τῶ ἀλαζόνος αἰζηῶ ὀρέξεσι καθυπείξασα.

Στίχ: 349. . . . . ΕΡΜΙΟΝΗι ΛΗΔΑΙΗι· Τὰ συμβάντα ἐξῆς διέξεισιν, ἅπερ ἀνωτ. (στίχ. 315.) δηλθομεν. Ληδαίη δ' ἡ Ἑρμιόνη ἐπωνυμεῖται ὡς ἐκ τῆς μητρομήτορος. Ἐκ γὰρ Διὸς καὶ Λήδης Ἑλένη· ἐκ δ' Ἑλένης καὶ Μενελάου Ἑρμιόνη. (Ἀπολλόδ. Βιβλ. Γ. Κεφ: Ι'. καὶ ΙΑ'.)

Στίχ: 352. . . . . ΟΡΕΣΤΗΣ, Πύρρος γὰρ, μετὰ τὸν ἐκ τῆς Αἰχμαλώτου Ἀνδρομάχης αὐτῷ τεχθέντα Μολοσσὸν, ἔρωτι ἀλοὺς Ἑρμιόνης τῆς Μενελάου, καὶ περ Ὀρέστῃ προκατηγγυημένης τῷ Ἀγαμέμνονος, ὑπὸ τούτου ἐπιβουλευθεὶς ἐδολοφονήθη, ἐν ᾧ πρὸ τῶν βωμῶν ἕως τῶν Ἀπόλλωνος ἀπροφυλάκτως εἶχε, μηδὲν τοιοῦτον παθεῖν ὑφορώμενος.

Στίχ: 353. ΠΡΟΣ ΒΩΜΟΙΣ ΠΑΤΡΙΟΙΣ. . . . . Οἱ μὲν, οὓς Ἀχιλλεῖ Πύρρος ἵδρυσε τῷ γεννήτορι, πατρίοις ὁ Ποιητὴς ὧδε, φασὶ, καλεῖ· οἱ δὲ, ὅτι ὁ Πάτριος, ἀπὸ τῶν ἐπὶ τῆς Ἀχαΐας Πατρῶν πόλεως ἀκέεται Ἀπόλλων, ὡς καὶ Κιώθιος δὴ, καὶ Λύκιος, καὶ Θυμβραῖος ἄλλοθεν. Οἱ δ' ὅτι καὶ ἥλιος, ὃς ἐστὶν ὁ Ἀπόλλων, πατὴρ ἐστὶν ἁπάσης γενέσεως. Ἀλλ' ἐδὲν ὅτιμαι δέον ἔτω σκύλλεσθαι περὶ τούτου. Πατρίοις γὰρ βωμοὺς ἁπλῶς νοητέον τοὺς ἐν τῇ Ἑλλάδι, πρὸς ἀντιδιαστολὴν τῶν ἐν τῇ Τροίῃ, ἐν οἷς αὐτὸς Πύρρος ὁ γεννητωρ

Sola novum, dictuque nefas, Harpya Celæno
Prodigium canit, & triſtes denunciat iras,
Obſcenamque famem. Quæ prima pericula vito?
Quidve ſequens tantos poſſim ſuperare labores?
Hîc Helenus, cæſis primum de more juvencis,
Exorat pacem Divûm, vittaſque reſolvit
Sacrati capitis, meque ad tua limina, Phœbe,
Ipſe manu multo ſuſpenſum numine ducit.
Atque hæc deinde canit divino ex ore ſacerdos:
Nate Deâ (nam te majoribus ire per altum
Auſpiciis, manifeſta fides: ſic fata Deûm Rex
Sortitur, volvitque vices: is vertitur ordo)
Pauca tibi è multis, quo tutior hoſpita luſtres
Æquora, et Auſonio poſſis conſidere portu,
Expediam dictis: prohibent nam cæteta Parcæ
Scire Helenum, farique vetat Saturnia Juno.
Principio Italiam, quam tu jam rere propinquam,

Vici-

* * *

νήτωρ ὁμοίως ἀνήρηται· πάντα γὰρ παραπλησίως τῷ φωῒ συνέπεσεν, ὡς καὶ τῷ Φύσαντι· ἄμφω γὰρ δολοφονηθέντες πεπτώκασιν· ἄμφω δ' ἐπὶ Ὑμεναίοις αὐτοῖς τελευμένοις· ἄμφω δὲ πρὸς τοῖς βωμοῖς τοῖς γε τοῦ Ἀπόλλωνος. Ἀλλ' ὁ μὲν Ἀχιλλεὺς ὁ γενέτης πρὸς τοῖς ἀλλοδαποῖς, ὁ δὲ Πύρρος ὁ υἱὸς πρὸς τοῖς ἐπιχωρίοις τε καὶ πατρίοις.

Στίχ: 354. . . . . ΑΦΙΚΕΤΟ ΚΛΗΡΟΣ. Διὰ Μολοσσοῦ δηλονότι τοῦ ἐξ Ἀνδρομάχης, ἣν Ἕλενος, Πύρρου δεδωκότος, ἐγήματο. (Ἀνωτ: στίχ. 315.)

Στίχ: 356. ΧΑΟΝΙΗΝ . . . . . ΑΠΟ ΤΡΩΟΣ ΧΑΟΝΟΣ. . . . . Μέρος τῆς Ἠπείρου ἡ Χαονία, μέσον Θεσπρωτίας τε καὶ τῶν Κεραυνίων ὀρέων κειμένη, πάλαι μὲν Καμπανία κληθεῖσα, ἐχ ὅτι πεδινὴ, ὀρεινὴ γὰρ ἣν τἐναντίον· ἀπὸ δὲ Κάμπε τοῦ ἐν αὐτῇ βασιλέυοντος· ὕστερον δὲ Χαονία διὰ Χάονα, τὸν εἴτε ἀδελφὸν, εἴθ' ἑταῖρον, ὃν Ἕλενος ἐπὶ κωμηγεσίᾳ παρατοξεύσας ἄκων ἀνεῖλεν· οἱ δὲ ἄλλως, διὰ τὸ Χάονα ἑκόντα ἑαυτὸν ὁσιῶσαι, λοιμῷ τῆς χώρας ὀλεθρίῳ πιεζομένης, καὶ χρησμοῦ τινος τιὼ ὁσίωσιν ἀπαιτήσαντος.

Contorsit lævas proram Palinurus ad undas,
Lævam cuncta cohors remis, ventisque petivit.
Tollimur in cœlum curvato gurgite, et iidem
Subductâ ad manes imos descendimus undâ.
Ter scopuli clamorem inter cava saxa dedêre:
Ter spumam elisam, et rorantia vidimus astra.

Interea

❀ ❀ ❀

ὁ Μάρων ἐνταῦθα τὸν Παλινοῦρον, ταὐτὰ τῷ Ὀδυσσεῖ ποιοῦντα παρ' Ὁμήρῳ, Ὀδ. Ε'. 271. ἐπὶ τῆς Σχεδίας

„ . . . . Οὐχ οἱ ὕπνος ἐπὶ βλεφάροισιν ἔπιπτε,
„Πληϊάδας τ' ἐσορῶντι, καὶ ὀψὲ δύοντα Βοώτην,
„Ἄρκτον θ', ἣν καὶ Ἅμαξαν ἐπίκλησιν καλέουσιν,
„Ἥτ' αὐτοῦ στρέφεται, καὶ τ' Ὠρίωνα δοκεύει.

Στίχ. 542. ΧΡΥΣΑ'ΟΡΟΝ Τ' ΕΔΟ'ΚΕΤ' ΩΡΙ'ΩΝ' . . . . Περὶ τοῦ Ὠρίωνος ἄλις εἴρηται, ἐν τῷ Α'. τῆς Αἰν: στίχ. 579. Χρυσοῖς δὲ καθώπλισεν ὁ Ποιητὴς ὧδε τεύχεσιν, ὅτι ἐν τῷ καταστερισμῷ, ἥτε ζώνη αὐτῷ, καὶ τὸ ξίφος λαμπροτέροις κατηγλάϊσαι ἄστροις.

Στίχ: 544. ΔΗ'ΛΟΝ . . . . . ΣΗ'Μ' ΑΠΟ' ΠΡΥ'ΜΝΗΣ· Πυρσὸν δήπου ἄρας, Ἰλιῶ πρὸς τὸν ἔκπλεν διεσήμαινεν ἐυκαιρίαν. ἦν γὰρ ἔτι σκοτία, τοῦ Παλινούρου πρὸ μέσης νυκτὸς ἐξεγερθέντος. (στίχ. 538.)

Στίχ: 547. . . . . ΧΘΑΜΑΛΗ'Ν ΤΕ ὌΡΩΜΕΝ. Οὐχ ὡς τοιαύτη οὖσα ἡ Ἰταλία, χθαμαλὴ εἴρηται, ἢ εἰς νάπας τε, καὶ βένθη, καὶ ὄρη πολλαχοῦ κορυφούμενη· ἀλλ' ὅτι πόρρωθεν ἀναγομένοις ταπεινή τις ἐποπτάνεται πᾶσα γῆ· ὥσπερ δὴ τοὐναντίον, καὶ κατὰ βραχὺ ἐξαίρεσθαι οἷον δοκεῖ τοῖς καταγομένοις, καὶ ἔγγιον προσπελάζουσιν ὄθεν ἄνωτ: στίχ: 217. ἐλέγετο:

„Χθὼν δὲ τεταρταίω αἴρεθ' ἑνὶ ἤματι δόξεν.

Στίχ: 550. . . . . ΚΡΗΤΗ'ΡΑ ΣΤΕ'ΨΕ, (ὅρα ἐν τῷ Α'. τῆς Αἰν. στίχ. 773.)

Στίχ: 552. Ω' ΠΟ'ΝΤΟΙΟ ΘΕΟΙ', ΓΗ'Σ Θ', ΟΙ' Τ' ΑΝΕ'ΜΩΝ ΜΕΛΕ'ΟΝΤΕΣ. Σπένδων Θεοὺς Ἀγχίσης ἐπικαλεῖται, τοὺς θαλάσσης ἦν ἔπλει, τοὺς τῆς γῆς ἐφ' ἣν ἤξει, τοὺς τῶν ἀνέμων δι' ὧν εὐπλοήσει. Οὕτω καὶ τῶν ἐπὶ τῆς Ἀργοῦς ἀποπλεῖν μελλόντων, ὁ τῆς νεὼς Ἡγεμὼν Ἰάσων, (παρὰ Πινδάρῳ Πυθ. Εἰδ. Δ.)

„Χρυσέαν χείρεσσι λαβὼν Φιάλαν
„Ἤρχετο νῆα κατὰ πρύμνα, πατρὸς Οὐρανίδαν
„Ἐγχειρέραυνον Ζῆνα, καὶ ὠκυπόρους,
„Κυμάτων ῥιπὰς, ἀνέμων τ' ἐκάλει
„Νύκτας τε, καὶ πόντε κελεύθους κτ:

Στίχ.

Χρυσάορον τ' ἐδόκευ Ὠρίων' ὁπλοφορῶντα.
Ὡς δέ κατ' ὀρανὸν, εἶδεν ἅπαντα γαλήνι' ἐόντα,
Δῆλον δὴ πόρε σῆμ' ἀπὸ πρύμνης, οἱ δ' ἐπὶ νηυσὶ
Πλώειν ἀμβαλόμεσθ' οἷα πτερὰ λαίφε' ἀνέντες.
Ἠὼς δ' ὡς φάνθη ῥοδοδάκτυλος, ὤχετο δ' ἄξρα,
Τῆλε ἀμαυροτέρης βυνὸς, χθαμαλώ τε ὁρῶμεν
Ἰταλίδ'. Ἰταλίων πρῶτος δ' ἐπάϋσεν Ἀχάτης.
Ἰταλίων γηθεῦντες ἀνηπάξοντο δ' ἑταῖροι.
Εὐρὼ δ' Ἀγχίσης γενέτης κρητῆρα ςέψε,
Πλῆσεν δ' οἴνε, ςῆ δ' ἐπὶ πρύμνης θειοκλυτήσας:
Ὦ πόντοιο Θεοὶ, γῆς θ', οἵτ' ἀνέμων μεδέοντες'
Φέρτε ὁδὸν ῥάϊςιν τε ἀήτη, πνεῦτε δὲ ὄροι.
Καὶ δὴ ἱμερόεσσα γ' ἀέξετο αὔρα, λιμώ τε
Ἄγχι ἀνῴκτο, Νεὼς δ' ἐπὶ ἄκρίων ὤπτατ' Ἀθήνης.
Ἰςία δ' ἄρ ςείλαντες ἑταῖροι τράφθεν ἐπ' ἀκτὰς.
Κάμπτεται ἠῷον πρὸς κῦμα λιμὼ κατὰ τόξον,
Προβλῆτες δ' ἅλμης ῥαθαμίγγεσι πέτροι ἀφρῶσιν.
Ἐν δὲ λιμὼ τέχει διδύμῳ δ' ἀγκὰς καθιᾶσι
Πυργειδεῖς σκόπελοι· Νηὸς δ' ἀποχάζεται ἀκτῆς.
Πρώτιω ὅσσαν, δὶς δύο ἐν χλόῃ ἔδομεν ἵππες.
Εὐρύ γε κέροντας πέδον, ἀργεννὲς, χιονώδεις.
Ἀγχίσης γενέτης δὲ: μάχιω, Γῆ ξείνη, ἐνέγκεις'
Ἵππος ἐπὶ ὅπλον πολέμοιο, ἀπειλεῖ δῆριν.

Καμιὼ

❁ ❁ ❁

Στίχ: 555. . . . . ΝΕΩ'Σ Δ' ἘΠΙ' ΆΚΡΙω ΩΠΤΑΙ ΆΘΙώΗΣ. Πότερον δὴ ὁ Ναὸς ἰω̃ Ἀθιώης, ἢ γοιω̃ τὸ Ἀκρωτήριον, ἐπὶ τῷ ὀνόματι τῆς Θεᾶ κλειζόμενον; ἀμφιβολογεῖθαι γὰρ δοκεῖ ἡ ἑκάτερον; Ἀλλ' ἐκ τῆς Ἱςορίας ἐκ ἄδηλον, ὡς ἐπὶ τῆς Καλαβρίας, ἥτις Μεσσαπία πάλαι ἐκαλεῖτο, Ναὸς ἦν, Ἰδομενέος κτίσμα, ὃ Κάζρον νιῦ ὀνομάζεται.

Στίχ: 557. ΚΑ'ΜΠΤΕΤΑΙ Ἠ'ΩΙΟΝ ΠΡΟ'Σ ΚΥ'ΜΑ ΛΙΜΗ'Ν ΚΑΤΑ' ΤΟ'ΞΟΝ. Ὅνπερ ἐνταῦθα ὁ Ποιητὴς λιμένα τοπογραφεῖ, ἄδηλον ἡμῖν ὄντα, ὑπέλαβόντινες τὸν νιῦν εἶναι καλούμενον: Porto Venere. (l'Abbè Des-Fontaines, Γ. τῆς Αἰν: Σημ 48.)

Στίχ: 558. ΠΡΟΒΛΗ'ΤΕΣ Δ' Ἄ'ΛΜΗΣ κτ: Ταύτιω δ' ἔφητις εἶναι τιὼ καθ' Ὅμηρον ἄχνιω, ἣν ἀποπτύει τὸ κατὰ τὰς ἄκρας προσρηγνύμενον κῦμα. (Ἰλ: Δ. 426.) οὕτω δὴ καλεῖνται, τὸ χορτῶδες τῆς θαλάσσης ἀπόβλημα, τὸν ἀφρὸν, ὅπερ φῦκος φασὶν, ὡς ἡρμήνευσεν ὁ Δίδυμος.

Στίχ: 560. ΠΥΡΓΕΙΔΕΙ'Σ ΣΚΟ'ΠΕΛΟΙ . . . . . Ὡς εἶδος πόρρωθεν ἔχοντες πύργων ὑψηλῶν· οὐ γὰρ πυργοφόροι δηλονότι, ὡς πύργων αὐτοῖς ἐποικοδομηθέντων.

Στίχ: Αὐτ: , . . . . ΝΗΟ'Σ Δ' ΆΠΟΧΑ'ΖΕΤΑΙ Ἀ'ΚΤΗ'Σ. Οἷον ὑπαναχωρεῖ, φᾶναι, καὶ ἀπομακρύνεται. Ὀπτικὸν δὲ τὸ συμβαῖνον. Ἃ γὰρ καταγόμενοι τῆς θαλάσσης ἐχόμενα ἀπὸ τῶ πλοίω ὁρᾶν δοκῶσι, καταχθέντες ἤδη καὶ ὁρμισάμενοι ἐπὶ ποσὸν ἀπέχοντα, οἷαπερ εἰσὶ, καθορῶσι καταφανῆς ἐγγύθεν γινομένω τῇ ὄψει τῶ ἐγχωρούντος μεταξὺ διαςήματος.

Στίχ: 564 ΊΠΠΟΣ . . . ΌΠΛΟΝ ΠΟΛΕ'ΜΟΙΟ . . . Ἀρήιον γὰρ ὡς πολεμικὸν τὸ ζῶον· διὸ καὶ ἵππος Ἄρει ἐνομίζετο θύεθαι· ἐντεῦθεν αὖ καὶ δῆριν ἔικαζεν Ἀγχίσης ὑφορώμενος ἐπαπειλημένιω τῷ συγκυρήματι. Οὕτω κἀκ τῆς ἀνορυχθείσης ἱππέως κάρας τοῖς Τυρίοις ἐπὶ τῇ καταβολῇ Καρχηδόνος,

Interea ſeſſos ventus cum ſole reliquit;
Ignarique viæ Cyclopum allabimur oris.
Portus ab acceſſu ventorum immotus, et ingens
Ipſe, ſed horriſicis juxta tonat Ætna ruinis:
Interdumque atram prorumpit ad æthera nubem,
Turbine fumantem piceo, et candente favillâ:
Attollitque globos flammarum, et ſidera lambit:
Interdum ſcopulos, avulſaque viſcera montis
Erigit eructans, liquefactaque ſaxa ſub auras;
Cum gemitu glomerat, fundoque exæſtuat imo.
Fama eſt, Enceladi ſemuſtum fulmine corpus
Urgeri mole hâc, ingentemque inſuper Ætnam
Impoſitam, ruptis flammam expirare caminis;
Et, ſeſſum quoties mutat latus, intremere omnem
Murmure Trinacriam, et cœlum ſubtexere fumo.
Noctem illam tecti in ſylvis immania monſtra
Perferimus: nec, quæ ſonitum det cauſa, videmus.
Nam neque erant aſtrorum ignes, nec lucidus æthrâ
Sidereâ polus: obſcuro ſed nubila cœlo;
Et lunam in nimbo nox intempeſta tenebat,
Poſtera jamque dies primo ſurgebat Eoo.

Humen-

❁ ❁ ❁

*νος, παρὶῶ τεκμαίρεσθαι τὸ τῆς ἐσομένης πόλεως περὶ τὰς πολέμους ἐντρεχὲς καὶ δρασήριον.* (A. Alν: 486.) *καθ' ὃ ἔμελλε ποτὲ εἶναι* (Αυτ: στχ, 18.)

„. . . . . *Ἐς γ' ἐπὶ δήϊα ἔκδοτος ἔργα.*

Στίχ: 567. *ἜΣΤ' ἜΛΠΕΣΘΑΙ, . . . . . Οὕτως αἱ τοιαίδε τεκμηριώσεις, ἀμφίσροφοί τε τὰ πλεῖσα εἰσὶ, καὶ, ὡς φᾶναι, διφορεῖ, κατὰ τὰς ὑποτρεχούσας ὑπολήψεις εἰς διαφέροντα, ἢ καὶ ὑπεναντία τοῖς παρατηροῦσι περιτρεπόμενα. τῷ γὰρ τεκμηριῶντι γεροντίῳ ἵππος ὀπτανόμενος, ὡς ἄρα ἐν μάχαις δεξιῶς ἔχων, πολέμους ὑπέβαλε προμαντεύεσθαι, ἐπεὶ δὲ ὠδὲ πρὸς Γεωργίαν ἵππος ἐξὶν ἀχρηςῶν, εἰρωνικὰ παρεῖχεν ἐλπίζειν καὶ ἐπιεικῆ τὰ ἀποβησόμενα.*

Στίχ: 569. . . . . ΤΗΪΔ' ἘΥΆΖΟΝΤΕΣ ΠΡΩΤΗΙ. *Ἐπεὶ καὶ πρώτης αὐτῆς τὸν ἐπὶ τῆς ἄκρας ἱδρυμένον Νεὼν πόῤῥωθεν κατεῖδον.* (Ἀνωτ: στχ. 555.) *Ἄλλως τε δὲ καὶ ἐκ τῆς τῶν θεαθέντων συγκυρήσεως ἵππων, πολέμους ἐπιόντας παρὸν ὑφορᾶσθαι, εἰκὸς ἰῶ καὶ πρώτῃ ἐπευάσασθαι τῇ Παλλάδι· καὶ γὰρ* (εἰς Ὕμν. Ἀθ. ιω.)

„Καὶ αὐτῇ σιὼ Ἄρηϊ μέλει πολεμήϊα ἔργα,
„Περθόμεναί τε πόληες, ἀϋτήτε, πτόλεμός τε.
„Καὶ τε ἐρύσσατο λαὸν, ἰόντα τε, νισσόμενόν τε.

Στίχ: 570. ΚΡΆΤΑ ΔΈ ΠΡΌΣ ΒΩΜΏΝ ΣΚΈΠΟΜΕΝ κτ: *Περὶ μὲν τῆς τοιᾶς δὲ κατακαλύψεως, ἀνωτέρω* (στχ: 428.) *διείληπται. Τίνες δὲ βωμοὶ ἐπὶ τῶν νηῶν γένοιντο; ἤ, ἐκεῖσε βωμος ὅπε ποτ' ἂν θῦμα τελῆται.*

Στίχ: 572. . . . . ἈΡΓΕΪ́Η . . . . ἘΚΉΛΑΜΕΝ ΗΡΗΙ. *Τᾶτο γὰρ αὐτοῖς ἰσχυρῶς ὑπὸ Ἑλένῃ ἐντέταλτο·* (ἀνωτ: 460—463.) *Ἀργεία δ' Ἥρα ἐπιφημεῖται, ὅτι τὸ Ἄργος πόλις ἰῶ αὐτῇ φιλτάτη·* (Ιλ: Δ. 51) *διὸ καὶ ἔχαιρεν ἐξ αὐτῆς ὀνομάζεσθαι.* (Αυτ στιχ: 8) Ὅρα καὶ ἐν τῷ Α. Αἰν: στιχ. 19. 20.)

Στίχ: 575 ΓΡΑΙΚΟΓΕΝΏΝ ΟΙΚΉΣΙΣ ἈΛΕΎΝΤΕΣ . . . . *Κατὰ τὶὼ Ἑλένῃ ὑποθήκιω.* (Ἀνωτ: 421)

„Φεῦγε· τὰ γὰρ πάντα Γραικὸς Ἄρεα νωίει.

T/

Καμιλὼ τετράποδ', ἔθ' ὅτε, ταῦθ' ὑπὸ ἅρμασιν εἶκει.
Ἠδὲ χαλινὸς ἐν ξεύγλῃ τλᾶν σύμφρον' ἐθίζει·
Ἐς' ἔλπεθαι, ἔφη, εἰρώϊω ἔνθεν ἑταῖροι.
Τόφρα Θεῆς δ' ἀγνῆς ἱκέται γενόμεθ' οἱ πάντες,
Παλλάδος ὁπλοθρόα, τῇ δ' ἐυάζοντες πρώτῃ.
Κρᾶτα δὲ πρὸς βωμῶν σκέπομεν Φρυγίῃ ἐθῆτι.
Καδδ' ὑποθημοσώας, Ἕλενος τὰς δῶκε μεγίστας,
Ἥ δέον Ἀργείῃ θυόεντά γ' ἐκήαμεν Ἥρῃ.
Αὐτίκα δ' ἐυχωλὰς ὡς χρεὼ τελέσαντες τάς δε,
Ἀντία λαμφωτὰς ἀνερέψαμεν ἄντε κεραίας,
Γραικογενῶν οἰκήσις ἀλεύντες, ὑπόπτας τ' ἀγρὸς.
Ἡρακλείης ἔνθεν (ἑτὸν γ' εἰ τοῦτο) Ταράντα
Ὀπτάνεται μυχὸς, αὐτὰρ ἔδος το Λακίνιον Ἥρης.
Καυλῶνος τ' ἄκραι, ναυηγόν τε Σκυλακεῖον.

Q 2 Τῆλε

❁ ❁ ❁

Τί οὖν καὶ τιὼ ἀρχιὼ προσέχον; ἤ, ἵνα τῇ Ἥρᾳ ἐυξάμενοι θύσωσι· καὶ τοῦτο γὰρ Αἰνείᾳ προσεπετέτακτο. (στίχ. 427.)

„Καδδ' ἀκτὰς βωμοὺς στήσας γ' ἐυχὰς ἀποδώσῃς.

Ὃ δὴ καὶ γέγονεν· (στίχ. 571.)

„Αὐτίκα δ' ἐυχωλὰς ὡς χρὴν τελέσαντες τάς δε κτ:

Στίχ: 576. ΗΡΑΚΛΕΙΗΣ ΕΝΘΕΝ (ΕΤΟΝ Γ' ΕΙΤΟΥΤΟ) ΤΑΡΑΝΤΟΣ, Φάλας, φασὶν, ὄγδοος ἀπὸ Ἡρακλέους, τῶν παρὰ Λάκωσι Παρθενίας (σκύτιοι γὰρ ἦσαν) κληθέντας εἰς ἀποικίαν ἐξάγων, ἐπὶ Καλαβρίας, τῆς πρότερον Μεσσαπίας, προσέσχε. Τάραντον δ' ἐκεῖσε Πολίχνιω, ἢν Τάρας ὁ τοῦ Ποσειδῶνος, ἤ, ἄλλως αὐτοῦ Ἡρακλέους (καίτοιγ' ἐν οἷς τοῦ Ἥρωος Ἀπολλόδωρος (Βιβλ: Α'. Κεφ: Ζ.) καταλέγει υἱέσι, Τάρας εἰδεὶς ἐμφέρεται.) προϊδρυκὼς ἦν, σωώκισεν. Ἡ δὲ, εἰς πόλιν ἐπίσημον πλέτῳ καὶ διωάμει προαχθεῖσα τῷ χρόνῳ, Τάραντος Ἡράκλεια προσείρηται· τὸ μὲν ἀπὸ Τάραντος τοῦ Ποσειδῶνος, τὸ δὲ ἀπὸ τοῦ (κατ' ἄλλους) τοῦ Ἡρακλέους· διὸ καὶ ὁ Ποιητὴς τὸ. (εἴπερ ἀληθὲς) παρενθέμενος, ἔοικεν ὑπενδοιάζειν. Μέτιθι περὶ τούτου Παυσαν' ἐν τοῖς Φωκικοῖς: (Καὶ Στράβ. Γεωγρ. ς'.) Τὸ δέ τοι Τάραντον, ἢ τὰ Τάραντα, τιὼ Ἰταλίας ταύτιω Πολιν, Λακώνων Ἄξυ Πλίνιος (Φυσ' Ἱς. Βιβλ: Γ. Κεφ: ΙΑ.) ἀποκαλεῖ, καὶ Διονύσ. ὁ Περιηγητὴς στίχ: 377. καὶ ἄλλοι, ὡς ἀπὸ Λακεδαιμονίων κτισθὲν. Καὶ Τάρας δὲ ὁ Ποταμὸς ὁμώνυμος παρὰ θάλασσαν. (Στέφ. Βυζ.) ᾗ ὁ πολίτης Ταραντῖνος, καθὰ ᾗ ὁ Κέλπος.

Στίχ: 577. . . . . ΛΑΚΙΝΙΟΝ , . . . . . ΗΡΗΣ. Βρεττίας ἦν ἀκρωτήριον τὸ Λακίνιον, πρὸς Μεσημβρίαν Κρότωνος, ἀπὸ Λακινίου κληθὲν Ἄνακτος, ἢ ληΐσῆρος, ὃν Ἡρακλῆς ἀνελὼν, νεὼν ἐνταῦθα ἐφ' ἁγνισμῷ ἐγείρας τῇ Ἥρᾳ ἀνέθετο· ἐξ οὗ καὶ Λακινιὰς ἡ Θεὸς, κατὰ τὸν ἡμέτερον ἐνταῦθα, Diva Lacinia: ὡς καὶ κατὰ τὸν Περιηγητὴν Διονύσιον:

„Ἔνθακεν αἰπιὼ ἴδοιο Λακινιάδος δόμον Ἥρης.

Θαυμαστὸς δέ τις λῆρος περὶ τοῦ Ἡρείου τούτου τεθρύλλητο, ὡς ἄρα τῶν ἐν ταῖς σιδηραῖς πλαξὶ τῆς τοῦ Νεὼ στέγης τὸ ἑαυτῶν ὄνομα ἐπιχαρασσόντων, περιόντων μὲν ἔτι τῷ βίῳ, τὸ γράμμα φαίνοιτο διασωζόμενον καὶ ἀναγινώσκοιτο, ἀποιχομένων δὲ ἐξίτηλον γίγνοιτο. Τὸ γοιῶ Ἀκρωτήριον ἔκ τινων τοῦ Ἡρείου περιλειπομένων κιόνων, παρ' Ἰταλοῖς ὕστερον ὠνόμασται: Il Capo delle Colonne.

Στίχ: 578. ΚΑΥΛΩΝΟΣ Τ' ΑΚΡΑΙ . . . . . Ἡ Καυλωνία, (ἢ Αὐλωνία ὡς εἰρῆσθαι πάλαι, ἐξ Ἑκαταίου ὁ τῶν ἐθνικῶν ἱστόρησε Συγγραφεὺς) Καλαβρίας ἦν ἄκρα, καὶ ἐπ' αὐτῆς Ἄξυ, κτίσμα Λοκρῶν. ἢ Καυλῶνος υἱὸς Κλίτης τῆς Ἀμαζῶνος. Καυλωνίας δὲ καὶ Στράβων μέμνηται ἐν τῷ ς'. τῶν Γεωγραφικῶν.

Στίχ:

Humentemque aurora polo dimoverat umbram:
Cum ſubito è ſylvis, macie confecta ſuprema,
Ignoti nova forma viri, miſerandaque cultu
Procedit, ſupplexque manus ad littora tendit.
Reſpicimus: dira illuvies, immiſſaque barba,
Conſertum tegmen ſpinis: at cætera Grajus,
Et quondam patriis ad Trojam miſſus in armis.
Iſque ubi Dardanios habitus, et Troïa vidit
Arma procul; paulum aſpectu conterritus hæſit,
Continuitque gradum: mox ſeſe ad littora præceps
Cum fletu precibuſque tulit. Per ſidera teſtor,
Per ſuperos, atque hoc cœli ſpirabile lumen;
Tollite me, Teucri, quaſcunque abducite terras:
Hoc ſat erit. Scio me Danais è claſſibus unum,

Et

❁ ❁ ❁

Στίχ: Αὐτ: . . . . - ΝΑΥΤΗΓΌΝ ΤΕ ΣΚΥΛΑΚΕΊΟΝ. Διακριτέον τῷ ἐν τῷ Σικελικῷ πορθμῷ ἀπὸ τῆς Σκύλλης κληθέντος Σκυλλαίου, τὸ ἐπὶ τῆς Βρεττίας Σκυλάκιον, ἢ Σκυλλήτιον, ὡς πρότερον ἐλέγετο κατὰ Στράβωνα, (Βιβλ. ϛ'. Γεωγρ.) Ἦν δὲ κόλπος τοῦτο Βρεττίων, καὶ πόλις ἐν τῷ Κόλπῳ ὁμώνυμος, τοῖς πλέουσιν ἐπισφαλής, ἔνθα καὶ Ὀδυσσέα φέρουσι ναυαγήσαντα τὴν πόλιν συνήσασθαι μετὰ τὸ Ναυάγιον. Καί περ ἄλλοι κτίσμα ταύτην Ἀθηναίων φασὶν, ὑπὸ τῶν περὶ Μνηθέα εἰκοδομηθεῖσαν ἐκ Λιβύης ἀναπλευσάντων. Σεσημείωται δ' ἐνταῦθα τῆς Ἰταλικῆς ἠπείρου εἶναι τὸ ϛενώτατον, Μιλλιαρίοις εἴκοσι, ἤτοι ϛαδίοις ἑξήκοντα πρὸς τοῖς ἑκατὸν διῆκον ἀπὸ θαλάσσης εἰς θάλασσαν.

Στίχ: 579. . . . . ΤΡΙΝΆΚΡΙΟΣ . . . . ΑΊΤΝΗ. Διαβόητος ἡ Αἴτνα τὸ ὄρος, τὸ ἐπὶ τῆς Ἀνατολικωτέρας πλευρᾶς τῆς Σικελικῆς Νήσου, ἀπὸ πεντακοσίων ἔγγιϛά πως ϛαδίων περιμέτρου τῷ βάσιν ὑψόμενον, ἐκ δὲ τῆς κορυφῆς καπνὸν ἀναδιδὸν γνοφώδεις, καὶ φλόγας δὲ πολλάκις ἐξαισίους, καὶ πυρὸς ῥεύματα ἐξερευγόμενον· Οὗτος ὁ πρῶτος καὶ μέγιϛος ἦν τῶν ἐπὶ τῆς Εὐρώπης παλαι κρατήρων. Ἰταλοὶ δὲ τὸν Αἴτναν καὶ νῦν καλοῦσι Mon-gibel: τὸ μὲν ἀπὸ τῆς ἰδίας φωνῆς, τὸ δ' ἀπὸ τῆς Ἀραβων, τῶν ποτὲ τῆς χώρας κρατησάντων, ἐπονομάζοντες. Σωΐϛη δὲ κατὰ πλεονασμὸν τοὔνομα σωτεθὲν: Mons γὰρ Λατινιϛὶ τὸ ὄρος, Gibel δὲ, ἢ Gebel, Ἀραβιϛὶ. Ὡς εἴτις εἴποι: τὸ ὄρος Γεβάλ. (Ὄρος-ὄρος·) Χυδαϊκώτερον δὲ παρὰ τοῖς ἐπιχωρίοις καὶ Val di Demona ἡ Αἴτνη προσέρρηται· (Κοιλὰς Δαίμονος, ἢ Δαιμονώδης.) ὅρα καὶ τοῖς Γεωργ. Α, στίχ. 541.

Στίχ: 580. ΚΑΊ ΣΤΟΝΑΧἨ ΠΕΛΆΓΟΥΣ . . . . . Ὑπὸ τῆς τῶν κυμάτων δηλ: βίας, τῶν ἐπὶ τὰς προβλήτιδας ἀκτάς τε καὶ πέτρας σφοδρῶς ἐπαρασσομένων. Ὡσαύτως οἰῶ παρ' Ὁμήρῳ ὑπερβάντες τὰς Σειρίωνας κατεθρόησαν καὶ οἱ περὶ τὸν Λαέρτα. (Ὀδ: Μ. στίχ. 201.)

„Ἀλλ' ὅτε δὴ τὴν νῆσον ἐλείπομεν, οὐτὶ ἔπειτα
„Καπνὸν καὶ μέγα κῦμα ἴδον, καὶ δεῖμα ἄκουσα·
„Τῶν δ' ἄρα (ἑταίρων) δεισάντων ἐκ χειρῶν ἔπτατ' ἐρετμά.
„Βόμβησαν δ' ἄρα πάντα κατὰ ῥόον. . . . . .

Στίχ: 582. ΣΎΡΤΕΙΣ ΔἘ ΨΑΜΆΘΟΙΣ ΖΕΊΟΥΣ̓ ΑΝΆΜΙΚΤΟΙ ΒΡΆΣΣΟΝ. Ζέει γάρπως ἡ θάλασσα τὰς ἐκ βάθους ψάμμους συγκυκῶσα τε καὶ σιωναχέουσα, ὅθεν οἶμαι καὶ ἡ ζάλη, οἱονεί τις ἁλὸς ζέσις οὖσα· οὐ γὰρ μόνον ζάλη ἡ τῶν μεγάλων ἀνέμων συῤῥοφὴ καθ' Ἡσύχιον„ ἀπὸ τοῦ σφύδρα ἁλίζεσθαι καὶ συῤῥέφεσθαι, ἀλλὰ καὶ ἡ συῤῥοφὴ, καὶ ὁ συρμὸς τῶν ὑδάτων ἐν Σύρτεσι, καὶ ἐν θαλάσσῃ δὲ ὁμοίως, παρὰ τὸ ζέειν τὸν ἅλα, ὡς εἴρηται.

Στίχ:

Τῆλε δὲ ἐξ ἀλόθεν καὶ Τρινάκριος ὤπτετο Αἴτνη.
Καὶ ϛοναχὴ πελάγευς δ' ἠκέετο, κοπτόμεναί τε
Πέτραι, καὶ κελάδῳ μέγα ἀκταὶ ἠχήεσσαι·
Σύρτεις δὲ ψαμάθοις ϛείβσ' ἀνάμικτοι ἔβρασσον.
Ἀγχίσης δὲ πατὴρ: κείνη ἄρα ἦδε Χάρυβδις·
Τὰς δ' Ἕλενος σκοπέλας, τάς δ' ἔννεπε πέτρας.
Εἰρύσατ' ὦ φίλοι· αἶψα δ' ὁμῶς ἔγρεσθε ἐπ' ἐρετμά.
Οἱ δὲ μάλ' ὀτραλέως ἀπέρχον. Πρῶτος δ' ἰάχησαν
Λαιάδ' ἀνὰ ϛρέψεν Παλινοῦρος κύματα πρώρῃ.
Ἤρμεθ' ἐς οὐρανὸν ὡς δίνη κυρτῶτο, ἰδ' ἄυθις,
Ἔυθ' ὑπεχώρει κῦμα, κατήγμεθα ἄχρις ἐς ᾅδα.
Τρὶς σκόπελοι φωνῇ κοίλων πετρῶν ἀπὸ ῥῆξαν,
Τρὶς τ' ἀφρὸν ἐκθλιφθέντα ὀπώπαμεν, ἔνδροσα δ' ἄϛρα.
Τόφρα σῳ ἠελίῳ λίπε κεκμηῶτας ἀήτης.
Οἱ δ' ὁδῷ ἀγνῶτες Κυκλώπων κέλσαμεν ὄροις.
Ἔνθα λιμῇ εὐρὺς ῥιπαῖς ἀνέμων ἀτρεμίζων,

Τῷ

❁ ❁ ❁

Στίχ: 587. ΛΛΙΑ΄ Δ' ΑΝΑ΄ ΣΤΡΕ΄ΨΕΝ. . . . Ὥϛε παρεκλῖναί τε ϗ διεκφυγεῖν τὲς ἐκ δεξιῶν παρὰ τὰς Σικελικὰς ἀκτὰς πρέπτες κινδυνους. (Ὅϛα καὶ ϛίχ. 455.)

Στίχ: ϛ590. ΤΡΙΣ ΣΚΟΠΕΛΟΙ ΦΩΝΗΝ.
ϛ591. ΤΡΙΣ Τ' ΑΦΡΟΝ ΕΚΘΛΙΦΘΕΝΤΑ. . . . Οὐδὲν κωλύει ἀορίϛως καίτοιγε ταῦθα τὸ τρὶς ἐκλαβέϛθαι, ὡς καὶ ἐν ἄλλοις. (Ἀνωτ: Σημ. ϛίχ. 446.) καὶ φωνῇ δὲ τινὶ ἐκ τῶν σκοπέλων ἀκοῦσαι, ἣν ὁ Μάντις προανεφώνησε. (ϛίχ. 456.) καὶ τινὶ τριττῷ δὲ ἔκθλιψιν τοῦ ἀφροῦ εἰς ὕψος, ἀντὶ τῆς τρὶς εἰρημένης ἀναβρασθήσεως νοῆσαι, ἢ ἐκείνη παραπλησίας.

Στίχ: 592. ΤΟΦΡΑ ΣΥΝ ΗΕΛΙΩι κτ: Τὲς ἀνέμες ὑπὸ τοῦ ἡλίου, ποτὲ μὲν κινεῖϛθαι, ἢ ἐπιτείνεϛθαι, ἢ κοπάζειν, ἐξ αὐτῆς τῆς πείρας οἱ μετεωρολογοῦντες διδάϛκονται. Ταυβμάννος δὲ, ϗ Ἄρις: ἐν τῷ Β΄. τῶν Μετεώρων ἐπάγεται μάρτυρα.

Στίχ: 593. ΟΙ Δ' ΟΔΟΥ ΑΙΓΝΩΤΕΣ, ΚΥΚΛΩΠΩΝ ΚΕΛΣΑΜΕΝ ΑΚΤΑΙΣ.
Οὐ γὰρ ἂν εἰδότες παρὰ τὲς ἀθρωποφάγες ἑκόντες προσέκελσαν Κύκλωπας, ὧν περὶ Αἴτνιν τὸ ὄρος, ἡ οἴκησις γενέϛθαι παρὰ τοῖς πλείϛοιν ὑποτίθεται. Τὲς μὲν οὖν Κύκλωπας μετὰ τὲς Ἑκατόγχειρας Οὐρανῷ ἐμυθεύθη ἡ Γῆ τεκνώϛασα, Ἄργην, Στερόπην, Βρόντην· ὧν ἕκαϛος εἶχεν ἕνα ὀφθαλμὸν ἐπὶ τοῦ μετώπε. (Ἀπολλόδ. Βιβλ. Α. Κεφ: Α΄.) Αὐτὲς δ' Οὐρανὸς δήϛας εἰς Τάρταρον ἔρριψε, Τιτᾶνες δ' ἀνήγαγον. Καὶ Κρόνος δὲ, τῷ Ταρτάρῳ δήϛας αὐτὲς καθεῖρξε, Ζεὺς δὲ πάλιν ἔλυϛε. Καὶ Κύκλωπες τότε Διὶ μὲν διδόαϛι βροντὴν καὶ ἀϛραπὴν, καὶ κεραυνὸν· Πλούτωνι δὲ Κυνέην· Ποσειδῶνι δὲ Τρίαιναν. (Αὐτ: Βιβλ: Α. Κεφ: Β.) Ἐπεὶ δὲ Ζεὺς ἐκεραύνωϛεν Ἀϛκληπιὸν, ὡς ϗ μόνον κωλύοντα τινὰς ἀποθνήϛκειν, ἀλλὰ καὶ ἀποθανόντας ἐνίες ἀνεγείροντα, ὀργισθεὶς διὰ τοῦτο Ἀπόλλων κτείνει Κύκλωπας, τὲς τὸν Κεραυνὸν Διὶ κατασκευάσαντας. (Αὐτ: Βιβλ: Γ. Κεφ: Γ΄.) Τοιαῦτα καὶ Ἡσίοδος περὶ Κυκλώπων (Θεογ. ϛίχ. 139 — 146.) Ἀλλ' οὗτοι μὲν οἱ κατὰ τὸν Μυθικὸν Θεογονίαν Κύκλωπες εἰϛὶν. Οἱ δὲ περὶ ὧν ἐνταῦθα λόγος, οἱ τὰ περὶ τὸν Αἴτναν τὸ ὄρος πάλαι οἰκοῦντες ὑπῆρχον, ὡς ἄρισα Χρις. Γ. Εὐνίῳ σεσημείωται· (ἐν Α. τῶν Ἀπολλοδ. Κεφ: Α΄.) γένος δὲ ἀγροικίαν τε καὶ θηριωδίαν ἐπίϛημον. Οὓς καὶ Ὅμηρος ἐν Ὀδυσσείᾳ εἰσάγει, καὶ ἐξ αὐτοῦ οἱ περὶ τὸν ποιητὴν, τὲς μακρῷ ἐκείνων διαφέροντας. Περὶ ὧν τάτων ϗ ἡμῖν (ἐν τοῖς Γεωργ. Βιβλ: Δ ϛίχ. 209.) ἀρηταίτι. Ἀλλ' Ὅμηρον μετιτέον, τά κατ' αὐτὲς πληρέϛατα διεξερχόμενον. Ὀδυσ. Ι. ϛίχ. 106—141.

Et bello Iliacos fatèor petiiſſe penates.
Pro quo, ſi ſceleris tanta eſt injuria noſtri,
Spargite me in fluctus, vaſtoque immergite ponto.
Si pereo manibus hominum, periſſe juvabit.
Dixerat, Et genua amplexus, genibuſque volutans
Hærebat: Quis ſit, fari, quo ſanguine cretus,
Hortamur; quæ deinde agitet fortuna, fateri.
Ipſe pater dextram Anchiſes, haud multa moratus,
Dat juveni, atque animum præſenti pignore firmat.
Ille hæc, depoſitâ tandem formidine, fatur:
Sum patriâ ex Ithaca, comes infelicis Ulyſſi,
Nomine Achemenides, Trojam, genitore Adamaſto
Paupere (manſiſſetque utinam fortuna!) profectus.
Hic me, dum trepidi crudelia limina linquunt,
Immemores ſocii vaſto Cyclopis in antro,
Deſeruere. Domus ſanie, dapibuſque cruentis,
Intus opaca, ingens: ipſe arduus, altaque pulſat
Sidera (Dii talem terris avertite peſtem)
Nec viſu facilis, nec dictu affabilis ulli.
Viſceribus miſerorum, & ſanguine veſcitur atro.
Vidi egomet, duo de numero cum corpora noſtro,
Prenſa manu magnâ, medio reſupinus in antro,

Fran-

❁ ❁ ❁

Στίχ: 595—601. ΤΟΥ̃Δ' ΑΙΧΟΥ̃ ΔΕΙΝΑ'Σ κτ: Ὡς ἄρισά τε καὶ γεραϊκώτατα ἐν ἑπτὰ τοῖς ἐφεξῆς ἔπεσιν ὁ Μάρων τὰ περὶ τοῦ Αἴτναν πάθη ὑπετυπώσατο. Ἀλλ' εἰδὼν ἴσως χεῖρον ταῦτα καὶ Πινδάρε ἀκέσαι πρὸς λύραν ᾄδοντος· (Πυθ. Εἰδ. Α.)

Νιφόεσσ' Αἴτνα πάνετες
Χιόνος ἐξείας τιθήνα·
Τᾶς ἐρεύγονται μὲν ἁπλᾶτε πυρὸς ἀγνόταται
Ἐκ μυχῶν παγαὶ ποταμοὶ
Δ' ἀμέραισι μὲν προχέοντι ῥόον καπνῷ
Αἴθωνα· ἀλλ' ἐν ὄρφναισι πέτρας
Φοίνισσα κυλινδομένα φλὸξ ἐς βαθεῖαν φέρει πόντε πλάκα σιὼ πατάγῳ.
Κεῖνο δ' Ἀφαίστοιο κρανὲς ἑρπετὸν
Δεινοτάτες ἀναπέμπει. Τέρας μὲν θαυμάσιον προσιδέσθαι, θᾶυμα δὲ καὶ παριόντων ἀκέσαι.

Στίχ: 602. ΦΗ'ΜΗ ΈΓΚΕΛΑ'ΔΟΙΟ ΔΕ'ΜΑΣ κτ: Ἐν ᾧ ἐπὶ τῆς Γιγαντομαχίας ἄλλος ἄλλον τῶν Γιγάντων Θεὸς μετῆει, καὶ Ζεὺς μὲν Πορφυρίωνα ἐκεραύνωσε, Ἀπόλλων δ' Ἐφιάλτε τὸν ἀριστερὸν ὀφθαλμὸν κατετόξευσεν, Εὐρυτον δὲ Διόνυσος ἀπέκτεινε, Κλύτιον δὲ Ἑκάτη, ἢ Ἥφαιστος ἔβαλε μύδροις Ἐγκελάδῳ τότε τῷ Γῆς καὶ Ταρτάρου, Ἀθηνᾶ, φεύγοντι Σικελίας ἐπέρριψε ἐπὶ Νῆσον. (Ἀπολλοδ. Βιβλ. Α. Κεφ. ς.) Ἐκ τότε ἐν τῷ Ἐγκελάδῳ ὧδε δαμέντος, καὶ ὑπὸ τοσῶνδε ὄγκων πιεζομένου, ἠμιφλέκτου τε κατακειμένου, καὶ νῦν μὲν τόνδε, νῦν δὲ τῶν ὤμων τὸν ἕτερον ὑποσαλεύοντος ἢ ὑποσείοντος διὰ τὸ ἐπιβρῖθον ἄχθος, βύθιόν τε ξενάζοντος, καὶ φλόγας ἐκπνέον-

Τᾷ δ' ἀγχᾷ δεινὰς βροντὰς ἀπερύγεται Αἴτνη.
Ἤ τοτὲ μὲν νεφέλιω ἐκρήγνυσ' ἀχλυόεσσαν,
Δίνῃ ἑλισσομένῳ καπνώδεϊ αἰθαλοέσσῃ,
Γλώσσας τε φλογέοις λιχμᾶται ὑπέρτατα ἄστρα·
Ἄλλοτε δὲ σκοπέλους, καὶ ἀνάσσας ἔγκατα πέτρους
Ἐξαπερυγομένη, μυδρώδεις λᾶας ἀναείρει,
Στρομβεῖ τ' ἠερίῳ σονάχῳ, μυχόθεν δ' ἐκπέμπει.
Φήμη Ἐγκελάδοιο δέμας ψολόεντι κεραυνῷ
Ἡμιπαγὲς δεδμῆσθ' ὑπένερθ' ὄγκᾳ τοσσᾶδε·
Τῶς δ' Ἄτνιω μεγάλιω ἢ βρίθει ὕπερθεν ἑᾶσα,
Πῦρ διαπνεῖν ῥηγμῖσι καμίνων· ἔντε δ' ἐκεῖνος
Κεκμηὼς ὑπὸ ἄχθος ἀμείβει θάτερον ὦμον,
Τῆμος Θρινακίῃ πᾶσαν τρομέειν βρομέεσσαν,
Καπνῷ δ' αἰθαλόεντι πόλον κατὰ πάντα καλύπτειν.
Νυκτός δ' ὑλαίαις σκιωῇντες ἐρέψεσι κείνης,
Ἄγρια ἄττα πέλωρ' ἀνέτλημεν, δεινά τε πολλά,
Οὐδ' ὅ, τι θρῆν τοσσόνδε παρείχετο ἢν κατιδέσθαι.
Οὐδὲ γὰρ ἀστρῶον σέλας, οὐδ' αἰθὴρ ὑπέφωσκεν·
Ἀχλὺς δ' οὐρανὸν εἶχε· καὶ αὐτῆς τόφρα Σελήνης
Νύκτα δι' ὀρφναίῳ νεφέεσσι καθείργνυτο φέγγος.



❁ ❁ ❁

πνέοντος, τὰ περὶ τιὼ Αἴτνιω συμβαίνοντα ὁ Ποιητὴς ὑπογράφει τὸν τῆς Γῆς τιναγμόν τε καὶ κλόνον, τὸν ἐξηχοῦντα μυκηθμόν τε καὶ γόον, τὸν ἐκθρώσκοντα γνοφώδη καπνόν, τὸ ἐκ τοῦ κρατῆρος ἀναδιδόμενον πῦρ. κτ: τῷ περιαδομένῳ μύθῳ τὰ ἐκ τῆς φύσεως περιαμπέχων συμπτώματα. Σημείωσαι δε, ὅτι Πίνδαρος ἀντὶ Ἐγκελάδου ταῖς Αἰτναίαις φλοξὶν ὑπέθηκε Τυφωέα· (Πυθ. Εἰδ: Α'.) καὶ Αἰσχύλος δὲ ἐν Προμηθεῖ, ὡσαύτως· οἷς ἐν μέρει σωτηθέται καὶ Ἀπολλόδωρος, ὥσπερ ἀνωτέρω Ἐγκελάδῳ, οὕτως ἐν τέλει τοῦ ς'. Κεφ. Τυφωεῖ (ὃν Τυφῶνα ὀνομάζει) τὸ ἐν Σικελίᾳ τῆς Αἴτνης ὄρος ἐπιῤῥίψαι τὸν Ζῆνα μυθολογῶν. Ἀλλ' ὁ ἡμέτερος τῷ Ὀρφεῖ ἔοικε παρακολεθῶν, τῷ τιὼ Τριγλώχινα Σικελίαν Ἐγκελάδοιο Νῆσον ἀποκαλέντι. (Ἀργοναυτ: στιχ. 1248.)

„Αὐτὰρ ἐπεὶ Λιλύβαιον ἐπέσχομεν, ἠχέτα πορθμὸν
„Τριγλῶχινά τε νῆσον ἐπέσχομεν, Ἐγκελάδοιο
„Αἰτναίῃ φλοξὶ σφίν ἄρ' ἐρητύει μεμαῶτας.

Καθάπερ οὕτω καὶ ὁ Καλαβρὸς (Παραλ: Ε'. στιχ. 639.)

„Οἷος πὲρ τὸ πάροιθε Διὸς στονόεντι κεραυνῷ
„Ἐγκέλαδος δέδμητο κατ' ἀκαμάτοιο θαλάσσης,
„Θρινακίης ὑπένερθεν, ὅλη δ' ὑπετύφετο νῆσος.

Στίχ: 609. ΝΥΚΤΟΣ Δ' ΥΛΑΙΑΙΣ. . . . ΕΡΕΨΕΣΙ. . . . οὐκουν τῶν νηῶν ἀποβάντες, καὶ τῶν ἐν τῇ ὕλῃ δένδρων σκιωποιήσαντες· πῶς γὰρ ἂν ἐν ὕτῳ φρικώδεσιν ἀπεθάῤῥησαν; ὑπὸ δὲ ἀγκῶνί τινι τῶν ἐκεῖσε, σωτηρεφεῖτε καὶ καταπύκνῳ ὑφορμισάμενοι, καὶ τιὼ χαλεπιὼ ἐκείνιω νύκτα διαγαγόντες.

Στίχ: 612. ΟΥΔΕ ΓΑΡ ΑΣΤΡΩΝ ΣΕΛΑΣ κτ: Παραπλήσια τοῖς περὶ τὸν Ὀδυσσέα ἐκεῖσε καταχθεῖσι συμβαίνει. Ὀδυσ. Ι. στιχ. 142.

„Ἔνθα κατεπλέομεν. . . . . .
„Νύκτα δι' ὀρφναίιω. ἐδὲ προὔφαινετ' ἰδέσθαι.
„Ἠὲρ γὰρ παρὰ νησὶ βαθεῖ ἦν, ἐδὲ Σελήνη
„Οὐρανόθεν προὔφαινε· κατείχετο γὰρ νεφέεσσιν.

Στίχ.

Frangeret ad ſaxum, ſanieque aſperſa natarent
Limina: vidi, atro cum membra fluentia tabo
Manderet, & tepidi tremerent ſub dentibus artus.
Haud impune quidem: nec talia paſſus Ulyſſes,
Oblituſve ſui eſt Ithacus diſcrimine tanto.
Nam ſimul expletus dapibus, vinoque ſepultus,
Cervicem inflexam poſuit, jacuitque per antrum
Immenſus, ſaniem eructans, ac fruſta cruento
Per ſomnum commiſta mero: nos magna precati
Numina, ſortitique vices, unà undique circum
Fundimur, & telo lumen terebramus acuto,
Ingens, quod torvâ ſolum ſub fronte latebat,
Argolici clypei, aut Phœbeæ lampadis inſtar;
Et tandem læti ſociorum ulciſcimur umbras.
Sed fugite ô miſeri, fugite, atque ab littore funem
Rumpite.
Nam qualis, quantuſque cavo Polyphemus in antro
Lanigeras claudit pecudes, atque ubera preſſat,
Centum alii curva hæc habitant ad littora vulgo
Infandi Cyclopes, & altis montibus errant.
Tertia jam lunæ ſe cornua lumine complent,

Cum

❀ ❀ ❀

Στίχ: 618. ΑΓΝΩΣ ΕΙΔΟΣ ΑΝΗΡ κτ: Οὐχ ἕτως ἀγνὼς, ὡς μὴ γνωσκόμενος ὅς τις εἴη, ἀλλὰ τὸ εἶδος, φησὶ, τετέριν ἐξηλοιωμένος τιὼ ἕξω μόρφωσιν ἐκ τῆς κακεξίας καὶ ταλαιπωρίας τοσῦτον, ὥτε μηδὲ ῥαδίως διακρίνεθαι ἔχειν, πόῤῥωθεν ὀφθεὶς, εἴτε θηρίον, εἴτ' ἄνθρωπος. Διὸ καὶ προσέθετο: nova forma: (καινὸν εἶδος.)

Στίχ: 621. . . . ΕΝ ΡΑΚΙΟΙΣΙΝ ΑΚΑΝΘΑΙ. Διέτριβε γὰρ ἐνδιατώμενος ἐν ἀκανθώδεσι λόχμαις, ὡς θήρ τις τῶν ἀγροτέρων, ἐξ ὧν ὤφθη ἐξέρψας.

Στίχ Αυτ. . . . Τ' ΑΛΛΑ ΔΕ ΕΛΛΗΝ, Παρὶῶ δὲ τεκμήρασθαι, ἐκ τῆς ἐθῆτος, ἐκ τῆς πτοήσεως, ἐκ τῆς ἱκεσίας.

Στίχ: 624. . . . . ΕΔΕΙΣΕ ΤΟ ΠΡΩΤΟΝ, ΠΑΥΡΟΝ ΙΔ' ΕΣΤΗ, Ἡ μεταξὺ ῥάσις, ὑποπτέυοντός τε καὶ ὑπελυνύοντος ἐμαρτύρει τὸ δέος.

Στίχ: 627. . . . ΠΡΟΣ ΤΟΥΘ' Ο ΠΝΕΙΟΜΕΝ ΟΥΡΑΝΙΟΝ ΦΩΣ. Διὰ γὰρ τῆ ἀπ' ἠρανέθεν ὡς ἡμᾶς καὶ πάντα τὰ ὑπὸ σελιώιω διαχεομένε Φωτὸς, ἐχ ὅπως τὸ ὁρᾶν ἡμῖν, ἀλλὰ καὶ τὸ ζωογονεῖθαι προσγίνεται.

Στίχ: 629. ΤΟΥΘ' ΑΛΙΣ. Ὁποίποτ' ἂν γῆς ἀπενεχθεὶη, ἐδὲν, φησὶν, αὐτῷ διαφέρειν· Ἐκεῖνο δὲ μόνον, τὸ ἐντεῦθεν ἀπᾶραι, καὶ τὴν Κυκλώπων διαφυγεῖν βίαν τε καὶ ὠμότητα.

Στίχ: Αυτ: . . . ΕΚ ΔΑΝΑΩΝ ΣΤΙΦΕΩΝ . . . Οὐ μόνον διὰ τὸ γένος αὐτὸ ἀλλὰ καὶ δι' ἣν κατὰ Τρώων ἀνειληφὼς ἦν στρατείαν, ὁμολογεῖ ἕνα τῶν ἐχθίστων αὐτὸν γενέθαι, καὶ τὸ πρόξιμον αὐτὸς ἑαυτῦ καταψηφίζεται, εἰς τὸν περὶ αὐτὸν οἶκτον τὲς ἄνδρας ἵυτω κινῶν, καὶ ἐξιλεύμενος. Τῷ δ' αὐτῷ τόπῳ, καὶ τοιγε μὴ ἐκ τῆ αὐτῆ τρόπε, καὶ Σίνων ἐχρήσατο. (B. Λιν: στίχ. 109.)

Στίχ: 634. . . . ΕΙΧΕΤΟ ΓΟΥΝΩΝ Οὕτω γὰρ τοῖς ἀρχαίοις ἔθιτο παραιτεμένοις. ἢ καθικετεύσι, τῶν γονάτων ἅπτεθαι, καὶ δὴ καὶ τῆ γενείε ἐνίοτε, ἤτοι τῆ ἀνθερεῶνος, ἰῶν Ἰιὼ συγγνώμιω ἢ Ἰιὼ χάριν παρεξομένων. Διὸ καὶ Θέτις παρὰ Ὁμήρῳ, τῷ Διῖ ἐντυγχάνεσα ὑπὲρ τῆ ὑέος: Ἰλ: Α. στίχ. 500. καὶ 512.

... Πάρειθ'

Ἐξῆς δ' ἀντολίηθεν ἀνίσχον φαίνετο ἦμαρ,
Ἠὼς δ' ἄρτι πόλοιο ὑγρὸν κνέφας ἐκσεσοβήκει·
Εὖτε ῥὰ ἐξ ὕλης ἄφνης μάλα ἰσχαλέος τις,
Ἀγνὼς εἶδος ἀνὴρ, οἰκτρὸς τε, ἰδ' ἀυχμηρὸς τε
Ἐξέρψας, ἱκέτης χεῖρας τάνει ἀκτάζδε.
Δερκόμεθ': αἰνὸς δὴ ῥύπος, ἀυτὰρ ἄπεκτος ὑπήνη·
Πυκναὶ δ' ἐν ῥακίοισιν ἄκανθαι τ' ἄλλα δὲ ἕλκω·
Ὅς τε ὑπὲρ πάτρης πολεμήσων Ἴλιον ἦλθεν.
Ὡς δ' οἱ Δαρδανικῶ ἐσθῆτα, καὶ Τρωΐα τεύχη
Τηλόθεν εἶδεν, ἔδεισε τὸ πρῶτον, παῦρον ἰδ' ἔσχη,
Καὶ βάδος ἔσχεν· ἔπειτα δ' ἐπ' ἀκτὰς ἰθὺς θεύσας
Δακρυχέων ἱκέτευε: πρός ἄστρων σφᾶς λιτομαίγε,
Πρός τε Θεῶν, πρὸς τῦθ' ὃ πνείομεν οὐράνιον φῶς,
Αἴρετέ μ' ὦ Τεῦκροι, καὶ ὁποῖοτ' ἀπάξατε γαίης.
Τῦθ' ἅλις. Ἐκ Δαναῶν σίφέων ἕνα ἴδα μ' ἐόντα·
Φημὶ μάχη Τρώων με ἐφέσια ἐξαλαπάξαι·
Τῷ τοι ἀταθαλίης ἡμῆς ὕβρις ἄμκε τοσήδε,
Κύμασί με σκεδάοντες, ἀν' ἐυρὼ ῥίψατε πόντον.
Κρέσσον ἀπολλυμένω ἀνθρώπων χάρεσ' ὀλέθαι.
Ἦρά, καὶ ἐς γόνυ ἑ προκυλίνδων, ἔχετο γάνων.
Οἱ δέ γε, τίς κεν ἔοι; φάμεναι, καὶξ αἵματος οἷα;
Τόν δ' ὀτρώομεν· ἦτ' ἄρα δαίμων αὐτὸν ἐλάυνει;
Ἀγχίσης δὲ πατὴρ, ἄτοι δηθύων, δεξιόωτο,
Αὐτόθεν ὁπλοτέρω κραδίην θαρσεῖν ἐπερείδων.
Δεῖος πᾶν δ' ὁ τέως ἐκσείσας ἔννεπε τᾶυτα:
Πατρίδος ἐξ Ἰθάκης, οἰκτρὸ ὀπέων Ὀδυσῆος,
Οὖνομ'

❁ ❁ ❁

„ . . . . Πάροιθ' αὐτοῖο καθέζετο, καὶ λάβε γάνων
„Σκαιῆ· δεξιτερῆ δ' ἄρ' ὑπ' ἀνθερεῶνος ἑλοῦσα
„Λισσομένη προσέειπε. . . .
„ . . . . Θέτις δ' ὡς ἤψατο γάνων
„Ὡς ἔχετ' ἐμπεφυῦα. . . .

Στίχ: 635. . . . ΤΙΣ ΚΕΝ ΕΟΙ. . . . Ὀυμενεν τὶς τὸ γένος Φθάσας γὰρ αὐτὸν προωμολογήκει Δαναὸν εἶναι· Λπ' ἐκ τίνων ἄρα ἐκφὺς γονέων, καὶ ὅπως εἰς τοσῶτον ἀθλιότητος κατιωέχθη.

Στίχ: 637. ΑΓΧΙΣΗΣ ΔΕ ΠΑΤΗΡ . . . . Ὁρᾶς τὸ συμπαθὲς καὶ οἰκτικὸν, καὶ συγγνωμονικὸν τῶν ἐν γήρα, πεπεβηκότων; τοιοῦτον ἑαυτὸν καὶ Πρίαμος πρὸς τὸν ῥαδιεργέντα ὑπέδειξε Σίνωνα· (Β. Λίν. στίχ. 154.) παῤ ὅσον, ὁ μὲν, μετὰ τὸ ἐκεῖνε τὰς περιπετείας ἐκδηγησαμένε ἀκέσαι· Ἀγχίσης δὲ, καὶ πρὶν τὰ κατὰ τοῦτον πυθέσθαι, δεξιὰν πρέτεινε τῷ ἀνθρώπω, ἵων ἀμφ' Αἰνείαν ἐκεῖθεν ἀφίξεσθαι κατὰ τάχος ἀπευδόντων· διὸ καὶ ὁ Ποιητὴς προσέθετο, τὸ: (ἀυτὶ δηθυόων.) Haud multa moratus,

Στίχ: 640. . . . . ΟΙΚΤΡΟΥ ΌΠΕΩΝ ΟΔΥΣΗΟΣ, Οὐκ οἰκτείρων τὸν Τρωσὶν ἔχθιστον, οἰκτρὸν ὀνομάζει· ἀλλὰ μᾶλλον ὅυτως, ὃ πρὸς ἐκεῖνον ὑπέτρεφον ἔχθος, ἐπωσὲν παραμυθέμενος καὶ ἐπιλεαίνων· ὡς εἰ ἔλεγε: Μὴ δὴ νομίσητε εἰς καλὸν μηδ' αὐτῷ ἀποβῆναι τέως τὰ πράγματα, πολλῷ δὲ ἴσε τιὼ νέμεσιν καὶ περὶ τὸν κακοδαίμονα ἐκεῖνον ἀκολυθῆσαι, δυσχήμασι μυρίοις περιπεσόντα χαλεπωτάτοις, οἷα καὶ τὲς μάλιστα πρὸς αὐτὸν ἐχθροπαθῶς διακειμένες, καὶ μηνιῶντας, ἐπικώς πρὸς οἶκον κινήσειε. Παρεκτὸς δὲ τότε καὶ ἑαυτὸν ὁ ἀνθρωπος ἔοικεν ἐπιταλανίζειν, ὡς ἐπαδὸν τοῦ ὅυτως

Cum vitam in ſylvis, inter deſerta ferarum
Luſtrâ domoſque traho, vaſtosque ab rupe Cyclopas
Proſpicio, ſonitumque pedum, vocemque tremiſco.
Victum infelicem, baccas, lapidoſaque corna
Dant rami, & vulſis paſcunt radicibus herbæ.
Omnia colluſtrans, hanc primum ad littora claſſem
Conſpexi venientem: huic me, quæcunque fuiſſet,
Addixi. Satis eſt gentem effugiſſe nefandam.
Vos animam hanc potius quocunque abſumite letho.

Vix ea

❁ ❁ ❁

οὕτως ἀθλίᾳ λαχόντα γενέσθαι, καὶ τῆς ἐκείνε ἀθλιότητος καὶ αὐτὸν ἐς κόρον γευσάμενον.

Στίχ: 643. ΩΔΕ ΔΕ ΦΥΖΑΛΕΟΙ. . . . Πότε δὲ τοῦτο ἄρα; Ἕβδομον γὰρ ἰῷ ἔτος ἐκεῖνο τῆς Αἰνείε πλάνης, ἰώϊκα αὐτὸς ταῦτα διεξιὼν Διδοῖ. (Ὅρα Α. Αἰν. πρὸς τὸ τέλος.) Ὀδυσσεῖ δὲ, κατ' ἀρχὰς ἐκπλέυσαντι Τροίας, μετὰ πολὺ σωϊβῃ γενέσθαι τιὼ παρὰ τῷ Κύκλωπι περιπέτειαν, ὡς διὰ τῶν Κικόνων (Ὀδυσ. Ι. 61) καὶ τῶν Λωτοφάγων (Αυτ: 84.) ἐν ἡμέραις ὲ πάνυ πολλαῖς, ἐπὶ τιὼ Κυκλώπων γιῶ καταχθέντι (Αυτ: 104.) Μετὰ τοῦτο γὰρ, ὅ, τε εἰς Αἰολίαν τῇ Ἀνδρὸς ἐγένετο πλοῦς, (Ὀδ: Κ. στίχ: 1.) Καὶ ἡ διὰ τῆς τῇ ἀσκῇ λύσεως, ἐπεγερθεῖσα σφοδρά τε καὶ ἀγυπόσατος ζάλη· μεθ' ἣν, καὶ ἡ πρὸς Λῖολον αὐτῇ φρόδη προσέλευσις. (Αυτ: 72.) Καὶ ἡ κατὰ τὲς Λαιϛρυγόνας δὲ συμφορὰ, καὶ τῶν πλειόνων νηῶν τε καὶ ἑταίρων ἡ ἀποϛέρησις. (Αυτ: 81. 118. 132.) Ἔξῆς δὲ καὶ ἡ εἰς Αἰαίην τιὼ Κίρκης νῆσον καθόρμισις· (Αυτ: 135) ἥ τε ἐντεῦθεν ἐπὶ τὲς Κιμμερίες πάροδος, (Ὀδυ. Λ. στίχ. 13.) ἧ ἡ κατὰ τιὼ Νεκύιαν κάθοδος εἰς ἅϊδε (Αυτ: 14.) καὶ ἡ πρὸς τιὼ νῆσον τῆς Κίρκης ἄυθις ἐπάνοδος· (Ὀδυσ. Μ. 8: 36.) καὶ ἡ ἐκ ταύτης πάλιν ἀναγωγὴ (Αυτ: 145.) Καὶ ὁ ἐπὶ τὰς Σειρῆνας παράπλες· (Αυτ: 192.) Καὶ ἡ Σκύλλης τε καὶ Χαρύβδεως παράμειψις, καὶ ἀπαλλαγὴ. (Αυτ: 260.) Καὶ δὴ, καὶ ἡ πρὸς τιὼ Ἥλιε νῆσον ἀπόβασις. (Αυτ. 305.) καὶ ἡ ἐπὶ τοῖς ἐκεῖ τολμηθεῖσι τῶν περὶ αὐτὸν τίσις, ὧν ἁπάντων ναυαγίῳ ἀπολωλότων, μόνος αὐτὸς τιὼ τρόπιν περιβὰς διεσώθη. (Αυτ: 425. 444) ἥτε διὰ Χαρύβδεως δευτέρα διάβασις, (Αυ. 430.) καὶ ἡ ἐΦεξῆς ἐπὶ τιὼ Καλυψῦς νῆσον κάταρσις· (Αυτ: 447.) Ἐνταῦθα δὲ, ἧ ἡ παρὰ Καλυψοῖ ἑπταέτις διατριβὴ. (Ὀδυ. Η. στίχ. 259.) ἧ ἡ τῆς Σχεδίας, ἐΦ' ἧς ἔμελλε διαπλεύσειν, κατασκευὴ· (Ὀδυσ. Ε. 134.) καὶ ἡ δι' αὐτῆς ναυτιλία· (Αυτ. 269.) ὅτε ὑπὸ Ποσειδῶνος ἐπεγερθεὶς αὐτῷ κλύδων, δι' οὗ τῆς Σχεδίας λυθείσης ἐκτιναχθεὶς ξύλον περιβας ἓν τῇ λοιπῇ διενήχετο· (Αυτ: 366.) Καὶ ἡ πρὸς τὰς ἀκτὰς δὲ Φαιάκων προσάῤῥαξις· (Αυτ: 425.) καὶ ἐκνηξαμένε δὲ τέως, ἥ τε Ναυσικάας Φιλοφροσυνὴ, (Ὀδυσ. Ζ. 186.) καὶ ἡ ὑπὸ τῆς Ἀρετῆς ἧ τῇ Ἀλκινόε ὑποδοχὴ καὶ Φιλοξενία (Ὀδ. Η. 44. καὶ 167.) καὶ τ' ἄλλα ὅσα αὐτῷ σωϊώτησε πρὶν Ἰθάκης ἅψασθαι. Πῶς σωΐ; ἤ πότε; Ἀχαιμενίδης Αἰνείᾳ τᾶις Κυκλωπίοις συνεκύρησεν ὁρμισαμένῳ ἀκταῖς; οὐ ῥᾴδιον συμβαλεῖν. Ταύτῃ τοι καὶ ὁ λόγος τῇ ἡμετέρᾳ Μάρωνος ἐπιλαμβάνεσθαι δοκεῖ, οἱ μὴ ἐπιμελῶς αὐτὸν προσεχηκέναι εἰρηκότες. τοῖς ὕΦ' Ὁμήρε ῥαψωδηθεῖσιν ἐν τῷ Κυκλωπίῳ τραγικῷ δράματι. ΣαΦῶς γὰρ ἐν τούτοις ὁ Μάρων διαΦωνεῖ τοῖς χρόνοις Ὁμήρε: dissentit ab Homero temporibus. (ἢ Φησὶ Σέρβιος) κατά γε τὸ αὐτὸ δόξαν, ἀταλαιπώρως τὸ δρᾶμα διαταξάμενος. Εἰ μή τις Φαίη καὶ ταῦθα, τῆς ποιητικῆς εἶναι ἀδείας καὶ τούτῳ τιὼ παραχρόνισιν.

Στίχ: 645. . . . ΟΙΚΟΣ Ο' ΠΑΣ ΛΥΘΡΟΙΣ κτ: Σπεύδων ὧδε Ἀχαιμενίδης, τῆς ἐντὸς τῇ Κύκλωπος αὐλῆς ἀκροθιγῶς μόνον ἥψατο μιαρίας, λύθροις τε καὶ αἵμασιν ἀνάπλεω ὄντος. Ὀδυσσεὺς δὲ παρ' Ὁμήρῳ, τὰ ἐντὸς πρῶτον οἷον προαύλια πλατύτερον ὑπογράψας, (Ὀδυσ: Ι. 182—186.) εἰσιὼν δὲ ἔπειτα τῷ λόγῳ, καὶ τὰ τῇ Ἄντρε ἐνδότερα διελήλυθεν. (Αυτ: στίχ. 218—223.)

Στίχ:

Οὔνομ' Ἀχαιμενίδης· ὃς φὺς γενέτῃ Ἀδαμάστῳ
Πτωχῷ, (ὤφελ' ἔμεινε τύχη!) εἰς Ἴλιον ἦλθον.
Ὧδε δὲ φυζαλέοι, ταθμὸς ἀνὴρ ὅτ' ἀπέδραν,
Λήσμονες οἵ γ' ἑτάροιμε ἐν εὐρείῃ Κύκλοπος ἄντρῳ
Κάλλιπον· οἶκος ὁ πᾶς λύθροις, καὶ ἐδέσμασ' ἐναίμοις
Πυκνοῖς ἔμπλεος ἔνδον· ὁ δ' αἰπὺς ἐπ' ἄκρα ἀράσσων.
(Πῆμα Θεοὶ τοῖον πόρρῳ ἄπο τρέψατε γαίης.)
Τὸν δ' ὃ ῥηϊδίως τις δέρξατ', ὃδ' ἄν ἐνίσποι.
Ἔγκατ' δϊζυρῶν κατὰ ἦθιε, καὶ μέλαν αἷμα.
Ὥποπ' ἐγὼν ὅτε ἐξ ἡμείων σιώδυο μάρψε,
Χεῖρας ἰήλας ἐν μέσῳ ἐξὼς ὕπτιος ἄντρῳ·
Κόπτε δὲ καππέτρης, οὐδας δὲ κλύζετο λύθροις.
Εἶδον ὅτ' ἄρ μέλεα, βρότον ἃ τάχεσκεν, ἐβρόχθα.
Λιαρὰ τᾶδ' αἰνοῖς ὑπ' ὀδόντεσιν ἔτρεμε γυῖα.
Οὐ μέντοι νηποινί γε· οὐδ' Ὀδυσεὺς τάδ' ὑπέτλη.
Οὐδ' Ἴθακος ῥὰ λέλαχαι ἑαυτῇ τῷ δ' ἐν ἀγῶνι.
Ὡς γὰρ ἐνιπληθεὶς ἅμ' ἐδητύος ἠδέ τε οἴνου,

S 2 Κεῖτ'

❁ ❁ ❁

Στίχ: 646. . . . . Ὁ Δ' ΛΙΠΟΎΣ ἘΠ' ΆΣΤΡΑ ἈΡΑΎΣΣΩΝ. Καὶ Ὅμηρος μὲν ἐπὶ τῷ Κύκλωπος τῆλε ὑπερβολῇ ἐπαύξει, (Δημήτρ. ὁ Φαληρεὺς περὶ Ἑρμῆν. §. 52.) Ὀδ. I. στίχ: 190.

„Καί γὰρ θαῦμ' ἐτέτυκτο πελώριον, οὐδὲ ἐώκει
„Ἀνδρὶ γε σιτοφάγῳ· ἀλλὰ ῥίῳ ὑλήεντι
„Ὑψηλῶν ὀρέων, ὅτε φαίνεται οἷον ἀπ' ἄλλων.

Ἀλλ' ἐπιεικῶς ἡ παρὰ τῷ Μάρωνι ὑπερβολὴ, πλέον τῆς παρ' Ὁμήρῳ ἐπῆρται, ἢ ὅσον τῶν ἄλλων ἀνθρώπων ὑπερέχειν μεμύθευται ὁ Κύκλωψ αὐτὸς ὁ πελώριος.

Στίχ: 650. . . . . ἘΞ ἩΜΕΙΏΝ ΣΙΏΔΥΟ ΜΆΡΨΕ κτ: Ὁμήρου ἡ εἰκών, Ὀδυσ. I. 288.

„Ἀλλ' ὅγ' ἀναίξας ἑτάροις ἐπὶ χεῖρας ἴαλλε·
„Σιὼ δὲ δύω μάρψας, ὥστε σκύλακας πτὶ γαίῃ
„Κόπτ', ἐκ δ' ἐγκέφαλος χαμάδις ῥέε, δεῦε δὲ γαῖαν.
„Τοὺς δὲ διαμελεϊσὶ ταμὼν ὠμήστατο δόρπον.
„Ἤσθιε δ' ὥς τε λέων ὀρεσίτροφος, οὐδ' ἀπέλειπεν
„Ἔγκατά τε, σάρκας τε, καὶ ὀστέα μυελόεντα.

Πότερον δ' ἐν τούτοις ὑπὲρ τὸ ἔκτυπον ὁ τύπος, ἢ τὸ ἀνάπαλιν; ἐκεῖνο μὲν Μακροβίῳ ἐδόκει (Βιβλ: Ε. Κεφ: ΙΓ.) τοῦτο δὲ Σκαλιγέρῳ (Βιβλ: Ε. Ποιητ: Κεφ: Γ.) Καὶ Ἀλικαρνασσεὺς μὲν (περὶ Συνθέσ: Ὀνομ. §. 16.) ἐκεῖνο ἐν τοῖς Ὁμήρου παρεσημειώσατο: ὅτι ἀρασσομένων ἐπὶ πέτρας ἀνθρώπων, ψόφον τε καὶ μόρον οἰκτρὸν ἐνδεικνύμενος (ὁ ποιητὴς) ἐπὶ τῶν ἀηδεστάτων τε καὶ κακοφωνοτάτων ἐπεχρήσατο γραμμάτων, ὀδαμῆ λεάνας τῇ κατασκευῇ, οὐδ' ἡδύνας: (σιὼ δὲ δύω μάρψας κτ:) Ταραβμάννος δὲ (ἐν τοῖς εἰς τὰ Ὀυιργ. Σχολ:) τεχνικώτατα, φησὶν, ὑποτυπωθῆναι, τὸ παρὰ Μάρωνι τοῦτο:

„Λιαρὰ τᾶδ' αἰνοῖς ὑπ' ὀδόντεσιν ἔτρεμε γυῖα.

Ἐν ᾧπερ ἔπει καὶ ἡμεῖς αὐτὶ τοῦ παρὰ ποιηταῖς γραφομένου: trepidi: (τρομαλέα·) τὸ κατὰ Σέρβιον: tepidi: (λιαρὰ) ἐγκεκρίκαμεν, τῆλε ταυτολογίαν ἐκφεύγοντες.

Στίχ: 657. ὍΣ ΓΑΡ ἘΝΙΠΛΗΣΘΕΊΣ κτ: Ἐξ μὲν ἓξ τῶν Ὀδυσσέως ἑταίρων, σιώδυο δηλονότι, τρὶς ἁρπάζας ὁ Κύκλωψ ἐγκατεβρόχθισε, παρ' Ὁμήρῳ δύο μὲν τὸ πρῶτον, ὡς ἐκ τῆς νομῆς ἐπαυῆκεν αὐτοῖς ἐντυχών, καθ' ἑπέραν

Vix ea fatus erat, ſummo cum monte videmus
Ipſum inter pecudes vaſta ſe mole moventem
Paſtorem Polyphemum, et littora nota petentem.
Monſtrum horrendum, informe, ingens, cui lumen ademptum.
Trunca manum pinus regit, et veſtigia firmat:
Lanigeræ comitantur oves, ea ſola voluptas:
Solamenque mali, de collo fiſtula pendet.
Poſtqvam altos tetigit fluctus, et ad æquora venit,
Luminis effoſſi fluidum lavit inde cruorem,
Dentibus infrendes gemitu, graduturque per æquor
Jam medium; nec dum fluctus latera ardua tinxit.
Nos procul inde fugam trepidi celerare, recepto
Supplice

❁ ❁ ❁

ραν δόρπον ὁπλισάμενος. (Ὀδυσ. I. στίχ: 288.) Δύο δ' ἐφεξῆς τὸ πρωῒ ἑτέρους, πρὶν εἰς νομὶν ἐξιέναι, δειπνήσας. (Αὐτ: 311.) Δύο δ' αὖ τὸ τρίτον, ἑσπέριος πάλιν τῆς νομῆς ἐπισρέψας. (Αὐτ 344.) Ὁ μέντοι Ἀχαιμενίδης τὸ τρίτε δόρπε μόνε ὧδε παρὰ Μάρωνι ὑπεμνήσθη, ἐχὶ κατὰ λήθην εἶμαι τῶν προτέρων· τῷ δὲ τὸν ἐπικρεμάμενον κίνδυνον ὑποπτήσσειν, ἐν ᾧ ταῦτα διήρχετο, καὶ κατορρωδεῖν, τὴν ἀφήγησιν ἐπιπαύδων. Ἦν γὰρ δήπε τὸ τρίτον, ἰωΐκα τρὶς ἐκπιόντα: (Αὐτ: 362.)

„ . . . . Κύκλωπα περὶ φρένας ἦλυθεν οἶνος·
„Καὶ τότ' ἀνακλινθεὶς πέσεν ὕπτιος αὐτὰρ ἔπειτα
„Κεῖτ' ἀποδοχμώσας παχὺν αὐχένα· καδδὲ μιν ὕπνος
„Ἥρει πανδαμάτωρ. Φάρυγγος δ' ἐξέσσυτο οἶνος
„Ψωμοί τ' ἀνδρόμεοι· ὁ δ' ἐρεύγετο οἰνοβαρείων (Αὐτ: 371.)

Πῶς εὖ (κατὰ Σέρβιον) Ὅμηρος τέσσαρας εἴρηκε τὸν Κύκλωπα κατεδηδοκέναι; Homerus quatuor dicit; Ἀλλὰ γὰρ τῷ Μάρωνι ἐπ' ἐξουσίας ἦν ἐνταῦθα τὸν ἀριθμὸν ἑλέσθαι ῥαψωδοῦντα, ὅπερ καὶ εἵλετο.

Στίχ. 661 . . . . . ΛΑΧΟΜΕΝ ΤΕ, . . . . . Ὅ, τι ποτὲ δράσειν ἔκαξος ἔμελλεν ἐπικληρώσαντες, ὅπως ἂν ἐυτάκτως μετιῶσιν εἰς τέλος αὐλοῖς χρησὸν ἀποβῇ τὸ ἐγχείρημα. Οὕτω γὰρ παρ' Ὁμήρῳ, Ὀδυσ. I. 331.

„Αὐτὰρ τὸς ἄλλος κλήρῳ πεπαλάχθαι ἄνωγον
„Ὅς τις τολμήσειεν ἐμοὶ σὺν μοχλὸν ἀείρας
„Τρίψ' ἐν ὀφθαλμῷ, ὅτε τὸν γλυκὺς ὕπνος ἱκάνοι.

Στίχ: 662. ΧΕΥΜΕΘΑ, ΤΟΥ Δ' ΟΞΕΙ ΜΟΧΛΩΙ . . . . . Εὑρήσεις τὸ δρᾶμα γραφικώτατα διασκευασθὲν παρ' Ὁμήρῳ. Ὀδυσ. I. στίχ 375 — 395.

Στίχ: 663. . . . . ΤΟ ΛΑΝΘΑΝΕ ΜΟΥΝΟΝ . . . . . Μονοφθάλμους ὁ Μῦθος πλάττει τὸς Κύκλωπας, κατά τε Ὅμηρον, καὶ Ἡσίοδον, καὶ τὸν ἡμέτερον ὧδε, καὶ πάντας. Τί σὺν ἄρα βάλλονται οἱ παρὰ Σερβίῳ παραμυθεύοντες; καὶ οἱ μὲν, τῷ ὑὸ ὀφθαλμὸς τῷ Πολυφήμῳ προσαχαρίζεσθαι τὴν τερατείαν τὸ μύθε ψυχρῶς αἰτιῶντες· οἱ δὲ, τῷ τρεῖς ἐπιδαψιλεύεσθαι περιττῶς τερατεύοντες; Ἐλάνθανε δὲ, φησὶν, ὁ εἷς καὶ μόνος ὀφθαλμὸς, εἴτε τῇ καταθέσει τὸ δασυτέρε ἐπισκιάζε σκεπόμενος, ἢ καθεύδοντι ὑπὸ τὸ βλεφάρε καλυπτόμενος· ἢ τέως, ὅτι λίαν εἰσόφθαλμος ἦν ὁ Κύκλωψ· ὡς ἐν βάθει αὐτῷ τὴν γλήνην ἐνδεδυκέναι, ὑπὸ τὸ σαρκώδες ἄγαν ἐξέχοντος κύκλοθεν περιφραγνυμένην, καὶ οἷον διὰ διόπτρας ὁρᾶν παρέχειαν· ἵνα τι καὶ αὐτὸς τέτοις προσεπιπαίζωμεν.

Στίχ: 664. ΑΣΠΙΔΙ ΑΡΓΕΙΗ, Ἢ ΛΑΜΠΑΔΙ κτ: Τετὶ μὲν, διά τὸ περιὸν τῆς τῆ ὀφθαλμῆ αἴγλης, ἐκεῖνα δὲ, διάτε τὸ κυκλοτερὲς τῆ σχήματος· τοιαῦτα γὰρ αἱ Ἀσπίδες αἱ Ἀργολικαί. Οὕτω μὲν ἓν τῷ Κύκλωπι ἢ καθ' Ἡσίοδον (Θεογ: στίχ: 145.)

„Κυκλοτερὴς ὀφθαλμὸς ἔεις ἐνέκειτο μετώπῳ.

Στίχ: 666. . . . . ΡΗΞΑΤΕ ΠΕΙΣΜΑ. Οὐ φησι, λύσατε. ἀλλά ῥήξατε· ὡς εἰόντε τάχιςα πεύσαντες ἀποχωρεῖτε· διὸ καὶ τὸ (ἄπιτε) ἐπαναδιπλοῖ πρὸς φυγὴν ἐπιπέρχων.

Στίχ.

Κεῖτ' ἀποδοχμώσας παχιὼ αὐχένα, αὐ δ' ἐκλίνθη
Ὕπτιος ἐν σπέϊ, αἶμ' ἀπερευγόμενος, τεμάχητε
Σύμμικτ' ἀκρήτῳ, διὰ ὕπνε· τόφρα Θεοῖσιν
Εὐχόμενοι μεγάλοις, λάχομέν τε, ἰδ ἄμμιγα κύκλῳ
Σεύμεθα, τᾶδ' ὀξεῖ μοχλῷ φάος ἀντιτορεῖμεν,
Εὐρὺ, τό λάνθανε μοῦνον ὑπαὶ βλοσυρῷ γε μετώπῳ,
Ἀσπίδι Ἀργείῃ, ἢ λαμπάδι Φοίβε ὁμοῖον·
Φαιδροὶ δ' εἰδώλοις ἠμυάμεν ὧδε γ' ἑταίρων.
Ἀλλ' ἄπιτ' οἰκτροὶ, τῆλ' ἄπιτ' ἀκτῆς, ῥήξατε πᾶσμα.
Οἷος ἐπεὶ, καὶ ὅσος Πολύφημος κοίλῳ ἐν ἄντρῳ,
Πώεα εἰροφόρ ἐντὸς ἐέρξας, ἔθατ' ἀμέλγει,
Ἄλλοι δὴ ἑκατὸν πάντῃ ἀκτὰς περιέχον,
Ἀρρῆτοι Κύκλωπες, ἐπ' ἀκρότομ' ἔρε ἀλῆται.
Τὸ τρίτατον φάεος πέπλητό μοι ἄρτι Σελήνη,
Ἐξ ὅτε εἰν ὕλησιν ἐρήμησιν βίον ἔλκων,
Φωλεὸι ἀγροτέρων ἴνα, θηρῶν ἐυναὶ, ἔασσί·
Τηλόθεν ἀκροτόμε ἀπὸ ῥωγάδος ἄντ' ἐπιλεύσσω
Κύκλωπας· τρομέω δ' ἠχιὼ ϛόματός τε ποδῶν τε.
Λευγαλέον δ' εἶδαρ πόρον ἀκρέμονες, κλῶνες τε,
Σκληρὰ κράνειά τε, καὶ ῥιζώματα ἄγρια χόρτων.
Πάντα δὲ ἐσκοπέων πρώτας ναῦς τάςδε κατεῖδον
Κελσάσας, καὶ ταῖς μ' ἀποκηρύξαι προβέβκλα,
Αἶκεν ἔωσιν· ἅλις τὸδ' ἀθέσμιον ἔθνος ἀλύξαι.
Πνεῦμα τόδ' ὔμες, ὅτῳ κεν πότμῳ, μᾶλλον ἔλεσθε.
Οὕπω πᾶν εἴρητο ἔπος, καὶ δὴ ἀπὸ οὔρεος ἄκρε
Ἠνὶ μὶν ἐν πώεσσ' αἰνὸν σοβέοντα ὁρῶμεν,
Ποιμενικὸν Πολύφημον, ἴόντ' ἀκτάς δε σιωῇθεις.
Φρικτὸν δή τι πέλωρ, μέγ', ἄμορφον τ', ἠδ' ἀλαωπὸν.
Τᾷ κορυμὸς πίτυος χεῖρ ἦγεν, ἔρειδὲ τε ἴχνος.
Οἷες δ' εἰροπόκοι προσέποντο· τό δ' οἷον ἔ τέρπε·
Δεινᾷ οἱ δ' ἄνεσις, δειρῆς ἐξῆπτογε σύριγξ.

Ὡς

❁ ❁ ❁

Στίχ: 669. ΑΛΛΟΙ ΔΗ' ΕΚΑΤΟΝ κτ: Ἀναιταπόδοτον εἶασε· προθεῖναι γὰρ ἔδει τοῖσιτε καὶ τόσοι.

Στίχ: 670. ΑΡΡΗΤΟΙ . . . . . Οὓς ἐ ῥᾴδιον παραξῆσαι τῷ λόγῳ· ἔλεγε γὰρ καὶ περὶ τᾶ Πολυφήμε μικρὸν ἀνωτ. στίχ. 648.

„Τὸν δ' ἐ ῥηϊδίως τις ἐρέξαιτ', ἐδ' ἄν ἐνίαποι.
ἦ, ὡς ἄν καὶ ἄλλως πως ἑρμηνεύσειέτις τὸ αὐτὸ ἔπος:
„Ἐκπαγλός τε ἰδεῖν, καὶ φεάσασθ' ἄπαστος οἷος.

Στίχ: 671. ΤΟ' ΤΡΙΤΑΤΟΝ ΦΑΕΟΣ κτ: Πρὸ τριῶν ἄρα μηνῶν Ὀδυσσεὺς τῇ χώρᾳ Κυκλώπων ἑρμισάμενος ἔτυχεν· ἔπειδὲ ἄρα γῆς διατρίβων ἐτύγχανε τὸ ἑπτάετες, ἐξ ὅτε γε Τροίας ἀΐκτο. Ἀλλ' ὅρα τὰ ἀνωτέρω εἰρημένα· στίχ. 643.

Στίχ: 684 . . . . ΑΚΤΑΣΔΕ ΣΥΝΗΘΕΙΣ. Προκαταλαμβάνει τὸν ἀπορήσοντα, πῶς τυφλὸς ὢν ὁ Πολύφημος τὰς ἀκτὰς; περιῇει μηδένα ἔχων τὸν χειραγωγήσοντα;

Στίχ: 688 ΔΕΙΝΟΥ ΟΙ Δ' ΑΝΕΣΙΣ. . . . . Τὸ λοιπὸν ἡμιστίχιον ἔντισι τῶν Ἀντιγράφων ἐ κεῖται, ἐν δ' ἄλλοις πρόσκειται: de collo fistula pendet. καθὰ καὶ αὐτοὶ προσεθέμεθα: (δειρῆς ἐξῆπτογε σύριγξ.) ὡς μὴ ἀπροσ-

Supplice, ſic merito; tacitique incidere funem:
Verrimus et proni certantibus æquora remis.
Senſit, et ad ſonitum vocis veſtigia torſit.
Verùm ubi nulla datur dextram affectare poteſtas,
Nec potis Jonios fluctus æquare ſequendo:
Clamorem immenſum tollit; quo pontus et omnes
Intremuere undæ: penituſque exterrita tellus
Italiæ, curviſque immugiit Ætna cavernis.
At genus è Sylvis Cyclopum et montibus altis
Excitum ruit ad portus, et littora complent.
Cernimus aſtantes, nequicquam lumine torvo
Ætnæos fratres, cœlo capita alta ferentes;
Concilium horrendum: quales cum vertice celſo
Aëriæ

❀ ❀ ❀

*Φυῶς ἔχον τῷ ὑποκειμένῳ, μηδὲ τῆς τῦ Μάρωνος μέσης ἀνάξιον. Ἀλλ' εἰσὶ καὶ οἳ τὰ ἔπεα τάτε ὁλοκλήρε νοθείαν κατεψηφίσαντο: ἔυτω δόξαν, ὡς ἔοικεν, ὅτι καὶ τάτε ἐκ μέσου ὅλε γενομένε, ἐδέντι ἧττον ὁ λόγος σωήρτηται.*

Στίχ: 692. . . . . ΜΟ'ΛΙΣ 'ΟΣΦΥ'Ν 'ΕΝ "ΥΔΑΣΙ ΒΑ'ΠΤΕΝ. *Παράλληλον ἐνταῦθα ὁ Σχολιαστὴς Κέρδης ἐπάγει τὸ τῦ Νόννε, Διονυσ. Βιβλ: Β'.*

*„Φαίνετο γυμνωθεῖσα δὶ ὕδατος ἄβροχος ὀσφύς.*

*Καὶκεῖνο τὸ περὶ Τυφῶνος τῦ Γίγαντος.*

*„Βένθεα ταρσὰ πέπηκτο, καὶ ἠέρι μίγνυτο γαστήρ.*

Στίχ: 701. ΘΡΙΝΑΚΙ'Η κτ: . . . . . *Ἐν ἄλλοις Κώδιξιν ἀναγινώσκεται: Ἰταλικὴ. Λίρετέον δ' ἔδοξεν ἐκεῖνο, διὰ τὰ ἐξῆς προσεθέντα τῆς Αἴτνης μυκήματα. Καίπερ οἱ τὸ Ἰταλικὴ ἐγκρίνοντες, τιὼ ἐπὶ τὸ μᾶλλον τολμήσασαν ὑπερβολιῶ ἀσμενίζονται. Ἀλλ' ὑπερβολῶν ἄλις.*

Στίχ: 705. . . . . ΚΑΣΙΓΝΗ'ΤΟΥΣ ΑΙ'ΤΝΑΙ'ΟΥΣ, . . . . . *Ὡς ὁμοεθνεῖς ἀλλήλοις καὶ ὁμοήθεις, καὶ ὁμοτρόπες, καὶ μορφιὼ, καὶ διαιταν, καὶ κλῆσιν, καὶ πάντα ὁμοίες. (ὅρα καὶν τοῖς Γεωργ. Δ. 209. Καὶ ἄνωτ: ὧδε στίχ. 593.) ἀδελφὲς ὀνομάζει. Ὅτε μιὼ Πολύφημος ἰδίως υἱὸς ἦν Ποσειδῶνος ἐκ Θοώσης Νύμφης, τῆς Φόρκυος θυγατρὸς (ὅρα Ὀδυσ. Α. 70. καὶ Ι. 519. 529. κξ.)*

Στίχ: 706. "ΗΡΤΟ 'ΕΣ 'ΟΥΡΑΝΟ'Ν κτ: *Οὕτω γὰρ καὶ περὶ τῦ Πολυφήμε αὐδᾶ, ἄνωτ: στίχ. 646 εἴρηται.*

Στίχ: 708. 'ΕΝ ΔΙΟ'Σ "ΥΛΗι, 'ΑΥΤΑ'Ρ 'ΕΝ 'ΑΡΤΕ'ΜΙΔΟΣ κτ: *Ἡ μὲν γὰρ Δρὺς ἱερὰ Διὸς ἦν· ἡ δὲ Κυπάρισσος Ἀρτέμιδι ἀνέκειτο, καὶ ταύτης τῇ θυγατρὶ Περσεφόνῃ.*

Στίχ: 711. "ΑΜΠΑΛΙΝ "ΑΙΧ' "ΕΛΕΝΟΣ κτ: *Ὅρα ἅπερ Ἕλενος Αἰνείᾳ παρῄνει· στίχ. 433 — 437.)*

Στίχ: 716. ΠΑΝΤΑΓΙΟΥ . . . . . *Ποτάμιον ὁ Παντακίας λιῶ, ἐπὶ τὰ πρὸς ἥλιον ἀνίσχοντα Ἴης Σικελίας ῥέον· καθ' αὑτὸ μὲν ἔτοι μέγα, σφοδρῶς δὲ μάλα καὶ ῥάγδιω καταῤῥοχθῶν, κατὰ τὰς ὑπὸ πυκνῶν ὄμβρων πλημμύρας πολλῶν συνεπιῤῥεόντων χειμάῤῥων, καὶ τὰ προσυχόντα, δένδρα τε δὴ καὶ πέτρας συμπαρασύρον τε καὶ κατάγον· ἐξ οὗ καὶ Παντακίας ἐκλήθη, διὰ τὸ πάντα κατὰ βίαν ἄγειν τῇ ῥύμῃ. Καλεῖται δὲ νῦν τὸ ῥεῦμα, Porcari· ῥεῖ δὲ Λεοντίνων παταξὺ καὶ Μεγάρων διὰ τῆς Κοιλάδος φερόμενον: Val di Noto. ἐκβάλλει δὲ κατὰ τιὼ πρὸς μεσημβρίαν πλευρὰν τῦ μυχῦ Καλάνης.*

Στίχ: Αὐτ: . . . . . ΜΕΓΑ'ΡΩΝ . . . . . *Τέτων καθ' ἡμᾶς μὲν ὁ σώζεται ὁ δὲ ἴχνος· ἦν δὲ πάλαι πολίχνιον, ἀπὸ τῶν, ἐν τῷ Σαρωνικῷ κόλπῳ Μεγαρέων ἀποικισάντων οὕτως ὀνομαθὲν, καθάπερ ουῦ καὶ ὁ Κόλπος ἐν ᾧ ἵδρυτο, Μεγαρικὸς: ὁ νυῦ Golfo d' Agusta· τὰ δὲ δὴ Μέγαρα ταῦτα πρότερον Ὕβλα μικρὰ ἐκαλεῖτο ἐκ τῦ σωέγγυς ὄρες, πρὸς ἀντιδιαστολιὼ Ὕβλης τῆς μεγάλης, ἥ δὶ ὀνόματος ἦν ἐκ τῦ ἐν αὐτῇ ἐξαιρέτε Μέλιτος.*

Στίχ:

Ὡς δ' ἦκ' ἐς πέλαγος, βάθιον δ' ἐσελήλυθε κῦμα,
Ἔνθ' οἱ ὀρυχθέντος ῥύσιν ὠπὸς πλῶε λυθρώδη.
Βρύχε δ' ὀδῦσι μέγα ϛεναχων· αὐτὰρ διὰ πόντε
Βάσκων, αἰπείαν μόλις ὀσφὼ ἐν ὕδασι βάπτεν.
Οἱ δ' ἄρα τῆλε μάλ' εἰς φύζαν τραπόμεθα, λαβόντες
Σφῶν ἱκέτιω, ἦ χριῶ· τὰ πάρτα ἀκιὼ δὲ ταμόντες
Σαίρομεν ὀτραλέως πριωεῖς ἐρετμοῖσι θαλάσσας.
Αἶψα ὁ δ' αἰθόμενος πρὸς δῶπον τρέψατο ἴχνη.
Ὡς δ' ἂν οἷος ἔιω ἐπὶ μηδὲν χεῖρ' ἀποτεῖναι,
Οὐδὲ διώκων εἶχεν Ἰώνια ῥεῖθρ' ἐσελαύνειν,
Σμερδαλέον τι ἄϋσε, μέγ' αὐτὰρ κύματα πόντε
Πάντα σάλευθεν· ὅλη δὲ πέριξ δειδίξατο γαῖα
Θρινακίη· μυχίοις δ' ἄντροις μυκήσατο Αἴτνη.
Κυκλώπων δὲ γένη ἐκ λοχμῶν, ἠδ' ὀρέων τε
Ὠρίνθη, ἀκτὰς δὲ κατ' ὅρμυς πλῆσαν ἀολλεῖς·
Δερκόμεθ' ἐσῶτας μάψ δὴ βλοσυρὸς παρὰ θῖνα
Τὰς δε κασιγνήτας αἰτναίας, κράατα τῶν περ
Ἤρτο ἐς ἠρανὸν, ὧν τ' ἔκπαγλος ὅμιλος ἐπέσαν,
Ὡς δρύες ὑψίκομοι, κατ' κωνοφόροι κυπάρισσοι,
Ἐν Διὸς ὕλη, αὐτὰρ ἐν Ἀρτέμιδος τεμένεσσιν.
Ἡμέας οιῶ πρότονα πᾶν ὀξὺ δέος παράνωγεν,
Ἠδ' ἄυτως, ἀνέμῳ ἀναείρειν λαίφεα ἔρῳ,
Ἄμπαλιν αἶχ Ἕλενος Σκύλλης τε Χαρύβδεος ἶσα
Ἀτραπιτὸν μέσσιω, ὡς οἵτε παῦρον ἀπῆσαν,
Πάρφατο φεύγειν. Ἀλλ ἔσκ' ἔμπεδον ἶσια κάμψαι.
Εὖτε ἰδὲ Βορέης ἐκ ϛεινωποῖο Πελώρε
Πνεῖεν, ἐγὼ δ' ἄρ ὕπερ πετρήεντα ϛόματ' ἔπλων
Πανταγίη, Μεγάρων τε μυχὸς, χθαμαλιὼ ἰδὲ Θάψον.
Τὰς δ' ἀκτὰς δείκνυ ἐπαναπλῶν, ταῖς παρεπλάγχθη,
Αὐτὸς Ἀχαιμενίδης, ἀτυχὴς Ὀδυσῆος ὀπάων.
Νῆσος ὑπεκτάνυται πρὸ μυχῆ τις Σικελίοιο
Ἄντιω Πλημμυρίε πολυκύμονος· οἱ πάρος εἶπον
Ὀρτυ-

Τ 2

Στίχ: Αὐτ. . . . . ΧΘΑΜΑΛΗΝ ἸΔΕ ΘΑΨΟΝ. Χερρόνησίς τις ἰῶ ἄυτη μικρὰ, μεταξὺ τῶν εἰρημένων Μεγάρων καὶ τῶν Συρακυσῶν κειμένη· ἡ νῦν Isola delli Manchisi· ἐς τοσοῦτον ταπεινὴ ἔστα, ὡς ὑπὸ τῶν κυμάτων δοκεῖν ἐνθάπτεσθαι. ἐξ οὗ καὶ Θάψος αὐτῇ τὸ ὄνομα (Θαπ' ἐν ϛ'. τῆς Ἱστορ. καὶ Στράβ. ἐν ΙΖ'. Γεωγρ.) Τί δὲ, ἐχὶ καὶ τῶν Συρακοσῶν ὁ Ποιητὴς ἐνταῦθα ἐμνήσθη, πόλεως οὕτως ἐπιφανοῦς καὶ μεγάλης; ἢ ὅτι ἐπὶ Αἰνείου ἡ πόλις οὔπω ἦν ὑφεσῶσα· μετὰ γὰρ τὶω Τρωϊκὰς ἄλωσιν ἱστόρηται τὰς Συρακούσας κτισθῆναι.

Στίχ: 718. ΑΥΤΟΣ ΑΧΑΙΜΕΝΙΔΗΣ κτ: Ἵνα μήτις ἔροιτο, πόθεν εἶχεν Αἰνείας κατ' ὄνομα τὰς χώρας ταύτας εἰδέναι; καλῶς ὁ Ποιητὴς τὸν Ἀχαιμενίδιω ὑπέθετο διεξιόντα, ὡς διὰ τούτων πρότερον σωάμα Ὀδυσσεῖ πλανηθέντα, καὶ τὰ κατ' αὐτὰς ἱστορήσαντα

Στίχ: 720. ΑΝΤΗΝ ΠΛΗΜΜΥΡΙΟΥ ΠΟΛΥΚΥΜΟΝΟΣ . . . . . Κολπῶται μὲν ὁ ἀγκὼν ἔτος ἐπὶ τῆς Σικελικῆς γῆς, πρὸς Ἀνατολὰς τεταμμένος· ὑπερτείνει δὲ τῷ ἀγκῶνι Ἀκρωτήριον, (Capo di Maſſa d' Oliwero.) τὸ Πλημμύριον, ἐκ τῶν πλημμυρούντων περὶ αὐτὸ ὑδάτων οὕτω ῥηθὲν, ὃ πολλοῖς

Aëriæ quercus, aut coniferæ cyparissi
Constiterant, sylva alta Jovis, lucusve Dianæ.
Præcipites metus acer agit, quocunque rudentes
Excutere, et ventis intendere vela secundis.
Contra, jussa monent Heleni, Scyllam, atque Charybdim,
Inter utranque viam, lethi discrimine parvo,
Ni teneant cursus: certum est dare lintea vento.
Ecce autem Boreas angusta à sede Pelori
Missus adest: vivo prætervehor ostia saxo
Pantagiæ, Megarosque sinus, Tapsumque jacentem.
Talia monstrabat relegens errata retrorsum
Littora Achæmenides, comes infelicis Ulyssi.
Sicanio prætenta sinu jacet insula, contra
Plemmyrium undosum; nomen dixêre priores
Ortygiam. Alpheum fama est huc Elidis amnem
Occultas egisse vias subter mare: qui nunc
Ore, Arethusa, tuo Siculis confunditur undis.
Numina magna loci jussi veneramur; et inde
Exsupero præpingue solum stagnantis Helori.
Hinc altas cautes, projectaque saxa Pachyni
Radimus: et fatis nunquam concessa moveri

Apparet

* * *

λοῖς προβέβληται κύμασιν. Ἄχρι γὰρ ἐς αὐτὸ λέγεται τὰς ἐκ τῆς Χαρύβδεως ἀναῤῥοιβδήσεις τε καὶ ἀναῤῥοίας ἐξήκειν. Ἀπεναντίον δὲ ἐστὶ πρὸς Νότον ἔχουσα τὸ Πλημμύριον Νῆσος, καὶ ἐπὶ τῆς Νήσου πόλις, κτίσμα Ἀρχίου τοῦ Κορινθίου, ἡ κλῆσις Ὀρτυγία· τοῦθ' ὁ πάλαι καὶ ἡ Δῆλος προσεῖρητο, ἐκ παραπλησίας τυχὸν αἰτίας. (Ἀνωτ: στίχ. 78.) Κεῖται δ' ἡ Νῆσος τῶν δύο μέση, τῶν ἐν Συρακούσαις λιμένων, ἕτερον ἑτέρωθεν ἔχουσα. Ἐπὶ δὲ τῆς Νησίδος ταύτης ἵσατο, τῶν πάλαι τετραμερῶν Συρακουσῶν τὸ μέρος τὸ κυριώτατον, ὃ τῇ ἀντιπέρας Ἠπείρῳ, ἐφ' ἧς τὰ λοιπὰ παρεξετείνετο τρία. γεφύρᾳ, σωιζευκτο. Ἀλλ' ἐπὶ τῶν μερῶν τὸ πρῶτα αἱ καθ' ἡμᾶς ἱδρυνται Συράκουσαι.

Στίχ. 721. . . . . ΚΑΙ ΡΟΥΝ ΑΛΦΕΙΟΝ ΑΠ ΗΛΙΔΟΣ . . . . . Ἦλις μὲν ἡ Μεσσηνίων χώρα μεταξὺ, καὶ τῆς ἰδικώτερον, Ἀχαΐας, ἄχρι θαλάσσης διήκουσα. Ῥεῖ δ' ἐπ' αὐτῆς ὁ ποταμὸς Ἀλφειὸς ὃν ὑπὸ τῇ Θαλάσσῃ, φασὶ, τὸ ῥεῖθρον διεκδιδόντα, ἐπὶ τὴν ἀντιπέρας Νησίδα τὴν Ὀρτυγίαν χωρεῖν, καὶ τῇ ἐκεῖ πηγαζούσῃ Κρηνίῃ Ἀρεθούσῃ συμμίγνυσθαι· τὸν δὲ μῦθον συμφώνως τῷ Μάρωνι, ἐν Στράβων ἐν ϛ. τῶν Γεωγρ. οὕτω παρέθετο· ἠδ' „Ὀρτυγία σωιάπτει γεφύρᾳ πρὸς τὴν Ἤπειρον ἔσα, Κρηνίλην δ' ἔχει τὴν „Ἀρέθουσαν· ἐξιεῖσαν ποταμὸν εὐθὺς εἰς τὴν θάλασσαν. Μυθεύουσι δὲ τὸν Ἀλ„φειὸν εἶναι τοῦτον, ἀρχόμενον μὲν ἀπὸ τῆς Πελοποννήσου, διὰ δὲ τοῦ πελάγους ἀπὸ „γῆς τὸ ῥεῖθρον ἔχοντα μέχρι πρὸς τὴν Ἀρέθουσαν, εἶτ' ἐκδιδόντα πάλιν εἰς τὴν θάλασσαν. Κομψῶς τὸν ὕστερον τερθρευόμενον μῦθον, καὶ Μόχος ἐξέθετο ἐν τοῖς Βουκολικοῖς. Οἱ δ' ἄλλως φασὶν, ὅτι ἐπὶ τῆς ἐν Πελοποννήσῳ μὲν Ἀρκαδίας ἀμφοτέροις ἡ ἀρχὴ, καὶ τῷ ποταμῷ καὶ τῇ Κρηνίῃ· ὁ δέ τοι μῦθος ἡ κατὰ τὸ πέρας ἐπὶ τῆς Ὀρτυγίας πεφιλοτίμηται σωιάψαι τὰ ῥεῖθρα. Οἱ δὲ, καὶ μῦθον τῷ μύθῳ παρασωιάπτουσιν ἕτερον. Θηράτρειαν γὰρ γενέσθαι τινὰ τὴν Ἀρέθουσαν, ἣν τὸν ἐκ τῆς θήρας ἱδρῶτα ἐν τῷ ποταμῷ ἀπολουομένην, ὑπὸ Ἀλφειοῦ διώκεσθαι δεινῶς ἐρασθέντος· ἣ τὴν μὲν φεύγουσαν, ὄικτῳ τῷ παρὰ τῶν Θεῶν εἰς τὴν Κρηνίλην μεταποιθῆναι, τὸν δὲ διώκοντα εἰς τὸν ποταμὸν, ὧν ἔτι καὶ νῦν τὰ ὀνόματα ἐπιδιασώζουσιν. Ὡς δ' ὅπως ἔχειν αὐτὸ δηλώσαι τὸ πρᾶγμα, Φοίνικας ἐμπέρους

φασιν

Ορτυγίῃ· καὶ ῥᾶν Ἀλφειὸν ἀπ' Ἤλιδος ἔνθα
Φῆμις ὑποπορέειν νέρθεν κρυπτὸν διὰ πόντου,
Ὅς σέο ἐκ στόματος φύρεθ' ὕδασι Σικελικοῖσι,
Νιν Ἀρέθουσα. Ἐκεῖσε θεὸς μεγάλους, μεδέοντας
Χώρης, ἀξόμενοι διὰ τιμῆς ἦ δέον ἦμεν.
Εἶθ' ὑπερῆλθον ἔλη, ἃ λιπαίνει ἄθαρ ἑλώρου·
Εἶτ' αὐπὰς πέτρας, ἀκτίν τε προβλῆτα Παχύνου
Παρπλέομεν· τίν δ' ἔτι θέμις χρησμοῖς κινεῖσθαι,
Πόρρωθεν Καμαρίν' ἀνὰ κύπτειν, ἀγροί τε Γελῶοι.
Ἥ τ' εὐρεῖα Γέλη, ποταμῷ γε φερωνυμέουσα.
Ἐντεῦθεν δ' Ἀκράγας μετέωρος μακρὰ ἐδείκνυ
Τείχεα, εὐψύχων γενέτης ὅς τ' ἦν ποτε ἵππων.

Ἰσ'

❁ ❁ ❁

*Φασὶν ἐπὶ τίνι Ὀρτυγίαν Νῆσον καταράντας ὧδε ὑδρεύσασθαι, καὶ τῇ ἐκεῖ Κρήνῃ δαψιλεστάτην ὑδρείαν παρεχομένῃ περιτυχόντας ἅμα καὶ πρόχειρον, (ἐν Ἄλφε) ἐπιβοήσασθαι· τοῦτο δὲ ἐστὶ, νηῶν Κρήνη, Φοινίκων Φωνῇ. Ἐντεῦθεν γὰρ τὰς Ἕλληνας οἴονται τὸ συγγενὲς τοῦ ὀνόματος διακηκοότας, τίνι ῥοώδη ἀπαρύσασθαι σωτηρίαν, καὶ τὸν τοῦ ἐξ Ἀρκαδίας ναύντου Ἀλφειοῦ ποταμὸν, σὺν τῇ ἐπὶ τῆς Ὀρτυγίας Ἀρεθούσῃ Κρήνῃ ὑμέναιον ἄρσασθαι. (Βόχαρτ. Χαναν. Βιβλ: Α, Κεφ: ΚΗ.)*

Στίχ: 156. . . . . ΔΗΛΟΝ ΜΗΤΡΩΙΗΝ . . . . . Ἡ γὰρ Κοίῃ τε καὶ Φοίβης Λητὼ, σωελθοῦσα Διΐ, κατὰ τὴν γλῆν ἄπασαν ὑφ' Ἥρας ἠλάυνετο· μέχρις εἰς Δῆλον ἐλθοῦσα, γεννᾷ πρώτιν Ἄρτεμιν, ὑφ' ἧς μαιωθεῖσα, ὕστερον Ἀπόλλωνα ἐγέννησεν. (Ἀπολλόδ Βιβλ: Α. Κεφ. Δ.) εἰκότως τοίνυν ὁ Ποιητὴς τὴν Δῆλον, Μητρῴην, τετέχθαι Μητρίδα Ἀπόλλωνος ἐκάλεσεν.

Στίχ: 157. ΙΣΤΑΙ Τ' ΟΡΧΗΘΜΟΥΣ'. . . . ΚΑ' Ἀπολλώνιος τῶν ὀρχηθμῶν τέτων ἐμνήσθη Βιβλ: Α'. στίχ: 536.

„Οἱ δ' ὥστ' Ηἴθεοι Φοίβῳ χορὸν, ἢ ἐνὶ Πυθοῖ
„Ἦπε ἐν Ὀρτυγίῃ, ἢ ἐφ' ὕδασιν Ἰσμηνοῖο
„Στησάμενοι φόρμιγγος ὑπαὶ περὶ βωμὸν ὁμαρτῇ
„Ἐμμελέως κραιπνοῖσι, πέδον ῥήσσωσι πόδεσσιν.

Ἐν γοῦν τοῖς τοιούτοις ὑπορχήμασιν ἀπὸ τῶν λαιῶν πρῶτον ἐπὶ τὰ δεξιὰ, εἶτα κατὰ τὴν στροφὴν ἀπὸ τῶν δεξιῶν ἐπὶ τὰ λαιὰ τῶν ὀργιαζόντων χωρεύντων, ἡ διττὴ τῆ Ζωδιακῆ, φασὶ, διετυπῶτο κατ' οὐρανὸν περικύκλησις· ἥτε ἀπὸ δυσμῶν δηλαδὴ πρὸς ἀνατολὰς περίοδος κατὰ τὰ ἑπόμενα, καὶ ἡ ἀπ' ἀνατολῶν ἐπὶ δυσμὰς περιφορὰ τὸ ἀνάπαλιν.

Στίχ: 158. ΚΡΗΤΕΣ ΤΕ, ΔΡΥΟΠΕΣ ΤΕ, ΙΔΕ ΓΡΑΠΤΟΙ Τ' ΑΓΑΘΥΡΣΟΙ. Οἱ μὲν Κρῆτες ἐὸ οἴτινες, ἐὸ ὅθεν, ἄδηλοι εἰσὶν· οἱ δὲ Δρύοπες οἱ ἐκ Δωρίδος ὑπῆρχον, κατ' ἀρχὰς μὲν περὶ τὸν Παρνασσὸν οἰκοῦντες, ἢ, κατ' ἄλλες, περὶ τὸν Πίνδον, καὶ τὴν Οἴτην, βορειοτέραν τῶν Δωριέων τὴν θέσιν ἔχοντες. Δρύοπας δὲ Ἡρακλῆς μεταναστήσας ὕστερον λέγεται. Θειοδάμαντος γὰρ μὴ Φιλοφρονησαμένε, μηδὲ τροφῆς ἀπορέοντι μεταδόντος, τὸν μὲν ἕτερον τῶν Ταύρων βοηλατοῦντος λύσας κατεθοινήσατο· εἶτα εἰς Τραχῖνα μεταβὰς πρὸς Κήυκα, καὶ ὑπὸ τέτε Φιλοφρονηθεὶς, Δρύοπας μετελθὼν κατεπολέμησεν. (Ὅρα Ἀπολλόδ. Βιβλ: Β. Κεφ: Ζ.) Οἱ δὲ Ἀγάθυρσοι ἔθνος ἰω Σαυρομάτικον τοῖς Γελωνοῖς ἀγχυρῆν, καὶ ἀπὸ τῶν Βορυσθένες Ἀρκτιωτέρων ὄχθων μέχρι τῆς Μαιώτιδος ἐφαπλέμενον λίμνης, ἐπὶ δὲ ἀμαξῶν τὰς οἰκήσεις μετακομιζόμενόντε καὶ περιφέρον. (ἢ ἐχὶ τοιῦτοι ὕστερον δοκῆσι καθ' ἡμᾶς γεγονέναι τῶν Ταταρων οἱ καλέμενοι Νωγαΐοι; πλὴν ὅσον ὅτοι γραπτοὶ μὲν οὐκ εἰσὶν, ὅλον δὲ τὸ σῶμα ῥυπῶντες καὶ ἀυχμῆ καὶ βδελυρίας ἀνάπλεοι) οἴγεμὶν Ἀγάθυρσοι γραπτοὶ γενέθαι ἰσόρηνται, χροιᾶς διαφόρως αὐτῶν τὸ δέρμα καταποικίλλειν χαίροντες· καθάπερ οὖν καὶ Βρεττανὲς τὲς πάλαι, κατὰ τὲς Ἀγαθύρσες καὶ αὐτὲς γραπτὲς ἰσόρηνται παραπλησίως ἢ εἶναι ἢ λέγεθαι. Αὐτὸ γὰρ τῆτο καὶ τὸ Βρίτ κατὰ τὴν αὐτῶν σημαίνει Φωνὴν, ἐξ οὗ καὶ Βρίτονες,

Στίχ: 159. . . . . ΚΥΝΘΟΙΟ ΚΑΡΗΝΑ. Κυνθος ἦν ὄρος τῆς Δήλε, οὗ πρὸς τὰ ὑπώρεια ἡ πολις ἵδρυτο, ἐξ οὗ τε Κυνθιος ὁ Ἀπόλλων, καθὰ καὶ Δήλιος. (Ὅρα Γ. Αἰν. στίχ: 93.) Λέγεται δὲ τὸ ὄρος λίθε εἶναι μαρμάρε τῆ κοκκωτῆ καλεμένε, ἢ κοκκώδες, (Granito.) οὐ κατὰ πολὺ ὑπελαττεμένε, τῆ ἐν ταῖς κατ' Αἴγυπτον λατομίαις ἐπιπολάζοντος.

Nec jam furtivum Dido meditatur amorem.
Conjugium vocat; hoc prætexit nomine culpam.
Extemplo Libyæ magnas it fama per urbes,
Fama, malum, quo non aliud velocius ullum;
Mobilitate viget, virefque acquirit eundo:
Parva metu primo, mox fefe attollit in auras,
Ingrediturque folo, et caput inter nubila condit.
Illam Terra parens, irâ irritata Deorum,
Extremam (ut perhiben) Cæo, Enceladoque fororem
Progenuit, pedibus celerem, et pernicibus alis:
Monftrum horrendum, ingens: cui quot funt corpore plumæ,
Tot vigiles oculi fubter, (mirabile dictu)
Tot linguæ, totidem ora fonant, tot fubrigit aures.
Nocte volat cœli medio, terræque per umbram,
Stridens, nec dulci declinat lumina fomno.
Luce fedet cuftos, aut fummi culmine tecti,
Turribus aut altis, et magnas territat urbes;
Tam ficti pravique tenax, quam nuncia veri.
Hæc tum multiplici populos fermone replebat,
Gaudens, et pariter facta, atque infecta, canebat:
Veniffe Æneam, Trojano à fanguine cretum,
Cui fe pulchra viro dignetur jungere Dido.

Nunc

❋ ❋ ❋

Στίχ: 166. . . . . ΑΙ᾽ΓΑΓΡΟΙ . . . . . Ἢ καὶ Αἰγάγρειοι. αἱ ἄγριαι αἶγες. δοκιμώτερον δὲ τὸ Αἴγαγροι, ὡς καὶ τὸ Σύαγροι παρ᾽ Ὁμήρῳ.

Στίχ: 168. ᾍΛΛΟΘΙ Δ᾽ ΑΥ᾽ ᾽ΕΛΑΦΟΙ ΠΕΔΟΝ. ἘΥΡΥ᾽ κτ: Πάνυ προσφυῶς, τὰς μὲν Αἰγάγρες ὁ Ποιητὴς ἐπὶ τῶν ὀρεινῶν καταβαῖνε ἁλομένας, τὰς δὲ Ἐλάφους ἐπὶ τὰ πεδινὰ κατάγει διαθεάσας· καὶ ταύτας εἰλαδὸν, οἷα φιλέσας ἀγεληδὸν σωνέμεσθαι, καὶ πολιῷ κονιστὸν ἐν ἀέρι σωεπισευομένας κατασκεδάζειν.

Στίχ: 171. . . . . ᾽ΑΤΑΡ ᾍΛΛΟΤΕ ΤΟΥ᾽Σ ΔΕ, . . . Ὅρα μοι ὅπως τὸ παιδαριῶδες ἐνταῦθα τῷ Ἀσκανίῳ καθυπογράφεται, τῇ δὲ μὲν κἀκεῖσε περιϊππαζομένῳ, καὶ εὖ ὑφορωμένῳ, ἢ δεδιῶτος τὰ ἐκ ἀκίνδυνα, παρὰ τὸ ἐξ ἀπειρίας θράσος, ἐπιποθεῖντι δὲ ἐν τοῖς ἀσθενεστέροις τε καὶ ἡμερωτέροις πώεσι, καὶ κἀπερῳ τινὶ ἀφραλέῳ ἐντυχεῖν ἀναγραφομένῳ, καὶ λέοντι.

Στίχ: 175. ΤΟΙ᾽Σ Δ᾽ ᾽ΕΠΙ᾽ ΣΥ᾽Ν ΜΕΓΑ᾽ΛΗι ΗΧΗ῏ κτ: Ἐντεῦθεν ἐκβαίνειν ἄρχεται, ἅττα Ἥρα τῇ Ἀφροδίτῃ προσωπεταίξατο. (Ἀνωτ: στίχ. 127. κξ:)

Στίχ: 178. . . . . ΥΙ᾽ΩΝΟ᾽Σ ΚΥΘΕΡΕΙ᾽ΗΣ: Ὁ γὸς τῶ ἐξ αὐτῆς Ἀγχίσῃ τεχθέντος Αἰνείε.

Στίχ: 179. . . . . ᾍΛΛΟΣΕ ᾽ΑΛΛΟΣ. Πολλαχόσε διασκεδασθέντες, ὅπει ἄν καταφυγεῖν ἑκάστῳ ἐγγιον γένοιτο.

Στίχ: 180. . . . . ΠΟΤΑΜΩ᾽Ν ΚΑΤΑ᾽ ῬΕΙ᾽ΘΡ᾽ ᾽ΑΠΕΡΟ᾽ΧΘΕΙ. Ὡς μηδ᾽ εἰς ταὐτὸ σωιέναι βελομένοις ἐξεῖναι, παρὰ τὰ μεταξὺ ἕλκοντα ῥεῖθρα. Ἁπαντᾷ γοιῶ ἐνταῦθα πως ὁ Μάρων τῷ ἀπορήσοντι· πῶς ἐχὶ πανταχόθεν περὶ τὶω βασιλίδα σωέυσαντες σωιόρεμον, εἴ τι ἐπὶ τὸ τετάνθ χειμῶνες σωοίσειν ἰσχύσειαν.

Στίχ: 183. ΣΗ᾽ΜΑ ΠΟ᾽ΡΟΝ. Γῆ μὲν σαλευθεῖσα. Ἥρα δὲ ἡ προμνήστρια παραχῆς τὸν ἀέρα, ᾗ θυέλλης ἐμπλήσασα· τὸ δ᾽ ἀπ᾽ αἰθέρος σῆμα, στεροπαῖς ἐξαισίοις, καὶ κεραυνοῖς ἣν κατάσκηψαν. Ἔνθα Σέρβιος παρασημειῶται, τὰ ἐν ταῖς Γαμηλίοις τελεταῖς, (καὶ καθ᾽ ἡμᾶς φησὶν) εἰωθότα γίγνεσθαι. καὶ

Ἠνὶ ῥὰ Αἴγαγροι κορυφῆς ἐξάλμενοι ὄρευς,
Πετρῶν ἀκροτόμοισι κορύμβοις ῥίμφα θέεσκον·
Ἄλσθι δ' ἄυ Ἔλαφοι πέδον ἐυρὺ θοῶς διαβάντες,
Εἰλαδὸν ἐγκόνιοι φεύγεσκον, ἰὸ' ὄρεα λεῖπον.
Παῦς δ' ἄρα Ἀσκάνιος φαιδρὸς κατὰ ἄγκεα μέσσον,
Γήθε ἐπὶ ὁριμέως ἵππῳ, ἀτὰρ ἄλλοτε τὸς δε,
Ἄλλοτε δ' ἄυ ὄγε τὸς δ' ὑπερήιε· γλίχετο δ' ἴφι
Αἴκε παρὼν ἀφρέων μετ' ἀβληχροῖς πώεσι Κάπρος.
Ἦ Λὶς ἠϋγένειος, ὃς ἄρ καταβαίη ἀπ' ὄρευς.
Τοῖς δ' ἐπὶ σὼ μεγάλῃ ἠχῇ πόλος ἦρχε θροεῖσθαι.
Ῥαγδαῖος δέ τις ὄμβρος ἐφέσπετο, σώ τε χαλάζῃ·
Καὶ μὲν ὀπηδοὶ ὅσοι Τύριοι, καὶ Τρώϊος ἦβη,
Ἀυτὰρ Δαρδάνιος πάϊς, ἠνὸς Κυθερείης,
Πτήξαντες κατ' ἀγρὸς, ἧτεν τέγος ἄλλοσε ἄλλος.
Ἐξ ὀρέων δὲ βίῃ ποταμῶν κατὰ ῥεῖθρ' ἀπερόχθει.
Σπεῖος τὰυτὸ δὲ Διδὼ ἰὸ' Αἰνείας τε ἐσῆψαν.
Πρώτη δὴ τότε γαῖα, ἀτὰρ προμνήϛρια Ἥρη,
Σῆμα πόρον· ϛεροπαὶ δ' ἐπὶ φαῦσαν· ἰὸ' αἰθὴρ ἔγνω
Συϛυγίῳ, Νύμφαι δὲ κορύμβα ἐξολόλυξαν.
Πρῶτον δὴ θανάτα ἦμαρ τόδε, ἀρχέκακόντε.



❀ ❀ ❀

Καὶ γάρτοι πυρσούς τε καὶ δᾷδας κατέχουσιν οἱ προπέμποντες τὰς Νυμφίους· καὶ παιδίον δὲ ὕδωρ φέρον ἐν τῇ προπομπῇ, ἓν καθαρᾶς τε καὶ καλλιῤῥόου πηγῆς παρέπεται.

Στίχ: 164. . . . . ΝΥΜΦΑΙ ΔΕ' ΚΟΡΥΜΒΟΥ ΕΞΟΛΟΛΥΞΑΝ. Καὶ τὸ δὲ γὰρ τῶν ἐπὶ τοῖς Ὑμεναίοις ἐθίμων ἰῶ, Παρθένιος ἐξωθεν τῆς Νυμφικῆς παῤῥάδος καθιεσᾶν, τὰ μὲν, Ὑπνωτικά τινα ἄσματα, τὰ δὲ διεγερτικὰ περισαδάσας, ἐν οἷς πολλὰ μὲν κατ' εὐχὴν ἐλέγετο, τὰ δὲ τοι καὶ εἰς ἐγκώμιον τῶν νενυμφευμένων. Οὐδέ τι προσίσαται ὧδε τὸ: (ἐξολόλυξαν.) Οὐ γὰρ ἐπὶ τῶν ἀπευκταίων τε καὶ σκυθρωπῶν μόνων ὁ ὀλολυγμὸς, ἀλλὰ καὶ ἐπὶ κραυγῆς εἴασεν ὑψηλῆς καὶ σωτηριωτέρας· καὶ εὐδέν τι ἧττον καὶ ἐπ' αὐτῶι τῶν θυμηρεσέρων. Καὶ γὰρ ὀλολυγὼ ἰδίως κατὰ Πλέταρχ. ἐν τῷ πέτερα τῶν Ζώων φρονιμώτ:) τῶν Βατράχων ἐϛὶν, οἳ περὶ τὰς ὀχείας ἀνακλήσεσι χρῶνται, τιὼ λεγομένῳ ποιοῦντες ὀλολυγόσα, φωνικὼ ἐρωτικὼ καὶ γαμήλιον οὖσαν. Τὰ δ' αὐτὰ καὶ Πλίν. (Φυσ. Ἱσορ. Βιβλ: ΙΑ Κεφ ΛΖ. Πρὸ δὲ τούτων Ἀριϛ. (Περὶ Ζῶ. Ἱσορ. Βιβλ: Δ Κεφ: Θ.) Καὶ ἐὸ ἄρα ἄκυρον τὸ παρὰ Ουιργιλίῳ ἐνταῦθα: ululârunt· καθ' ὃ καὶ αὐτοὶ (τὸ ἐξολόλυξαν) ὑπεθέμεθα. Ἐξιὼ γὰρ ἡ ἄλλως (τὸ ἐξαλάλαξαν) ὑποθέσθαι, καὶ σωζομένε τῇ μέτρε. Καί τοι ἡ τοῦτο ἐπὶ τῶν ἡδέων ἀδιαφόρως λέγεσθαι. ἢ ἐπὶ τῶν ἄλλως ἐχόντων. οὕτω γὰρ τῆς Βρέτε γαμετῆς Περικλέους λειποθυμίαι καὶ θάμβει καταληφθείσης, καὶ μογισχὶ τῷ δεῖ ἐκθηλάσης, αἱ θεραπαιναι πρὸς τιὼ ὄψιν ἀνηλάλαξαν, (ὡς Πλάτ: φησὶν εἰς Βίον Βρέτε.) Ἀλλ' ἐκεῖνο προσιλόμεθα, (ἐξολόλυξαν.) αὐτῇ τε κατ' ἴχνος βαίνειν τῇ Πιπτῇ ὡς εἰκότε ἔγγισα φιλοτιμεμένοι, καὶ τῇ ἀορίϛῳ σχιζάντες σημασίᾳ τῇ ῥήματος, ὥσπερ εἴρηται. Εἰδέτις ἐπὶ τὸ κακέμφατον περισέχοι τῆς λέξεως, λογιζέσθω δὴ καὶ τιὼ ἀποφράδα σωτηρίαν καὶ δυσιώνυμον, ἣν καὶ τὸ ἑφεξῆς ἔπος σαφῶς ὑπαινίττεται. (στίχ: 185.)

„Πρῶτον δὴ θανάτα ἦμαρ τόδε, ἀρχέκακόν τε.

Στίχ:

Nunc hyemem inter ſe luxu, quam longa, fovere,
Regnorum immemores, turpique cupidine captos.
Hæc paſſim Dea fœda virûm diffundit in ora.
Protinus ad regem curſus detorquet Jarbam,
Inceuditque animum dictis, atque aggerat iras.
Hic Ammone ſatus, raptâ Garamantide Nymphâ,
Templa Jovi centum, latis immania regnis,
Centum aras poſuit: vigilemque ſacraverat ignem,
Excubias Divûm æternas, pecudumque cruore
Pingue ſolum, et variis florentia limina ſertis.
Iſque amens animi, et rumore accenſus amaro,
Dicitur ante aras, media inter numina Divûm,
Multa Jovem manibus ſupplex oraſſe ſupinis.
Jupiter omnipotens, cui nunc Mauruſia, pictis
Gens epulata toris, Lenæum libat honorem,
Aſpicis hæc? An te genitor, cum fulmina torques,
Nequicquam horremus, cæcique in nubibus ignes
Terrificant animos, et inania murmura miſcent?
Fœmina, quæ noſtris errans in finibus, urbem
Exiguam pretio poſuit: cui littus arandum,

Cui-

❀ ❀ ❀

Στίχ: 186. ΟΨΙΝ . . . . ΟΥΔΕΤΕ ΦΗΜΗΝ. Οὔτε τιὼ πρὸς τὸ παρὸν παρὰ τῶν τὰ δρώμενα θεωμένων ἀποτροφιὼ καὶ κατάγνωσιν, ἔτε τιὼ ἐπὶ τὸ μέλλοντος ἐπακολουθήσουσαν δυσφημίαν καὶ δύσκλειαν.

Στίχ: 188. ΣΤΥΓΙΓΗΝ Δ' ΟΝΟΜΗΝΕΝ, . . . . Γαμικὸν σιώδεσμον ἀπεκάλει, ὡς ὄθεν ἐκ τῦ συγχωρεῖντος νόμυ τὸ εὐπρεπὲς καὶ κόσμιον ἔχοσης τῆς πράξεως, τὸ αἰσχρὸν ἔτω καὶ ἐπίψογον τῦ πράγματος, σεμνῷ ὀνόματι καὶ εὐφήμῳ περιαμπέχοσα.

Στίχ: 190. ΦΗΜΙΣ, ΤΗΣ ΟΥΔΕΝ ΚΑΚΟΝ κτ: Ὑποτυποῖ τιὼ Φήμιν ὁ Μάρων ὧδε πρωτοποιήσας, εἶαν Ὅμηρος τιὼ Ἔριν Φθάσας διέγραψεν Ἰλ: Δ. 440.

. . . . . Ἔρις ἄμοτον μεμαυῖα,
Ἄρεος ἀνδροφόνοιο κασιγνήτη, ἑταίρη τε·
Ἣ τ' ὀλίγη μὲν πρῶτα κορύσσεται, αὐτὰρ ἔπειτα
Οὐρανῷ ἐσήριξε κάρη, καὶ ἐπὶ χθονὶ βαίνει.

Ἔνθα τῇ τῶν ὑποκειμένων διαφορᾷ Μακρόβιος ἐπισήσας (Βιβλ: Ε'. Κεφ: ΙΓ.) μᾶλλον ἢ τῇ Μαρωνικῇ φήμῃ, ἐφαρμόζουσαν ἔκρινε τῇ Ὁμηρικῇ ἔριδι τιὼ ὑποτύπωσιν. Ἤψατο δ' ἐκ μέρες τῆς αὐτῆς εἰκόνος καὶ Καλλίμαχος

Ἴθματα μὲν χέρσω, κεφαλὰ δὲ οἱ ἄψατ' ἐλύμπω.

Στίχ: 195. ΥΣΤΑΤΗΝ, ΦΑΣΙ', ΚΟΙΟΥ ΙΔ' ΕΓΚΕΛΑΔΟΥ ΚΑΣΙΓΝΗΤΗΝ. Τοιγαροῦν καὶ ἡ Φήμη Τιτωνὶς ἰὼ κατὰ Μάρωνα, ὥσπερ καὶ Κοῖος καὶ Ἐγκέλαδος, καὶ οἱ λοιποὶ τῶν Τιτάνων, οἵ ἐξ Οὐρανῦ μεμυθευνται καὶ Γῆς γεννηθῆναι. (Ἀπολλόδ. Βιβλ: Α. Κεφ: Α. καὶ ς.) Ἀλλ ὅτι γὰρ τὸν Θεὸν ἀμυνομένη ἡ Γῆ τιὼ Φήμιν ἀπέτεκε, καὶ ταύτιω ὑστάτιω, τετὶ μὲν Ἀπολλοδώρω ἐκ ἄρηται, ἐξ ἄλλε δὲ τυχὸν ὁ ἡμέτερος ἔχε τῦτο παραλαβών, ἢ καὶ δι ἑαυτῦ ἀναπλάσας· τὶ δὲ τὸ Ὑστάτιω προσεθὲν αὐτῷ βέλεται; ἢ ὅτι τῶν κακῶν ὑπέληφεν εἶναι τιὼ δυσφημίαν τὸ ἔσχατον. Καὶ Ἰατροῖς δὲ λόγος κοινῦ περιφέρεται (φησὶ Σέρβιος), τὰ ἔσχατα τῶν τικτομένων ἐξωλέστατα φύεσθαι. Ὁ περὶ τῶν νοσημάτων ἐνθὲν πάντως ἀληθεύει· ὡς ἐκ ἂν ἄλλως εἶεν τὰ ἔσχατα. Πῶς δὲ καὶ ἠμῶτο; Ὅτι (φησὶν ὁ αὐτὸς-) τὰς Θεῶν ἀταθαλίας ἡ Γῆ διὰ τῆς Φήμης δεδημοσίωκεν.

Στίχ:

Ὄψιν μὲν τ' ἀπὸ τῆδ' οὐκ ὤθετο, οὐδέ τε φῆμιν.
Οὐκέτι γὰρ λαθραῖον ἔρον Διδοῦς μετὰ ἦεν,
Συξυγίῃ δ' ὀνόμηνεν, ἐὸν δ' ὡς ἄμπεχεν αἶχος.
Αὐτίκα δὴ Λιβύης μεγάλ' Ἄξε ἐφίπτατο Φῆμις·
Φῆμις, τῆς οὐδὲν κακὸν ὦκιον ἔπλετο ἄλλο.
Κινυμένη θάλλει, ἰσχὼ δὲ πορίζετ' ἴσσα.
Πρῶτα δέει ὀλίγη τις, ἀειρομένη δὲ ἔπειτα,
Ἐν χθονὶ μὲν βαίνει, νεφέεσσι κρὰς δ' ἐνὶ κεύθει.
Τιὼ δὲ Θεῶν γε χόλῳ ἐρεθισθεῖσ' αἶα ῥὰ μήτηρ,
Ὑστατίῳ, φασὶ, Κοίῳ ἰδ' Ἐγκελάδῳ κασιγνήτῳ
Γάνατο, ὀξείῃ ποσίτε, πτερύγεσσί τ' ἔῤσαν.
Φρικαλέον τι πέλωρ μέγα, τῷ πτίλα σώματι ὅσσα,
Ὄμματ' ὕπεστι τόσ' ἄττ' ἐγρήγορε· (θαῦμα φατίζειν.)
Τόσσαι δὲ γλῶσσαι, τόσα δὲ στόματ', ἤατα τόσσα.
Ἠδέ τ' ἀειρομένη γῆς μεσσηγὺς καὶ Ὀλύμπου,
Νύκτα κατ' ὀρφναίῃ περὶ ἴπταται ἐξιάχουσα,
Οὐδ' ἐπινευστάζει γλυκερὸν προτὶ ὄσσε ὕπνον.
Ἤμασι δ' ἐνσκοπέει, τέγος ἑζομένη ἐπὶ ἄκρον,
Ὑψορόφους τε βάρεις· μεγάλ' αὐτὰρ τ' ἔθνεα θράττει.
Ἀπριὲς ἰχομένη ἐπίσης ψευδῶν τ' ἐτεῶν τε.
Πολλῶν δ' ἤγ' ἐπέων τῆμος λαοὺς ἀνεπίμπλα·
Ἔιρειν χαῖρε δ' ἐόντα τε, μηδέ τ' ἐόντα ὁμοίως.
Ἐλθέμεν Αἰνείαν, Τρωὸς περ ἀφ' αἵματος ἄνδρα,
Καὶ μιν δεξαμένῃσι Διδοῦς προελέσθαι ἀκόιτις.
Νωῒ δ' ἄρα ἀμφοτέρω διὰ χείματος ἡδυπαθήσειν,
Λήσμονε Κοιρανίης, αἰσχρῷ τε ἔρωτι ἅλόντε.
Τοῖα Θεὰ στόμασιν μιαρὴ κατὰ χεῦεν ἁπάντῃ.
Ἴθματα δ' αὐτίκα ὡς κρείοντα τρέψεν Ἰάρβαν.
Δαῖε δὲ θυμὸν ἔπεσσιν, ἀτὰρ τ' ὀργὰς ἐπιτεῖνεν.
Ὅς ῥ' Ἄμμωνι φὺς, εὖτ' ἦρεν Γαραμάντιδα Νύμφῃν
Ζιωὶ

❋ ❋ ❋

Στίχ: 212. ΤΟΓΑ ΘΕΑ ΣΤΟΜΑΣΙΝ ΜΙΑΡΗ κτ: Θεὰν εἶναι τὴν Φήμην ὁ πρῶτος εἶπεν ὁ Μάρων. Ταύτην γὰρ καὶ Ὅμηρος Ὄσσαν, ὅπερ ἐστὶ θρεπτὸν τινα θεῶν, ἐξωνόμασε· καὶ Ἡσίοδος δὲ αὐτὴν ἐξεθέωσεν. (Ἔργ. καὶ Ἡμ. Β) „Θεός νύ τοι ἐστι καὶ αὐτὴ καὶ ἄλλοι δὲ μετὰ τύτης συχνοί. Λλλὰ Θεὰν πρσσειρηκώς πῶς ἅμα τὴν αὐτὴν καὶ μιαρὴν ὧδε προσεῖπεν; Ὅτι ἀπίστης ἐστὶ καὶ ἀνελεήμων, ὡς ἔφη Σέρβιος: Crudelis et impia. ἢ ὅτι, ὡς ἐγ' ὤμαι, ἐδὲν τῆς κακοφημίας ἀνθρώποις γένοιτο μιαρώτερον· ὧν γὰρ ἂν εἰσάπαξ ἐφάψαιτο, βδελυκτὰς αὐτὰς καθίστησι διὰ παντὸς καὶ ἐξαγίστους, δυσαπέυιπτον τέτοις τὸ μίασμα, καὶ ἀναπόμορκτον τὸ ὄνειδος καὶ τὸ αἶσχος προσεμποιοῦσα, δευσοποιόν τε τὴν κηλίδα εἰς ἀεὶ παραμενοῦσαν προσριβοῦσα.

Στίχ: 213. . . . . ΩΣ ΚΡΕΙΟΝΤΑ ΤΡΕΨΕΝ ΙΑΡΒΑΝ. Ὅς τις μὲν Ἰάρβας ὑπῆρχε, καὶ ὅπως περὶ τὴν Διδὼ ἐτύγχανεν ἔχων εἴρηται (Ἀνωτ: στίχ. 38. Αὐτ:) Πρὸς τοῦτον οὖν ἡ Φήμη πρὸ πάντων, μίσους τε καὶ δυσμενείας τῇ γυναικὶ, τὰ κατ' αὐτὴν ἀναγγελοῦσα πρόσεισι. Πρῶτοι γὰρ, ὡς τὰ πολλὰ, τὰ τῶν κακῶς ἀκουόντων μανθάνουσιν οἱ ἐχθρῶδῶς πρὸς αὐτοὺς διακείμενοι.

Στίχ: 215. Ὅς Ρ' ΑΜΜΩΝΙ ΦΥΣ κτ: Ἐκ Διὸς τοῦ Ἄμμωνος, καὶ Νύμφης Γαραμαντίδος Ἰάρβας γενέσθαι λέγεται· ὧν ὁ μὲν, ἐν ᾠδῇ κρὶῦ κερασφόρῳ,

Cuique loci leges dedimus, connubia noſtra
Reppulit, ac dominum Æneam in regna recepit.
Et nunc ille Paris cum ſemiviro comitatu,
Mœoniâ mentum mitra, crinemque madentem
Subnixus, rapto potitur; nos munera templis
Quippe tuis ferimus, famamque fovemus inanem.
Talibus orantem dictis, araſque tenentem,
Audiit omnipoteus, oculoſque ad mœnia torſit
Regia, et oblitos famæ melioris amantes.
Tunc ſic Mercurium alloquitur, ac talia mandat:
Vade age, nate, voca Zephyros, et labere pennis:
Dardaniumque ducem (Tyriâ Carthagine qui nunc
Expectat, fatiſque datas non reſpicit urbes)
Alloquere, et celeres defer mea dicta per auras.
Non illum nobis genitrix pulcherrima talem
Promiſit, Grajûmque ideo bis vindicat armis:
Sed fore, qui gravidam imperiis belloque frementem
Italiam regeret, genus alto à ſanguine Teucri
Proderet, ac totum ſub leges mitteret orbem.
Si nulla accendit tantarum gloria rerum,
Nec ſuper ipſe ſuâ molitur laude laborem,
Aſcanione pater Romanas invidet arces?
Quid ſtruit? aut quâ ſpe inimicâ in gente moratur,
Nec prolem Auſoniam, et Lavinia reſpicit arva?
Naviget, hæc ſumma eſt: hic noſtri nuncius eſto.
Dixerat. ille patris magni parere parabat
Imperio

❁ ❁ ❁

ἐν ταῖς ἀμμώδεσι Λιβυκαῖς ἐρήμοις τιμώμενος, ἐντεῦθεν καὶ τῆς τε Ἄμμωνος ἔλαχε κλήσεως, εἰ μήτις μᾶλλον ἀπὸ Χὰμ υἱῆ Νῶε ἐτυμολογῆσαι ἔλοιτο· ὅτε καὶ διὰ δασέως (α) καὶ δι' ἑνὸς (μ) ἐκφέρειν τε καὶ γράφειν δεήσει τὸν Ἄμωνα. Ἡ δὲ, ἐκ τῆ Γαραμάντων ὑπῆρχεν ἔθνος, τῆ τὰ ἐνδοτερα τῆς Ἀφρικῆς ἔχοντος, καὶ πρόσοικον τοῖς Αἰθίοψιν.

Στίχ: 216. . . . . ΝΕΩΣ ΜΕΓΑΛΟΥΣ ΕΚΑΤΟΝ κτ: Οἱ τιὼ ἑκατοστιὼ τῶν Ναῶν μὴ φέροντες, εἰς ναῦς μετειλῆφασι τὸ ῥηθὲν τὲς λεγομένες ἑκατοντακρήπιδας, εἴτε τὲς ἐπὶ ἑκατὸν κίοσι κρηπιζομένες γενέσθαι εἰκὸς. ἢ ἴσως ἑκατομπέδες, τὲς ἀπὸ ποδῶν ἑκατὸν κατὰ πλευρὰν ἑκάστιν ἐυρυνομένες, οἷον ἦν τὸ Ἀθλύησιν ἑκατόμπεδον, καὶ ὁ ἑκατόμπεδος Παρθενών, περὶ ὧν Πλάταρχος, τῆ μὲν ἐν Βίῳ τῷ Μάρκε Κάτωνος, τῆ δὲ ἐν τῷ Περικλέες. Ἀλλ' εἶδεν ἐπάναγκες τὸν ἀριθμὸν τῶν Ναῶν, εἰς τὸν τῶν κίονων, ἢ τῶν ποδῶν παραβιάζεσθαι, ἑξὸν τὲς ἑκατὸν ἀντὶ τῆ πλήθους, ἤτοι ἀντὶ πολλῶν ἐνοσεῖν ἀορίσως, καθὰ καὶ ἀλλαχῆ (Γ. Αἰν. 112.) εἴρηται.

Στίχ: 217. . . . . ΗΔ' ΑΓΡΥΠΝΟΝ ΠΥΡ . . . . Ἤτοι ὡς καθ' ἑαυτὸ ἀγρυπνῆν μεταφορικῶς· τετέχθαι γὰρ ὡς ἄσβεστον· ἢ καὶ διὰ τιὼ τῶν αὐτὸ τεταγμένων φυλάσσειν ἐκ διαδοχῆς ἐγρήγορσιν· ἢ τέως καὶ διὰ τὸ ἐνδελεχὲς τῶν θυμάτων, ἅπερ ἐπὶ τῶν ἐν τοῖς ἑκατὸν Ναοῖς βωμῶν, νύκτωρ τε καὶ μεθ' ἡμέραν ἐσφαγιάζετο.

Στίχ: 224. . . . . ΜΑΥΡΟΥΣΙΟΝ ΕΘΝΟΣ· Τὸ πρὸς δυσμὰς ἀπὸ Νομιδίας ἄχρι τῆς Ἀτλαντικῆς θαλάσσης, καὶ τῆ Γαδιτανῆ πορθμῆ ἔχον τιὼ οἴκησιν. Μαῦροι δὲ καὶ Μαυρούσιοι, καὶ Μαυριτανοὶ ἐκαλοῦντο, εἴα πε καὶ Μαυρουσία ἡ χώρα, τῆ θέσει προσεφαρμοθείσης τῆς κλήσεως· ἐν γὰρ τοῖς περὶ τιὼ Ἀφρικιὼ αὐτῶν περιπλοις οἱ Φοίνικες, ἐκεῖνο τῆς γῆς τοπάσαν-

Ζηνὶ νεὼς μεγάλης ἑκατὸν γ' ἐυρεῖ ἐνὶ κάρτει,
Βωμούς τ' ἴσας, ἠδ' ἄγρυπνον πῦρ ἀνὰ θῆκεν,
Ὥξε διαμπερέως καίεσθαι τοῖσι Θεοῖσι.
Καὶ λιπαρὸν πυκνοῖς ἱερείων ἄμασιν ἕδας.
Σταθμὰ τ' ἐπανθεῦντα σεφανώμασι ποικιλόχρωσιν.
Ἕκφρων ὡς ὁ δὲ τοι φλεγμήνας θρῷ δακεθύμῳ,
Πρὸς βωμῶν, λέγεται, θείοις ἰνδάλμασιν ἐξὼς,
Ἐκτενέως μάλα, χεῖρας ἀναχὼν, Ζηῒα λιτέσθαι.
Ζεῦ πάντων μεδέων, τῷ νῦ Μαυρήσιον ἔθνος,
Δαιτὸς ἐπὶ κλισμοῖς γραπτοῖς Ληνήϊα λείβει
Ταῦθ' ὁράας πάτερ; ἠὲ κεραυνὸς ἀνσροφέοντα,
Μάψ ὀρῳωδέομεν; νεφέων δ' ἄπο ἄσκοπα πυρσὰ
Ψυχὰς ἐκπλήσσει, κενεοῖς παταγῆντα ἐν ἤχοις;
Θῆλυς καὶ γὰρ ἀλῆτις ἐν ἡμετέροισιν ὅροισιν,
Ἥ τιμῆς παύρης ὠνητὸν ἐδέματο Ἄσυ
Τῇ τε ἀροιῶ ἀκτιὼ ἐνεδώκαμεν, ἃ δίχα θεσμῶν,
Ἣδ' ἡμῶν ῥὰ γάμους ἀπεώσατο· αὐτάρ ἔπειτα,
Αἰνείαν ἀυτῆς τ' ἰδὲ κάρτεος ἅλετο ἄρχειν.
Νῶ κεῖνος δὲ Πάρις μετὰ γύνγισιν οἷς ὀπέωσι,

F 2 Μίτρη

❀ ❀ ❀

πάσαντες εἶναι τὸ δυτικώτατον, (Mauriam) ἐξωνόμασαν, ὅπερ αὐτὸ τῦτο σημαίνει τῇ ἐκείνων Φωνῇ. (M. Helliez ἐν τῇ κατὰ Οὐιργ. Γεωργ.)

Στίχ: 225. ΔΑΙΤΟΣ ΕΠΙ ΚΛΙΣΜΟΙΣ . . . . ΛΗΝΗΪΑ . . . . Ἡνίκα ἐν ταῖς Ἑστιάσεσι κάθηται ἐυωχέμενον, καὶ διὰ τὸ ἐν τοῖς λίωσιν ἀποθλιβομένε νάματος, ἤτοι τὸ οἶνε. τὰς λοιβὰς σοὶ ποιεῖται.

Στίχ: 226. ΤΑΥΤΘ' ΟΡΑΑΣ ΠΑΤΕΡ κτ: Εἰς ὀργὴν τὸν Δία ὑπερεθίζων τε ἡ παροξυνών, τὰ ἐξῆς ἰάρβας σωπάπτει, ὃ πολὺ παραλάσσοντα, ὧν καὶ παρ' Ὁμήρῳ Ποσειδὼν ἔφασκεν. Ἰλ: Η'. 446.

„Ζεῦ Πάτερ, ἠράτις ἐσὶ βροτῶν ἐπ' ἀπείρονα γαῖαν,
„Ὅς τις ἔτ' ἀθανάτοισιν νόον καὶ μῆτιν ἐνίψει;
„Οὐχ ὁρᾷας ὅ ὅτι κτ:

Παραπλήσια δὲ καὶ Τίμων παρὰ Λεκιανῷ πρὸς Ζηῦα δεινοπαθῶν ἀπετόξευεν.

Στίχ: 227. . . . . ΑΣΚΟΠΑ ΠΥΡΣΑ. Τὰ τῶν κεραυνῶν, ἐκ ἐκ προνοίας, ἐδὲ κατὰ λόγον, καὶ πρός τι τέλος, ἀλλ' εἰκῇ, καὶ ὡς ἔτυχε, καὶ οἷον εἰπεῖν ἐξ αὐτομάτε ἐπισκήπτοντα.

Στίχ: 230. . . . . ΩΝΗΤΟΝ ΕΔΕΜΑΤΟ ΑΣΤΥ. (Ὅρα Α. Αἰν. στίχ. 402.)

Στιχ: 231. . . . ΟΥ ΔΙΧΑ ΘΕΣΜΩΝ. Οὐκ ἄνευ σωθηκῶν ἐννόμων, καὶ ὅρων τινῶν προτεθέντων· ἀλλ' ὥσε ὑποπεσθῆ ἡμῖν αὐτὸν εἶναι, καὶ τοῖς ἡμῶν καθυπείκειν βελήμασιν.

Στίχ: 232. . . . . ΗΜΩΝ . . . . ΓΑΜΟΥΣ κτ: Τὸν μεθ' ἡμῶν ὑμέναιον, ἀνδρῶν δηλ: τοιέτων τε καὶ τηλικέτων!

Στίχ. 233. ΑΙΝΕΙΑΝ κτ: Τὸν τίνα; καὶ πόθεν; καὶ ὅσον;

Στίχ: 234. ΝΥΝ ΚΕΙΝΟΣ ΔΕ ΠΑΡΙΣ ΜΕΤΑ ΓΥΝΝΙΣΙΝ . . . . . Αἰνείαν λῶ Πάριδι παραβάλλει λοιδορέμενος καὶ ἐξεθενῶν, ὡς ἀλλοτρίοις γάμοις ἐπιβελεύοντα καὶ τέτον, καθάπερ ἐν κἀκεῖνος πρότερον τοῖς Μενελάε. Γύνγιδας δὲ τὰς Αἰνείε ἀποκαλεῖ ἑταίρας, ὡς ἀνάνδρες τινὰς προπηλακίζων καὶ θηλυδρίας. Καθόλε γὰρ ἐπὶ θρύψει τε καὶ μαλακίᾳ οἱ Φρύγες ἦκον κακῶς. Ἐξ αὐτῶν δὲ τὰ πλεῖσα οἱ Ἐκτορίαι τε καὶ Θλαδίαι καὶ Σπάδωνες, καὶ ὁ τοιέτος, ἐχ ὅπως τῶν περὶ τὸν Κυβέλιν ἐργιαζόντων Θίασος, ἀλλὰ καὶ ὁ τῶν ἐξαγίσων ἀνδραπόδων τῶν περὶ τὸν γυναικωνίτιδα ὄχλος.

Στίχ:

Imperio, et primum pedibus talaria nectit
Aurea, quæ ſublimem alis, ſive æquora ſupra,
Seu terram, rapido pariter cum flamine portant.
Tum virgam capit: hâc animas ille evocat Orco
Pallentes, alias ſub triſtia Tartara mittit;
Dat ſomnos, adimitque, et lumina morte reſignat.
Illâ fretus agit ventos, et turbida tranat
Nubila. Jamque volans apicem, et latera ardua cernit
Atlantis duri, cælum qui vertice fulcit:
Atlantis, cinctum aſſidue cui nubibus atris
Piniferum caput et vento pulſatur, et imbri.
Nix humeros infuſa tegit: tum flumina mento
Præcipitant ſenis, et glacie riget horrida barba.
Hîc primum paribus nitens Cyllenius alis
Conſtitit: hinc toto præceps ſe corpore ad undas
Miſit, avi ſimilis, quæ circum littora, circum
Piſcoſos ſcopulos, humilis volat æquora juxta.
Haud aliter terras inter, cælumque volabat,
Littus arenoſum Libyæ, ventoſque ſecabat,

Mater-

❀ ❀ ❀

Στίχ: 235. ΜΙΤΡΗΝ ΜΗΟΝΙΚΗΝ, ΓΕΝΝΥΝ ΤΕ ΚΟΜΗΝ Τ' . . . . Πλος τις ἰῶ βαρβαρικὸς ἡ τοιαύτη Μίτρα, κεφαλῆς μὲν ἐκκατιὼν, καὶ ταῖς ἀφ' ἑκατέρωθεν ἄκραις τὸν ἀνθερεῶνα συμπεδέων, ἐν χρήσει τε ὢν γυναιξί τε καὶ γυνίσι· τὸ δὲ Μυονικῆ, ἐξὶ τῇ Λυδίᾳ, ἢ θηλυπρεπῶς κοσμεῖσθαι ἔχαιρον οἱ Λυδοὶ. Μυονία γὰρ τὸ πάλαι, ἡ ὕστερον κληθεῖσα Λυδία, ὡς ἐξὶ μαθεῖν ἐξ Ἡροδ. Βιβλ: Α. καὶ Στράβ. Βιβλ: ΙΓ. Ἐπισκώπτει γᾶν ἐν ταῦθα τὸν περὶ Αἰνείαν Ἰάρβας γυναικωδῶς παριζῶν καὶ μωπιζομένης, ὃν τρέπον καὶ Πάριν μετὰ τιὼ φυγομαχίαν παρ' Ὁμήρῳ ἀναγινώσκομεν παριστάμενον: Ἰλ: Γ. 391.

„Κεῖνος ὀγ' ἐν θαλάμῳ καὶ δινωτοῖσι λέχεσσι
„Κάλλεί τε εἵλβων, καὶ εἵμασιν κτ:

Στίχ: 236. ΥΠΡΟΤΕΡΗΝ, ΚΡΑΤΕΪ ΑΡΠΑΓΜΑΤΟΣ. Μύρεις τε διάβροχον κὴ ἀλείφασι. τὸ δ' ὡς ἁρπάγματος κρατεῖν τῆς Διδῦς τὸν Αἰνείαν, ὃ προξίδησιν Ἰάρβας, ἐκέτι σκῶμμα τίδε ἀδὲ χλεύη ἐξὶν. ἀλλὰ διαβολὴ σαφὴς, ἣν ἐξ ἐμπικρηναμένης ψυχῆς ἐξεφεύγεται· ἃ γὰρ, ἁδε πρὸς ἀπάτιω Αἰνείας, ἅτε πρὸς βίαν, ὥσπερ ὁ Πάρις τῇ Μενελάᾳ, τῇ Λυδῇ συμπεριενήνεκται.

Στίχ: 237 . . . . ΚΕΝΕΗΝ Δ' ΥΠΟΘΑΠΟΜΕΝ ΟΣΣΑΝ. Τιὼ κενιὼ, ὦ Ζεῦ, καὶ ματαίαν ταύτιω, ὑπόληψιν, καθ' ἰῶ σε τῶν ἀδικεμένων προστάτιω κὴ ἐπαρωγὸν οἰόμεθά τε πάντες καὶ ἐπικαλέμεθα· ἦ, κενιὰ, ἄλλως, καὶ ἐπίπλαστον Ἰάρβας πυνιάται τιὼ περὶ αὐτῆ διαβρέβασαν φήμιω, ὡς δῆθεν ἐξ αὐτῆ Διὸς γενομένᾳ τῆ Ἄμμωνος.

Στίχ: 238 . . . . . ΒΩΜΩΝ ΙΣΧΟΜΕΝΟΙΟ. Τῶν βωμῶν γὰρ ἐχεσθαι ἀμφοτέραις ἔδει τὰς θύοντας, ἢ κατευχομένας, ὡς ἂν μᾶλλον προσέχοντας αὐτῶν ταῖς ἱκεσίαις τὰς Θεὰς ἔχοιεν· καθ' ἣν δὴ τρόπον κὴ ἱκετεύοντες γονάζεσθαι ἐώθεσαν, μὴ ἀνιέντες εἰς ὃ ἐπινεύσειαν. (Γ. Αἰν. 634.)

Στίχ: 242. . . . . ΑΪΨΑ ΚΑΛΕΙ ΖΕΦΥΡΟΥΣ . . . . Τὰς ἤτοι ἐπὶ γῆς σε μετάξοντας, ὦ Διάκτορε, ἢ τῷ Τρωῒ πρὸς τὸν ἔκπλων ἐρίβς πνεύσοντας. Ζεφύρες δὲ νοητέον σωεκδοχικῶς τὰς ἀνέμας. Οὕτω δὲ Ζεὺς κὴ παρ' Ὁμήρῳ τὸν ὄνειρον ὡς Ἀγαμέμνονα ἐπιστέλλει. (Ἰλ: Β. στίχ. 8.)

„Βάσκ' ἴθι δῖε ὄνειρε θοὰς ἐπὶ νῆας Ἀχαιῶν,
„Ἐλθὼν εἰς κλισίῃ Ἀγαμέμνονος Ἀτρεΐδαο
„Πάντα μάλ' ἀτρεκέως ἀγορευέμεν ὡς ἐπιτέλλω.

Στίχ:

Μίτρῃ Μηονικῇ γέννω τε κόμω τ' ἀνάδητος,
Ὑγροτέρῳ, κρατέει ἁρπάγματος· οἱ δ' ἄρα δῶρα
Ναοῖς σοῖς Φέρομεν, κενεὼ δ' ὑποθάλπομεν ὄσσαν.
Τοῖ ἐπιμεμφομένη, καὶ βωμῶν ἰχομένοιο
Ἔκλυε παμμεδέων, ἐπὶ τείχεα δ' ἶδεν Ἀνάσσης,
Καὶπὶ ἐρῶντε, ἑῆς περ φήμης ἀπ ἀλέγοντε.
Εἶθ' οὕτως Ἐρμεῖω προσέφη, τοιαῦτ' ἐπιτέλλων.
Βάσκ' ἴθι παῖ φίλε, αἶψα κάλει Ζεφύροιο πεπτηῶτα·
Δαρδανιδῶν ἄρχοντι (ὃς ἤδη μάψ διατρίβων
Νῶν ἐν Καρθαγένῃ δηθύνει· ἀδέ τι πάμπαν
Ὄσσετ' ἐπ' Ἄξεα, ἅττα πέπρωται οἱ ἐκ Μοιράων·)
Ἄγγελ' ἄπερ κέλομαι πορθμεύσας ῥίμφα δι' αὔρας·
Οὐχ ἡμῖν καλὴ μὶν τοῖον ὑπέχετο μήτηρ.
Τῷ δὶς ἀμωαμένη Δαναῶν ἀνερύσσατο ὅπλων·
Ἀλλ' οἷον μέλλεν, βασιλείας τ' ὠδινέσσαν
Ἰταλικιὼ χθόνα, καὶ πολέμοις δεινὸν βρομέσσαν,
Εὖ ῥὰ διέψειν, καὶ Τεύκροιο μέγ' ἔξοχον αἷμα
Ἐκποτιάξειν, γῆς δ' ἐπὶ πάσης τέθμια θήσειν.
Ἦν μὴ τόσσων εὖχος ἀέθλων μὶν δ' ἐρέθῃσιν,
Οὔτ' ὑπὲρ ἐυκλείης ἰδίης ἀμβάλλετ' ἀγῶνα,
Ἀσκανίῳ τὶ πατὴρ βασκαίνει Ἄξεα Ῥώμης;
Τίφθ' ἔρδει; τὶ μένων παῤ δηΐῳ ἔλπεται ἔθνει;
Οὐ γόνον Αὐσόνιον σκοπέει, γᾶς Λαβινίας τε;
Πλεῖτω· ἄρηται πᾶν. Τῶνδ' ἐμοὶ ἄγγελος ἔσσο.

Ὡς

❖ ❖ ❖

Στίχ: 248. ΤΩΙ ΔΙΣ ΑΜΥΝΑΜΕΝΗ κτ: Τὸ μὲν πρῶτον, ὅτε κατ' ἰχίον ὑπὸ Διομήδους χερμαδίῳ βληθέντα, καὶ γνύξ ἐρειπόντα, Θάλασσα ἡ μήτηρ ἔτι πολέμια ὑπεξέφερε κακῶς ἔχοντα. (Ἰλ: Ε, 305—318) Τὸ δὲ δεύτερον, ὅτε Ἀχιλλεῖ ὁμόσσε τετολμηκότα χωρῆσαι, Ποσειδὼν ἐπισὰς ἐξερύσατο. (Ἰλ: Υ. 320—325.)

„Ἀνείαν δ' ἐπέσευεν ἀπὸ χθονὸς ὑψόσ' ἀείρας.

Στίχ: 250. . . . . ΚΑΙ ΠΟΛΕΜΟΙΣ ΔΕΙΝΟΝ ΒΡΟΜΕΟΥΣΑΝ, Ἐάν γὰρ τὰς, ἐφ' οἷς Λατῖνος ἐβασίλευε τῆς χώρας, χρόνος ἐξέλῃς, συχνοῖς ἀεὶ καὶ ἀλλεπαλλήλοις πολέμοις ἡ Ἰταλία διεγυμνάζετο, (Σέρβιος.)

Στίχ: 255. ΑΣΚΑΝΙΩΙ ΤΙ ΠΑΤΗΡ ΒΑΣΚΑΙΝΕΙ κτ. Ἐπίτηδον ὅπως ὁ Ποιητὴς, ὡς ἐκ παρόδου, διὰ τῶνδε τῶν ἐπῶν, τὸν τῆς θωπείας προπίνει τῷ Καίσαρι κύλικα. Αὐτὸς γὰρ Ζεὺς ὧδε τὸ Κράτος ἀνακηρύττει Ἀσκανίῳ ὀφείλεσθαι τοῦτο δὲ ἐξ ἰσχὶ κατὰ τὸ ἑπόμενον Αὐγούστῳ· πρὸς γὰρ Ἴλλον ὁ τῶν Ἰουλίων εἶκος ἀνήγετο. (Δίων Ἁλικαρν. Ῥωμ. Ἀρχ. ἐν Α'.)

Στίχ: 256. . . . . ΤΙ ΜΕΝΩΝ ΠΑΡ ΔΗΙΩΙ ΕΛΠΕΤΑΙ ΕΘΝΕΙ; Καὶ μὶν ἀπάνυ εὐλόγως τὸ τοιοῦτον πολέμιον ἂν λέγοιτο ἔθνος, τὸ ἐυμενῶς ἔχον καὶ χαριέντως λινεάντε καὶ τὰς περὶ αὐτὸν ἐπιζενῶν καὶ φιλοφρονούμενον. Ἀλλ' αὕτη ὑπὸ Διὸς, τῶν εἰσέπειτα Καρχηδονικῶν πολέμων, προεξιωχθη οἷον προαναφώνησις.

Στίχ: 257. ΟΥ ΓΟΝΟΝ ΑΥΣΟΝΙΟΝ ΣΚΟΠΕΕΙ, ΓΑΣ ΛΑΒΙΝΙΟΥΣ ΤΕ; Οὐκ ἐν νῷ λαμβάνει τὶς ἐν Αὐσονίᾳ προεπηγγελμένῳ αὐτῷ τῷ γένει διαδοχὶν, καὶ τὸ ἐπὶ τῆς γῆς ἐκείνης, διὰ τῶν Λαβινίας γάμων ἐπικληρωθησόμενον οἱ Κράτος;

Στίχ: 258. ΠΛΕΙΤΩ . . . . . Ὡς ἐξ ἐπιταγῆς ἀπαρεμπτήτως· πέρας λόγε, μηδεμίαν ἐνδιδοὺς διατριβῆς πρόφασιν.

Materno veniens ab auo Cyllenia proles.
Ut primum alatis tetigit mapalia plantis,
Æneam fundantem arces, ac tecta novantem
Conſpicit: atque illi ſtellatus jaſpide fulva
Enſis erat: Tyrioque ardebat murice læna,
Demiſſa ex humeris: dives quæ munera Dido
Fecerat, et tenui telas diſcreverat auro.
Continuo invadit: Tu nunc Carthaginis altæ
Fundamenta locas, pulchramque uxorius urbem
Extruis! heu regni, rerumque oblite tuarum!
Ipſe Deûm tibi me claro demittit Olympo
Regnator, cœlum et terras qui numine torquet:
Ipſe hæc ferre jubet celeres mandata per auras.
Quid ſtruis? aut quâ ſpe Libycis teris otia terris?
Si te nulla movet tantarum gloria rerum,
Nec ſuper ipſe tuâ moliris laude laborem;
Aſcanium ſurgentem, et ſpes hæredis Jüli
Reſpice; cui regnum Italiæ, Romanaque tellus
Debentur. Tali Cyllenius ore loquutus,
Mortales viſus medio ſermone reliquit,
Et procul in tenuem ex oculis evanuit auram.

At

❁ ❁ ❁

Στίχ: 259. ΩΣ ΦΑΤΟ κτ: Τὰ δ' ἐξῆς ἐπὶ λέξεως ἀναγινώσκεται παρ' Ὁμήρῳ: Ἰλ: Ω. 339—345. Καὶ Ὀδυσ. Ε. 43—49. τὰ αὐτὰ ὁμοίως.

Στίχ: 260. . . . . ΕΔΗΣΑΤΟ ΚΑΛΑ ΠΕΔΙΛΑ. Ἃ μὲν οὖν οἱ ποιηταὶ τὸν Ἑρμῆν ἐνταῦθα ὑποδύσει πέδιλα πτερωτὰ ἐξιν, ἃ καὶ γραφεὶς αὐτῷ περιάπτουσιν ἐν εἰκόσι, καὶ πλάσαι, εὐδὲν ἄλλ' ἢ τὸ τάχος τὲ Θεὲ παρεμφαίνοντα, ὅπερ ἐπιτελεῖ τὰς διακτορίας· ἐξ οὗ καὶ πτιλωτοπέδιλος ὕμνηται, καὶ πτερόπους, καὶ ἀερβυλόπτερος. Ἴσα τε πνοαῖς ἀνέμων διάτε γῆς καὶ διὰ θαλάσσης φέρεσθαι λέγεται· ἔνθεντοι καὶ τὸν ἐν Πλάτωνι Ἀσέρα Ἑρμῆν ἐπονομαθῆναι φασὶν, ὡς τῶν ἄλλων τάχιον τῇ περιφορᾷ ἐκπεραίνοντα. Ἀλλ' ὑπεξαιρετέον ἦν τῷ Σελλίῳ, τῷ ἐλάττονι ἢ ὑποτριπλασίονι λόγῳ, τῷ ἑαυτῆς τροχιᾷ ἐκπεριοδεύσαν.

Στίχ: 263. ΕΙΛΕΤΟ ΔΕ ΡΑΒΔΟΝ κτ: Καὶ ταῦτα τοῖς Ὁμήρε (ἔνθα εἴρηται ἄνωτ:) προσεοικότα.

„Εἵλετο δὲ ῥάβδον, τῇ τ' ἀνδρῶν ὄμματα θέλγει
„Ὧν ἐθέλει, τοὺς δ' αὖτε καὶ ὑπνώοντας ἐγείρει·

Ἐκ δὴ ταύτης ὁ Ἑρμῆς τῆς ῥάβδε, χρυσείας καὶ αὐτῆς ἔσης κατὰ τὰ πέδιλα, χρυσόῤῥαπις ἤκασεν. Ὀδυσ: Κ. 277.

„Ἔνθαμοι Ἑρμείας χρυσόῤῥαπις ἀντιβόλησεν.

Ὄργανον δ' ἦν ἡ ῥάβδος αὐτὲ ταῖς χερσὶ πολύχρηστον· δ' αὐτῆς γὰρ τὰς τε ἄλλας Διὶ, ἐτύγχανεν ὑπηρετῶν, καὶ τὰς περὶ τὰς ψυχὰς λειτουργίας, ἐξ οὗ καὶ ψυχοπομπὸς προσηγόρευται. Τῷ δὲ τοιαύτῳ ῥάβδον Κηρυκεῖον ὠνόμασαν, ἣν χερὶ κατέχων διήγγελλε τὰ ἐφ' οἷς ἐπέμπετο. Γραφόμενοι δὲ περὶ τὸ Κηρυκεῖον ὁρῶνται, περιελισσόμενοι τὲς ὁλκὲς ὄφεις δύο, ἀπὸ τραχήλων ἄνω τὰς κεφαλὰς διαίροντες ἀντιπρόσωποι. Σύμβολον, φασὶ, τόδε τῆς τὲ λόγε δυνάμεως, τὲ τῶν ἐννοιῶν Ἑρμείυεως, δι' οὗ καὶ οἱ ἀντιδιακείμενοι πρὸς ἄλληλες εἰς ὁμόνοιαν συναγόνται καὶ ὁμοφρονοῦσιν. Διὸ καὶ τοῖς παρὰ τῶν βασιλέων εἰς πρεσβείαν διαπεμπομένοις, ὡς Ἑρμῆ λογίε ὑποδρηστῆρσι παραπλησίοντι Κηρυκεῖον, πάλαι μὲν ἴσως ἰδῖ, νυνὶ δὲ νοεῖται ἐγχειριζόμενον. Ὅθεν καὶ Θεῖόν τι τὸ γένος νενόμισται τῶν Κηρύκων, καὶ παντὴ ἄσυλον, τὸ ἀπὸ Κήρυκος τῷ ἀρχηγῷ εἰληφὸς, ὃν Ἑρμῆς αὐτὸς Παν-

δρόσῳ

Ὡς φάτο· πατρὸς ὁ δ' ἄρ μεγάλᾳ ἐπιπείθετ' ἐφετμῇς.
Αὐτίκ' ἔπειθ' ὑπὸ ποσσὶν ἐδήσατο καλὰ πέδιλα.
Ἀμβρόσια, χρύσεια, τὰ μὲν φέρον ἐφ' ὑγρὰ,
Ἠδ' ἐπ' ἀπείρονα γαῖαν, ἅμα πνοιῇς ἀνέμοιο.
Εἵλετο δ' ἄρ ῥάβδον τῇ ψυχὰς ἐξ Ἀΐδαο
Ὠχρώσας καλέει, τὰς τ' ἂν ἐπὶ τάρταρα πέμπει·
Κ' ἢ μὲν ἐπεγχέυει ὕπνους, ὑπνώοντα δ' ἐγείρει.
Καί γε θανόωσι τέως ὅσσων φάεα σφραγίζει.
Τῷ μετὰ χερσὶν ἔχων, σώαγέν τ' ἀνέμους, νεφέλας τε
Νήχεθ' ὁμιχλώδεις· ἤδη πτιλοῦς δὲ κόρυμβον
Ῥίμφα ἀφιξάμενος, πλευρώματα ὄρθια λεῦσσε,
Τρηχέος Ἄτλαντος, πόλον ὤμοιν ὃς κατερείδει·
Ἄτλαντος νεφέεσσιν ὅτε περ ὑπαὶ δνοφεροῖσι,
Νωλεμὲς αἰεὶ κρὰς πιτυηφόρον ἐξεφάνωται,
Ἐνδελεχῶς δέ γε βάλλετ' ἀήταις, ἠδέ τε ὄμβροις.
Καὶ ῥὰ χιὼν πυκνὴ ἕο ὤμους ἀμφικαλύπτει,
Καὶ ποταμοὶ γένυος γηραιῆ δ' ἐκπαταχεῦνται,
Αὐταὶρ κρυξάλλοις φρικτὴ ῥιγέται ὑπιώη.
Ἔνθ' ὁμαλῶς κατπτὰς πρῶτον Κυλλήνιος ἔζη.
Ἔνθεν δ' ὁρμήνας ὅλος ὑψόθεν ἔμπεσε πόντῳ,
Σέυατ' ἔπειτ' ἐπὶ κῦμα λάρῳ ὄρνιθι ἐοικὼς,
Ὅς τε κατὰ δεινὰς κόλπους ἁλὸς ἀτρυγέτοιο
Ἰχθῦς ἀγρώσσων, πυκινὰ πτερὰ δέυεται ἅλμῃ·



❁ ❁ ❁

ὀρόσω μιγείς τῇ θυγατρὶ Κέκροπος ὑὸν ἔχεν, ὡς Πτολεμαῖος ἱστορεῖ παρὰ Διδύμῳ ἐν ταῖς τότω ἀναγεγραμμέναις εἰς τὰ Ὁμήρε Σημειώσεσιν.

Στίχ: 270. ΤΡΗΧΕΟΣ ΑΤΛΑΝΤΟΣ. ΠΟΛΟΝ ΩΜΟΙΝ . . . . Ἄτλας ὁ Ἰαπετῷ καὶ Ἀσίας (Ὅρα Α Αἰν. 790.) καὶ βασιλεύσας Μαυρουσίων ἱστόρηται, καὶ περὶ τιὼ Ἀξέρων διάγνωσιν σπεδιὼ καταθέσθαι, ἐξ οὗ καὶ φέρειν τὸν οὐρανὸν ἐπ' ὤμων μεμύθευται. Οὗτος, καθ' ἕτερον μῦθον, τὸν Διὸς Περσέα, τὰ τῶν Ἑσπερίδων μῆλα ἀναζητοῦντα τῆς παῤ ἑαυτῷ ξενίας μηδαμῶς ἀξιώσας, εἰς ὄρος τὸ κατὰ τὰ δυτικώτατα τῆς Ἀφρικῆς ὑπερτεῖνον, διὰ τῆς Γοργονείε κεφαλῆς, πρὸς αὐτὸ Περσέως μεταπεποίηται. Προσφυῶς οὖν ὁ Μάρων ἐνταῦθα, διὰ τῶν μελῶν τε ἀνθρωπίνε σώματος, Ἰῶν πλευρῶν, τῶν ὤμων, τῆς κεφαλῆς, τε γηραιε γένυος, τῆς ῥιγέσης ὑπὸ χιόσι τε καὶ κρυξάλλοις ὑπιώης, τὸ ἐξ ἀνθρώπε ὄρος ἀνάπαλιν ἡμῖν ἐξ ὄρεως μετανθρωπίσας, ἀντίστροφον τὸν μῦθον ἔδωκε κατοπτάνεθαι.

Στίχ: 277. . . . . ΚΥΛΛΗΝΙΟΣ . . . . Ἡ Κυλλήνη ὄρος ἐν Ἀρκαδίᾳ πρὸ τῆς Ἀχαΐας, τῶν ἐπὶ τῆς Πελοποννήσε τὸ ὑψηλότατον. Ἐκ δὲ τότε ὁ Ἑρμῆς προσηγόρευται Κυλλήνιος, ἐν ἄντρῳ τινὶ τῶν ἐκεῖ γεννηθείς. Διὸ καὶ ὁ Ὑμνογράφος στίχ. 1—5.

„Ἑρμεῖ ὕμνει Μῆσα Διὸς καὶ Μαίάδος υἱὸν,
„Κυλλήνης μεδέοντα, καὶ Ἀρκαδίης πολυμήλε
„Ἄγγελον ἀθανάτων κτ:

Στίχ: 278. ΕΝΘΕΝ Δ' ΟΡΜΗΝΑΣ . . . . . Ἐκ τῆς τε Ἄτλαντος ὄρεος κορυφῆς δηλ: ἐφ' ἧς ἔπτη τὸ πρῶτον, μιᾷ δὴ ῥύμῃ ἐπὶ τιὼ ὑποκειμένῳ θάλασσαν ἑαυτὸν καθῆκε. Καὶ ταῦτα δὲ τὰ ἔπη, (ὥσπερ καὶ τὰ ἄνωτ: στίχ. 250.) ἐπὶ λέξεως Ὁμηρικὰ Ὀδ. Ε. 50—53.

„Πιερίην δ' ἐπιβὰς, ἐξ αἰθέρος ἔμπεσε πόντῳ·
„Σέυατ' ἔπειτ' ἐπὶ κῦμα κτ:

At vero Æneas aſpectu obmutuit amens,
Arrectæque horrore comæ, et vox faucibus hæſit:
Ardet abire fugâ, dulceſque relinquere terras,
Attonitus tanto monitu, imperioque Deorum.
Heu quid agat? quo nunc reginam ambire furentem
Audeat affatu? et quæ prima exordia ſumat?
Atque animum nunc huc celerem, nunc dividit illuc:
In parteſque rapit varias, perque omnia verſat.
Hæc alternanti potior ſententia viſa eſt:
Mneſthea, Sergeſtumque vocat, fortemque Cloanthum:
Claſſem aptent taciti, ſocioſque ad littora cogant,
Arma parent, et quæ ſit rebus cauſa novandis,
Diſſimulent: ſeſe interea, (quando optima Dido
Neſciat, et tantos rumpi non ſperet amores,)
Tentaturum aditus, et quæ molliſſima fandi
Tempora, quis rebus dexter modus. Ocyus omnes
Imperio læti parent, ac juſſa faceſſunt.
At regina dolos (quis fallere poſſit amantem?)
Præſenſit: motuſque excepit prima futuros,
Omnia tuta timens: eadem impia Fama furenti
Detulit,

❁ ❁ ❁

Στίχ: 282. ΤΩ῾Σ ΓΗ῾Σ ΜΕΣΣΗΓΥ῾Σ κτ: Οὕτω καὶ Ἥρα, Ἰλ: Ε. 768. ἐπὶ τῷ ἅρματος

„Μάσιξεν δ᾽ ἵππους· τὼ δ᾽ ἂκοντε πετέσθην
„Μεσσηγὺς γαίης τε καὶ ἐρανοῦ ἀστερόεντος.

Στίχ: 284. . . . . ΕΚ ΠΑΠΠΟΥ῾ ΗΚΩΝ ΜΗΤΡΩΙΟΥ. Τῷ γὰρ μυθουμένῳ Ἄτλαντι θυγατέρες ἐγένοντο ἑπτὰ, αἱ καλούμεναι Πλειάδες μετὰ τὸ καταστερωθῆναι. (Ὅρα Α. Γεωργ. 154.) ἐξ ὧν μία ἡ Μαῖα ἡ τοῦ Ἑρμοῦ μήτηρ, δι᾽ ἧς ἔτος γίνεται Ἄτλαντος.

Στίχ: 287. ΤΩΙ῾ Δ᾽ ΑΡ᾽ ΕΝΑΣΤΡΟΝ κτ: Κατηστέρισεν ὁ Ποιητὴς τὴν Αἰνείου ῥομφαίαν, Ἰάσιδι λίθῳ τὴν κώπην ταύτης καταγλαΐσας. Ἐπαγωγὸν γάρ τι πρὸς χάριν ἔχειν, φασὶ, τὸν λίθακα Ἰασπιν, καὶ ἀλεξίκακον εἰς τὸ σώζεσθαι· Ἑκατέρου δ᾽ Αἰνείας ἐδέετο, ἐν οἷς περ ἦν περιστεμμένος πράγμασιν. Ἰάσιδος δὲ καὶ ἄλλας δυνάμεις Ὀρφεὺς ἐν τοῖς Λιθικοῖς ὑποτίθησι. Κεφ: Ζ.

„Καὶ γλαφυρὸν κομίσας ἐαρόχροον αἶκεν Ἰασπιν
„Ἱερὰ ῥέζοι τις, μακάρων ἰαίνεται ἦτορ·
„Καὶ οἱ καρφαλέας νεφέλας κορέσσασιν ἀρούρας,
„Ἠδὲ καὶ αὐχμηῇσιν ἄγοι πολιὸν ὄμβρον ἀρούρας,
„Αὖχμης δ᾽ ἐκ πεδίου ῥοθίων ἀπόεργε χάλαζαν
„Ἡμετέρου, καὶ κῆρας, ὅσαι στιχόωσιν ἐπ᾽ ἀγρούς κτ:

Στίχ: 288. ΑΙ῾ΘΕ Δ᾽ ΚΟΓΧΥΛΟΈΣΣ᾽ ΟΙ῾ ΧΛΑΙ῾ΝΑ κτ: Τῷ ἐκ τῆς Τυρίας κόχλῳ πυροειδεῖ αἰγλήεσσα ἄνθει· ἡ δὲ χλαῖνα περιβόλαιον ἦν, παχύτερόν τε καὶ πλατύτερον, μαλλοῖσι πολλάκις, ὅπερ ἄντις ἐπὶ τῷ λοιπῷ ἱματισμῷ περιβάλλοιτο, ἀνέμου τε καὶ ὑετοῦ (ἱππαζομένοις μάλιστα σωτηρίου) ἀμυντήριον. Διο καὶ Χειμάμιμα προσηγόρευται ἡ τοιαύτη χλαῖνα καὶ ἀνεμοσκεπὴς, καὶ ἀλεξάνεμος. Καὶ χλαῖνα δὲ ἀπὸ τοῦ χλιαίνειν, φασὶ, καὶ θάλπειν, οἷά τις χλίαινα. Τοιαύτην ὁ Νέστωρ παῖς Ὁμ: Ἰλ: Κ. 133.

„Ἀμφὶ δ᾽ ἄρα χλαῖναν περονήσατο φοινικόεσσαν,
„Δίπλακα, ἐκταδίην· οὖλη δ᾽ ἐπενήνεθε λάχνη.

Στίχ: 291. ΑΙ῾ΨΑ Δ᾽ ΕΠΕΙΣΙ: . . . . . Ἦγεν ἐπ᾽ αὐτὸν εἶσιν αὐτόδιον, καὶ καταφορικώτερον ἐπιπλήσσει.

Στίχ:

Τὼς γῆς μεσσηγύς τε καὶ ὠρανῦ ἀσεροέντος,
Ἴπτατ' ἀνὰ ψαμάθας, διὰ ῥίμφα πρῆσσε δ' ἀήτας
Κυλλήνης γόνος ἐκ πάππω ἦκων μητρῴω.
Πρῶτον ἐπεὶ δ' ἐπέβη Λιβύων πτερόπας γε καλύββας,
Δέρξατο Αἰνείαν τείχη δομέοντα καὶ οἴκους.
Τῷ δ' ἄρ ἔναιρον ἔθω ξίφος, ὡς ἀπ' Ἰάσπιδος ἄγλης,
Αἶθε δὲ κογχυλόεσσ' οἱ χλαῖνα ἶσα κατ' ὤμοιϊν.
Δῶρα τὰ τευξαμένη αὐτὴ Διδὼ ῥὰ δεδώκει,
Χρυσὸν ἐπισαμένως χείρεσσιν ἑῇς ἐνυφῶσα.
Αἶψα δ' ἔπεισι: Σὺ νῶι Καρχηδόνος ὑψιδόμοιο
Καββάλλεις ῥά θέμεθλα, γυάιξ, καλόνθ' ἀνεγείρεις
Ἄσυγε; Κοιρανίης, φεῦ! σῆς τε, τεῶν τ' ἐπιλήσμων!
Αὐτὸς ἐμὲ προέηκεν ἀπ' αἰγλήεντος ὀλύμπω
Ζεὺς, ὅς τ' ὠρανὸν; ἠδ' αἶαν κατὰ νεῦμ' ἐλελίττει.
Αὐτὸς δ' ἐγκέλευτά με τεὶν τάδε μυθήσασθαι.
Τίπτε σὺ μηχανάα σκευάζειν; ἢ ὅ, τι ἄρα
Ἐλπόμενος Λιβυκῆς ἐνὶ γαίησιν διατρίβεις;
Αἴ κ' εὖχος τόσσων ἔργων μηδέν σ' ἐπανώγει,
Οὔθ' ὑπὲρ ἐυκλείης ἰδίης σὺ ἀγῶν' ἀνεβάλλω,
Παῖδ' ἀλλ' ἀλδήσκοντα σὸν ὄσσεο Ἀσκάνιόν περ,
Τόν τε ἐν ἐλπωρῇ κλῆρον κατιόντα Ἰάλῳ,
Τῷ κράτος Ἰταλίης ἐπιόφλεται, αἶά τε Ῥώμης.
Ταῦτα Κυλλώιος ὡς ἄρ ἐνῖψε· μεταξὺ λέγων δὲ,
Αἶψα καταθνητῶν ἀνθρώπων ὄμματα λεῖπε,
Τηλόσε δ' εἰς λεπτὰς ἄπο ὄσσοιν ὤχετο ἄυρας.
Αἰνείας δὲ ταφὼν τῇδ' ὄψει, ἐννεὸς ἔξῃ,
Οἵ δ' ὤρθωτο κόμῃ, αὐδὴ δὲ φάρυγξι καθεῖρκτο.

Ἴετο

❋ ❋ ❋

Στίχ: 292. ΚΑΒΒΆΛΛΕΙΣ 'ΡΑ' ΘΈΜΕΘΛΑ . . . . . Ὡς γὰρ μικρὸν ἔφηται ἀνωτ: (στίχ: 286.)

„Δέρξατο Αἰνείαν τείχη δομέοντα καὶ οἴκους.

Στίχ: 304 ΤΑΥ̓ΤΑ, . . . . ΜΕΤΑΞΥ̓ ΛΕΓΩΝ, Τὰ ἀνωτέρω Αἰνείᾳ ἐπιπλήξαντά τε καὶ ἐπιτάξαντα τὸν Ἑρμέαν, ὁ ἡμέτερος, ἀπὸ ὄψεως τῆς ἀνθρώπων αὐτόθιον ποιεῖται. medio sermone: ὅπερ ἐπὶ λέξεως εἰπεῖν ἐστὶν: ἐν μέσῳ, ἢ ἐν ἡμίσει τῷ λόγῳ, ἢ μήπω τὸ λόγῳ τέλεον πληρωθέντος. Ζητῆσαι δὲ, πῶς τοῦτο; εἰ πάντα δὴ αὐτῷ ἐπ' ἀκριβὲς Φθάσας κατήγγειλεν ὁ Διάκτορος, τὰ ὑπὸ Διὸς κελευσθέντα; Ἀλλὰ γὰρ ἐπειδὴ, φασὶν, ἅπερ αὐτὸς εἶχεν εἰπεῖν ὡς ἐκ τοῦ Διὸς ἀπαγγείλας, τὰ πρὸς αὐτὰ, ὅσα ἤθελεν Αἰνείας ἀπολογηθῆσαι, Ἑρμῆς ἀκῆσαι ὑ περιέμεινε, διὰ δὴ τοῦτο, ὡς διακόψας τὸν λόγον ἡμίσευσεν. Κατὰ ταύτην οὖν τὴν διάνοιαν καὶ αὐτοὶ τὸν Ποιητὴν ἑρμηνεύσαντες, τὸ (μεταξὺ λέγων) παρενεθήκαμεν· ὡς ἂν εἴποιμεν, ὅτι, μηδ' ἀποκρίνασθαι ἐπιτρέψας, ἀπῆλθεν.

Στίχ: 307. ΑἸΝΕΊΑΣ ΔἘ ΤΑΦΏΝ κτ: Παραπλησιώτατα τὰ ἐν Ἰλιάδι, P. 694.

„ . . . . Ἀντίλοχος δὲ κατέσυγε μῦθον ἀκούσας,
„Δὴν δέ μὲν ἀμφασίη ἐπέων λάβε· τὼ δὲ οἱ ὄσσε
„Δακρυόφιν πλῆσθε, θαλερὴ δὲ οἱ ἔσχετο φωνή. Καὶ Ἰλ: ω. 359.
„ . . . . Σιὼ δὲ γέροντι νόος χύτο, δείδιε δ' αἰνῶς.
„Ὀρθαὶ δὲ τρίχες ἔσαν ἐνὶ γναμπτοῖς μελέεσσιν.

Detulit, armari classem, cursumque parari.
Sævit inops animi, totamque incensa per urbem
Bacchatur: qualis commotis excita sacris
Thyas, ubi audito stimulant trieterica Baccho
Orgia, nocturnusque vocat clamore Cithæron.
Tandem his Æneam compellat vocibus ultro:
Dissimulare etiam sperasti, perfide, tantum
Posse nefas? tacitusque meâ decedere terrâ?
Nec te noster amor, nec te data dextera quondam,
Nec moritura tenet crudeli funere Dido?
Quin etiam hyberno moliris sidere classem,
Et mediis properas aquilonibus ire per altum,
Crudelis! Quid, si non arva aliena domosque
Ignotas peteres, et Troja antiqua maneret?
Troja per undosum peteretur classibus æquor?
Mene fugis? per ego has lacrymas, dextramque tuam, te,
(Quando aliud mihi jam miseræ nihil ipsa reliqui,)
Per connubia nostra, per inceptos hymenæos,
Si bene quid de te merui, fuit aut tibi quiquam
Dulce meum, miserere domus labentis, et istam
Oro, (si quis adhuc precibus locus,) exue mentem.
Te propter Libycæ gentes, Nomadumque tyranni
Odere, infensi Tyrii: te propter eundem
Extinctus pudor, et, quâ solâ sidera adibam,
Fama prior. Cui me moribundam deseris, hospes?
Hoc solum nomen, quoniam de conjuge restat.

Quid

❀ ❀ ❀

Τὴν δὲ τῆς φωνῆς κάθειρξιν ἐντὸς τῆ Φόρυγγος ἐπὶ τῆς Μηδείας αἰδοῖ συχνὲθείσης, ἄριστα ὑπέγραψεν Ἀπολλών. Βιβλ: Γ. στίχ: 683.
„Μῦθος δ' ἄλλοτε μὲν οἱ ἐπ' ἀκροτάτης ἀνέτελλε
„Γλώσσης, ἄλλοτ' ἔνερθε κατὰ σῆθος πεπότητο.
„Πολλάκι δ' ἱμερόεν μὲν ἀνὰ στόμα θῦεν ἐνιαυτῆν
„Φθογγὴ δ' ὲ πρὲβαινε παροιτέρω . . .
Στίχ: 313. ΔΗ'Ν ῞ΑΡΑ ΜΕΡΜΗ'ΡΙΖΕΝ κτ: Ὁμ. Ἰλ: Α. 189.
„. . . . . Ἐν δὲ οἱ ἦτορ
„Στήθεσσιν λασίοισι διάνδιχα μερμήριξεν.
Στίχ: 315. ῞ΗΔΕ ΔΕ' ΟΙ῾ ΚΑΤΑ' ΘΥΜΟ'Ν Ἐπὶ λέξεως τὸ ἔπος Ὁμήρε. Ἰλ. Κ. 17. Καὶ Ἰλιάδος δὲ Ν. 458. μικρὸν ἄλλως πως τὸ αὐτό:
„Ὧδε δὲ οἱ φρονέοντι δοάσσατο κέρδιον εἶναι.
Στίχ: §331. . . . . ΗΥ῾ΤΕ ΒΑ'ΚΧΗ
§332. ΘΥΑ'Σ . . . . . ῞Ωσπερ ἀπὸ τῆ Βάκχε αἱ Βάκχαι, οὕτω καὶ ἀπὸ τῆ Θυωνέως, φασὶν, αἱ Θυάδες. ἢ, ὡς ἄλλοι ἀπὸ τῆ θύειν ὅπερ ἐστὶ, θεῖν μετὰ ὁρμῆς, καὶ ἐμμανῶς τρέχειν· τὰς γὰρ ἐν τοῖς Βακχικοῖς ὀργίοις περιμανομένας ὀνόμασιν ἀπεκάλεσαν τῆς ὁρμῆς ἐμφαίνεσι τὸ μανικὸν καὶ παράφορον· ἅ ποτε καὶ Τιμόθεος ὁ μουσικὸς, τὴν ῞Αρτεμιν ἄδων ἐπὶ τῆ θεάτρε, σωεπεσώρευσε „Μαινάδα, θυάδα, φοιβάδα, λυσσάδα· „πρὸς ὃν παρὼν Κινησίας εὐθὺς ἀντεφώνησε· τοιαύτη σοι θυγάτης γένοιτο. (παρὰ Πλατ ἐν τῶ περὶ Δεισιδαιμ. καὶ ἐν τῶ Ποιημ. ἀκέεσν.)
Στίχ: §333. . . . . ΤΡΙΕΤΗ'ΡΙΑ ῞ΟΡΓΙΑ ΒΑΚΧΟΥ
§334. . . . . ΝΥΚΤΕΡΙΝΟ'Σ ΚΡΑΤΓΑ'ΙΣΙ ΚΙΘΑΙΡΩ'Ν. Τὰ διὰ τὴν τριετῆ Διονύσε πρὸς Ἰνδὲς ἐκστρατείαν, κατὰ τρίτον ἐναυτὸν τελέμενα Βακ-

Ἴετο δ' ἄρ φυγέειν, γαίας γλυκερᾶς τε λιπέσθαι,
Ἐκσὰς παρφασίῃσι Θεῶν τε κελεύσμασι τόσσοις.
Φεῦ! τί κε ῥέξαι; νωῖ τίσι μαινομένῳ Βασίλειαν
Τολμήσας ἐπέεσσιν ὑπέλθοι; ἠδ' ὅθεν ἄρξοι;
Διὼ ἄρα μερμήριζεν ἑαῖς φρεσὶν ὧδε καὶ ὧδε,
Ἐντροπαλιζόμενος παντοίως ἄλλοτ' ἐπ' ἄλλα.
Ἦδε δὲ οἱ κατὰ θυμὸν ἀρίστη φαίνετο βουλή.
Μνεσθέα, Σεργέστιωτε, ἀτὰρ κρατερόν τε Κλοάνθην,
Ναῦς σῖγ' ἀρτωέειν, ἑτάρους ἀνταῖσιν ἀλίζειν.
Ὅπλα τε πορσώειν, νέα δ' ἔργων αἴτια κεύθειν.
Τὸν δὲ τ' (ἐπεὶ Διδὼ οὐδ' ἤδεεν ἄττα μενοίνα,
Οὐδὲ θ' ὑποπτεύεσκε τοσήτων ῥῆξιν ἐρώτων·)
Πειρήσεσθαι ὅπως τε, καὶ εὖτ' ἐνδέξιον ἦκοι,
Ἐξαπαῖν μαλακῶς, καὶ τὰ φρονέοι δηλῶσαι.
Οἱ δ' ἄρ γηθοσύνως ἠγήτορι ὦκα ὑπῆκον,
Πάντα δ' ἀπεξετέλουν μάλα ἐνδυκέως τὰ κέλευθεν.
Ἀλλὰ δόλος κρύπτουσα (ἐρῶσαν τίς δ' ἄρα λήσει;)
Εὖ δὴ προξυπέπηκεν, ἅτ' ἔσσεται ἔργματα πρῶφθη,
Πάνθ' ὑποβλεψαμένη ὡσαύτως, καὶ τ' ἀνύποπτα.
Ταὐτὰ δὲ μαινομένῃ, συγερὴ φῆμις θροέουσα,
Ναῦς θ' ὁπλιζομένας ἤγγελεν, πλῶν τε ἑτοῖμον.
Τοιγάρ τοι χαλέπαινεν ἀμηχανέουσ' ὅ, τι ῥέξει·
Ἄσυ δὲ σευομένη περιῄει, ἠΰτε Βάκχη
Θυάς, κινυμένων ἤδη ἱερῶν τελετάων,
Εὖτ' ἄν τριὼ δ' ἐρέθῃ τριετήρια ὄργια Βάκχου,
Αὐτὰρ νυκτερινὸς καλέῃ κραυγαῖσι Κιθαιρών.
Ὀψὲ δ' ἄρ Αἰνείαν μετιοῦσα ποτέννεπε τοῖα:
Ἦπου δὴ λαθέμεν μ' ἐπιέλπεο, ὦ μέγ' ἄπιστε,
Ταῦτ' ἀθεμίστια; ἦ' ἀπὸ γῆς δ' ἡμῆς ἀποέρψαι;



❁ ❁ ❁

Βακχικὰ Μυστήρια, ὄργια ἐρῆσθαι, φασὶ, παρὰ τὸ ἔργειν τὰς ἀμυήτους αὐτῶν· ἢ ὅτι ἐν ὀργάσιν ἐτελεῖτο, τόποις δηλ: συμφύτοις τε καὶ καθύγροις· ἢ ἀπὸ τῶν ὀρέων· ἐπίσημα δὲ ἦν τὰ ἐπὶ τῷ Κιθαιρῶνος ὄρους, τῷ παρὰ Θήβαις ταῖς Βοιωτίαις. (Ὅρα καὶ ἐν Γ. τῶν Γεωργ. στίχ: 47.) Ἐτελεῖτο δὲ νυκτὸς μάλιστα, διὸ καὶ Νυκτήλια ἔρηται, κραυγαῖς ἀτόποις, καὶ κινήμασιν ἀσέμνοις καὶ ἀπρεπέσι, μηδεμίαν ἀκοσμίας τε καὶ ἀκολασίας ὑπερβολὴν ἀπολείπουσιν. Διὸ καὶ ἐν Ρώμῃ ἀπείρητο ἑορτάζεσθαι. Ἐν δὲ ταῖς κραυγαῖς, τὸ (Εὐοῖ Βάκχε) ὑμνητήριον τῷ Διονύσῳ, ἀπαύστως ἐπιβοώμενον, καὶ τὸ (Εὐὰν) ἐξ οὗ καὶ τὸ εὐάζειν, ἢ ἐπευάζειν, ἐπὶ τῶν νικητηρίων, ἢ ἑτέρων χαρμοσυνῶν ἐπιφημίσεων. Ὁ, τε Βάκχος αὐτὸς ὄνομα φέρων τὸ, Εὐιος, ὃ πρὸς τοῖς ἄλλοις καὶ ὁ τὸ ἐν τῷ Λ. Βιβλ: Ἐπίγραμ. σωθεὶς προσεῖπεν·

„Εὐιον, εὐχαίτιον, εὐάμπελον, ἐγρεσίκωμον.

Στίχ: 337. ΤΑΥΤ' ΑΘΕΜΙΣΤΙΑ; Ἅπερ ὡς ἐκ Διὸς Ἑρμῆς τῷ Αἰνείᾳ ἐνεκελεύετο, ὅσιά τε ὄντα καὶ δίκαια, καὶ ὑπὸ τῶν Μοιρῶν πεπρωμένα, αὐτὰ δὴ ταῦτα Διδὼ ἡ περιμανής τε καὶ ἔκφρων ἀθέμιστά τε καὶ ἄδικα τίθεται. Τὸν δὲ Θεοῖς πειθαρχέντα ἐντελομένοις καὶ ὑπακόοντα, ἄπιστον ἀποκαλεῖ διὰ τοῦτο, πρὸς τὸ πάθος τιὼ κρίσιν ἐκφέρουσα ὧ σιωπίχετο.

Στίχ: Αὐτ: . . . . . ΗΚ' ΑΠΟ' ΓΗ'Σ κτ: Κρύφα τε καὶ λάθῃ ἀπελθεῖν, μηδὲν ἐμοὶ δηλονότι εἰδυίας; ὧν τὸ μὲν ἀπιστίας μῶμον, ὡς αὐτῇ ἐδόκει, τῷ

Quid moror? an mea Pygmalion dum mœnia frater
Deſtruat? aut captam ducat Getulus Jarbas?
Saltem, ſi qua mihi de te ſuſcepta fuiſſet
Ante fugam ſoboles: ſi quis mihi parvulus aulâ
Luderet Æneas, qui te tantum ore referret:
Non equidem omnino capta, aut deſerta, viderer.
Dixerat. Ille Jovis monitis immota tenebat
Lumina, et obnixus curam ſub corde premebat.
Tandem pauca refert: Ego te, quæ plurima fando
Enumerare vales, nunquam, Regina, negabo
Promeritam; nec me meminiſſe pigebit Eliſæ,
Dum memor ipſe mei, dum ſpiritus hos reget artus.
Pro re pauca loquar: Nec ego hanc abſcondere furto,
Speravi, ne finge, fugam: nec conjugis unquam
Prætendi tædas, aut hæc in fœdera veni.
Me ſi fata meis paterentur ducere vitam
Auſpiciis, et ſponte meâ componere curas:
Urbem Trojanam primum, dulceſque meorum
Reliquias colerem: Priami tecta alta manerent,
Et recidiva manu poſuiſſem Pergama victis.
Sed nunc Italiam magnam Grynæus Apollo,

Ita-

❀ ❀ ❀

τῷ Λιν͂εία προσέτριβε· τὸ δὲ καὶ ἐυηθέως· πῶς γὰρ ἂν καὶ λαθὼν ἀπέλθοι παυδημεὶ σιὼ παντὶ τῷ ϛόλῳ ἀναχθησόμενος;

Στίχ: 338 ΟΥ̓ ΔἘ Σ᾽ ἘΜΕΙΓΟ͂ ἜΡΩΣ, ΟΥ̓ ΔΕΞΙΑἸ κτ: Τῦτο δὲ πρὸς τῇ ἀσωθεσίᾳ καὶ ἀγνωμοσιώνης τῆς ἐχάτης ἦν ἐπιτίμησις.

Στίχ: 339 ΟΥ̓ΔἘ ΤΕΘΝΗΞΟΜΈΝΗ κτ Τῦτο δ᾽ ἀπηνείας τε καὶ ἀπανθρωπίας.

Στίχ: 340. ΝΥ͂Ν Δ᾽ ἜΤΙ ΧΕΙΜΕΡΊΟΙΣ κτ: (Ὅρα ἀνωτ: στίχ. 55. Τῦτο δ᾽ ἀποτείας καὶ παραβόλε θρασύτητος.

Στίχ: 341 ΚΑἸ ΜΈΣΣΟΝ ΒΟΡΈΩΝ ΠΛΕ͂ΙΝ κτ: Ἤτοι κατὰ συνεκδοχὴν τὸ Βορέων, ἀντὶ τῶν ἀνέμων, ἢ καὶ εἰδικῶς· καθότι τοῖς ἀπὸ Λιβύης ἀναγομένοις, καὶ ἐπ᾽ Ἰταλίας καταίρεσιν ἐναντιώτατα πρὸς τὸν πλῶν ἐϛὶ τὰ βορειότερα πνεύματα.

Στίχ: 340. ΝΗΛΕΈΣ! Καὶ σοὶ μὲν αὐτῷ, ὡς κινδυνοις τοσύτοις σεαυτὸν παραβάλλων, Κἀμοὶ δὲ, ὡς ἐδὲν ἧττον χαλεπωτέροις ἐνεπιῤῥίπτων.

Στίχ: Αὐτ: . . . . . ΌΤΤΙ Δ᾽ ἌΡ, ἌΙΚΕ ΣΥ̓ ἈΙΓΟΥ̓Σ ΜΗ᾽ ὈΘΝΕΊΟΥΣ, Ἔϛι δ᾽ ὁ νοῦς τῶν ἑξῆς τοιῦτος: Κείθω (φησὶ) καθ᾽ ὑπόθεσιν, ψευδῆ δὴ ταύτῃ καὶ πλασματώδη, ὅτι σε καὶ νῦν ἔτι, ἢ σὴ Τροία περιῦσα καραδοκεῖ κ᾽ ἀπεκδέχεται· τί δῆτα; τὸν πλῶν ἐν χειμῶνι προέλοιο, εἰς πρᾶπτον τὸν κίνδυνον σεαυτὸν ἀναῤῥίψας, ἐφ᾽ ᾧ θᾶττον κ᾽ Τροίαν (δεδίθω γὰρ.) αὐτῷ καταλήψεθαι; Ἀλλὰ σοὶ γὰρ Τροία νῦν περίεϛιν ἐδαμῇ ἐδεμία· ἀπεύθεις δ᾽ ὀνειρώτων καὶ λεχῆν ἐρήμης ψυχὴν κ᾽ ἀοικήτες· ἢ γᾶν, ἀλλοδαπὰς χώρας κ᾽ ξένας, ἵνα σοὶ μηδὲν προσηκέσας. Γῆν δὲ ζητεῖς εὑρέϑαι, ἣν ἐδ᾽ αὐτὸς ἔχεις εἰδέναι, εἴτις δήτε αὖτη ἐϛὶ, κ᾽ ὅπε ποτὲ ἐυρεθήσεται. Οὐκ ἄρα σοι ὅρες προκεῖϑαι ἔοικε πεφασμένος πρὸς ὃν ἀποσκοποίης, ἀλλ᾽ ἀφ᾽ ἃ μᾶλλον ἀποδρὰς ἀπαλλάξῃ, ὁ παρὼν ἔτος.

Στίχ: 345. Ἦ ΣΥ̓ ΜΕ ΔΡΑΣΚΆΖΕΙΣ; Πολλῷ ἔχει ὧδε τῶν ἀντωνυμιῶν ἡ χρῆσις τιὼ ἔμφασιν. Ἐμὲ Σὺ φεύγεις; ἐμὲ; σύ;

Στίχ: Αὐτ: . . . , ΔΑΚΡΎΩΝ ΠΡΟ͂Σ ΤΩ͂Ν Δ᾽ ἌΡ. . . . Τρέπεται πρὸς ἱκεσίαν, εἰς οἶκτον τὸν περὶ αὐτιὼ κάμψαι ἐπιχειρῆσα, ὃν ἂν ἐδὲ λόγοις, ἐδ᾽ ἐπιπλήξεσι πείσειν ἐλπίσειεν.

Στίχ: 351. ΣΕΓΟ ἘΚΗΤΙ ΓΕΝΕΙ ΛΙΒΎΩΝ κτ: (Ὅρα ἀνωτ: στίχ. 41—46.)

Στίχ:

Οὐδὲ σ' ἐμεῖο ἔρως, ἀ δεξιαὶ ἧς ἐπεπίθμιω,
Οὐδὲ τεθνηξομένη αἰνῶς Διδὼ σε κατίχα
Νιῶ δ' ἔτι χειμερίοις ἀρτώεις ναῦς ὑπὸ ἄτροις,
Καὶ μέσσον βορέων πλεῖν πτέυδεις οἴνοπα πόντον.
Νηλεὲς! Ὅτλι δ' ἄρ, αἶπε σὺ ἀγρὸς μὴ ὀθνείὸς,
Μὴ δ' οἶκὸς μάξευες ἀδήλὸς; κ' εἰ μένε Τροίη;
Τροίη μαξευοιτὸ κεν εἰν ἀλὶ κυματοέσση;
Ἦ σύμε δρασκάξεις; δακρύων πρὸς τῶν δ' ἄρ ἐγώ σε,
Πρὸς σῆς δεξιτερῆς (οὐ γὰρ λεῖπτ' ἄλλο ταλαίνη)
Πρός τε λέχὸς κοινὸ, πρὸς τ' ἀρξαμένων ὑμεναίων·
Εἴ τιν' ἔρεξα χάριν, παρ' ἐμοῦ δέ σοι ἡδύ τι ἔσκεν,
Οἶκον τὸνδ' ἐλέαιρε ἐρέψιμον, ἠδέ τε τιῶ δε,
Λίσσομαι, (ἔγε λιταῖς ἔτι χώρη) ἄββαλε βὲλιὼ.
Σεῖο ἕκητι γένει Λιβύων, Νομάδων τε δωάξαις
Ἔχθομ', ἀτὰρ Τυρίοισιν· ἕκητι δὲ σεῖο ἐμοί γε
Ὤχετο αἰδὼς, κὴ κλέος ὐρανὸν ὃ πρὶν ἐπῆρτο.
Τῷ ῥά με καλλείπεις, ὦ ξεῖνος, θανατιῶσαν;
Κλῆσις ἐπείγ' ἦ μοι περιλείπεται, ἐκ πρὶν ἀκόιτὲ.
Τίπτε μένω; ἦ ὄφρ' ἐμὰ Πυγμαλίων κασίγνητος
Τείχεα πέρση, ἢ Γαιτῦλος ἁλώση Ἰάρβας;
Καμιὼ, αἴκεν ἔην γε σωειληφυῖ, ἀπὸ σεῖο,
Πρίν με λίπῃς, γόνον· αἴ τις ἐμοὶ μένεν οἶκοι ἀθύρων
Μίκκυλος Αἰνείας, εἶδος σοὶ μῦνον ὁμοῖος,
Οὔτοι πάμπαν ἄλῦσα ἔδοξ', ἀδ' ὡς ἄρ' ἐρήμη.
Ὣς ἔφατ', αὐτὰρ ὅγε Ζηνὸς δὴ παρφασίῃσι,
Πῆξεν ὀπωπὰς· κῆρ δ' ὑπερείδων, θλίβε μενοινιὼ.
Τιὼ δὲ τέως παῦρα προσαμείψατο, κὴ μετέειπεν·
Ἄυτὸς σοὶ τάδε, ἠδ' ἔτι πλεῦνα, ἅτ' ἄν προτιείραις,
Οὔποτε, ὦ Βασίλεια, ἐγὼν ἀρνήσομαι ὄφλειν.
Οὐδ' ἔπι δὴ μεμνῆθαι, ἑκὼν ποτε παύσομ' Ἐλίσσης,
Εἰσόκ' ἐμᾶ μνήσωμαι, αὔτμὴ γυῖα δὲ θάλπει.
Παῦρα δ' ἐρῶ, πλέωπερ ἔχων· οὐτ' ἔνθεν ἀφέρψαι

Λάθρα

❀ ❀ ❀

Στίχ: 358. ΚΑΙ' ΜΗ'Ν, Α'ΙΚΕΝ Ἦ'ΕΗΝ ΓΕ κτ: Εἰς τᾶτο δ' ἔτεινε τὸ ἀνωτέρω ῥηθέν. (στίχ. 355.) Σημείωσαι δὲ, ὅτι πολλὰ τῶν ὑπὸ Διδοῦς πρὸς Αἰνείαν ἐνταῦθα λεγομένων, παραπλήσια ἐσὶ, τοῖς ὑπὸ Μηδείας πρὸς Ἰάσονα ῥηθεῖσι, τὸν ἐμοίως ἐγκαταλείποντα· (παρὰ Ἀπολλων. ἐν τοῖς Ἀργον. Βιβλ: Δ. στίχ: 355—390.) Ἅπερ Οὐρσῖνος μὲν εἰς πλάτος παρέτεινεν ἐν ταῖς Παραθέσεσιν, αὐτοὶ δ' ἀντιγράψαι ὠκνήσαμεν, εἰς ἓπη παρεκτεινόμενα ἐκ ἐλάσσονα τῶν ἓξ πρὸς τριάκοντα.

Στίχ: 363. . . . . ΚΗ'Ρ Δ' Ἐ'ΠΕΡΕΙ'ΔΩΝ, θλίβε μενοινιὰ· Λογισμοῖς κρείττοσιν ἐπιῤῥωννύμενος, τὸ ἐξ ἔρωτος αὐτῷ ἐντακὲν κατεπίεζε πάθος.

Στίχ: 366. Ο'ΤΠΟΤΕ, Ω' ΒΑΣΙ'ΛΕΙΑ κτ: . . . . Ἐντεῦθεν ἡ Αἰνείὰ, πρὸς τὲς παρὰ τῆς Διδᾶς ἐλεγμὲς, ἀπολογία, ἄχρις ἐπὶ στίχ: 396. ἐν ᾗ πρόγε πάντων, αἰτίας τρόπε ἀγνώμονος ἑαυτὸν ἐπιχειρῶν ἀπαλλάξαι, ἀπαντᾷ πρὸς ἐκᾶνο, στίχ: 348. (Εἴτιν' ἔρεξα χάριν κτ:)

Στίχ: 369 . . . . Ὅ'ΤΤ' Ἔ'ΝΘΕΝ Ἀ'ΦΕ'ΡΨΑΙ κτ: Β Οὐδὲ τιὼ φυγιὼ κλέψαι, φησὶν, ἔλως ἐλπίσαι, ἐδὲ διανοηθῆναι. Ἀπαντᾷ δὲ διὰ τέτε πρὸς τὸ στίχ: 336. (Ἦπε δὴ λαθέμεν μ' ἐπιέλπεο.)

Italiam Lyciæ juſſere capeſſere ſortes.
Hic amor, hæc patria eſt: ſi te Carthaginis arces
Phœniſſam, Libycæque aſpectus detinet urbis,
Quæ tandem Auſoniâ Teucros conſidere terrâ,
Invidia eſt? et nos fas extera quærere regna.
Me patris Anchiſæ, quoties humentibus umbris
Nox operit terras, quoties aſtra ignea ſurgunt,
Admonet in ſomnis, et turbida terret imago.
Me puer Aſcanius, capitiſque injuria chari,
Quem regno Heſperiæ fraudo, et fatalibus arvis.
Nunc etiam interpres Divûm Jove miſſus ab ipſo,
(Teſtor utrumque caput,) celeres mandata per auras
Detulit: ipſe Deum manifeſto in lumine vidi
Intrantem muros, vocemque his auribus hauſi.
Deſine meque tuis incendere, teque querelis:
Italiam non ſponte ſequor.
Talia dicentem jamdudum averſa tuetur,
Huc illuc volvens oculos, totumque perrerrat
Luminibus tacitis, et ſic accenſa profatur:
Nec tibi Diva parens, generis nec Dardanus auctor,
Perfide: ſed duris genuit te cautibus horrens
Caucaſus, Hyrcanæque admorunt ubera tigres.
Nam qvid diſſimulo? aut quæ me ad majora reſervo?
Num fletu igemuit noſtro? num lumina flexit?
Num lacrymas victus dedit? aut miſeratus amantem eſt?
Quæ quibus anteferam? jam jam nec maxima Juno,
Nec Saturnius hæc oculis pater aſpicit æquis.
NVSQVAM tuta fides. Ejectum littore, egentem

Exce-

❁ ❁ ❁

Flaventeſque abſciſſa comas: Proh Juppiter! ibit
Hic (ait), et noſtris illuſerit advena regnis?
Non arma expedient? totâque ex urbe ſequentur?
Diripientque rates alii navalibus? ite,
Ferte citi flammas, date vela, impellite remos.
Quid loquor? aut ubi ſum? quæ mentem inſania mutat?

Infe-

❁ ❁ ❁

Στίχ: 584. ΤΗΝΊ, ΤΙ ΔΕΐΙ ΔΡΑΝ̃; . . . . Ἀκριβέσατα ὧδε τὸ τῆς ἀμηχανίας παρίσαται πάθος· δι' ἧς παντα χόθεν, ὅποι ἄν τις τράποιτο ἡ ψυχὴ σωεχομένη, ἐν ἀπορίᾳ ἐχάτη, οὐδὲν ὅδε βελεύσασθαι ὅ τι σωτελέσειεν ἐξευρίσκει, οὐδὲ προελέσθαι.

„Αἰνὰ μὲν ἔνθεν ὁδοῖο, τὰ δ' αἰνότερ' ἔνθεν ὁδοῖο.

Ἐν τοιᾶδε ἀμηχανίᾳ καὶ Σοφοκλῆς Αἴαντα παρίσησιν ἐν τῷ Δράματι: (παρὰ Οὐρσ. ἐν ταῖς Παρεάδοσ.)

„Καὶ νῦν τί χρὴ δρᾶν, ὅς τις ἐμφανῶς Θεοῖς
„Ἐχθαίρομαι, μισεῖ δὲ μ' ἑλλήνων στρατὸς;
„Ἔχθει δὲ Τροία πᾶσα, καὶ πεδία τάδε;
„Πότερα πρὸς οἴκους, ναυλόχους λιπὼν ἕδρας,
„Μόνος τ' Ἀτρείδας, πέλαγος Αἰγαῖον περῶ;
„Καὶ ποῖον ὄμμα πατρὶ δηλώσω φανείς
„Τελαμῶνι; πῶς με τλήσεται ποτ' ἐσιδεῖν;

Στίχ: 587. ΤΟΥ̓Σ ΠΕΡ ̓ΕΓὨ ΤΟΣΆΚΙΣ . . . . Ὅρα ἀνωτ: στίχ! 37—39.

Στίχ: 590. . . . . ΧΆΡΙΣ ΜΕΤΌΠΙΣΘΈΤΙΣ ΎΙΣΤΑΤΑΙ ΑΥ̓ΤΟΙ̃Σ; Ὁμ. Ὀδ. Χ. στίχ: 319.

„ . . . . . Ὡς ἐκ ἔστι χάρις μετόπισθ' ἐυεργέων.

Στίχ: 594. ΛΑΟΜΕΔΟΝΤΙΆΔΩΝ κτ: Τὸ τῷ γενάρχῃ πλημμέλημα, ἅπασι τοῖς ἔλκεσιν ἐξ αὐτῷ τὸ γένος προσρίβεται, κακῶς δ' ἀκέσσιν οἱ ἀπόγονοι δι' ἐκεῖνον. (Ὅρα Α. Αἰν: στίχ. 512. Καὶ Γ. Αἰν: στίχ: 264.)

Στίχ: 595. . . . . ΠΑΩΤἨΡΣΙΝ ̓ΕΦΈΨΟΜΑΙ ΎΟΙΗ; Οὐϊργίλιος ὧδε φησὶ Nautas ovantes: (Τοὺς Ναυτίλλες ἐυάζοντας. ἢ παιανίζοντας.) ἡμῖν δὲ προσθεῖναι τὴν μετοχὴν ἃ σωεχώρει τὸ μέτρον. Ἀλλ' εἰσὶν οἱ ἔντισι τῶν Ἀντιγράφων ἀναγινώσκοντες, ἀντὶ τοῦ Ovantes, τὸ euntes. (τοῦτέστιν ἀντὶ τοῦ ἐυάζοντας, τὸ ἀπιόντας.) ὃ δὴ τοῦτο καὶ κατὰ τὴν ἡμῶν διερμήνευσιν ἐν αὐτῷ σωείληπται, τῷ: ἐφέψομαι.

Στίχ:

Μερμήριξέ τε ἄλλ' ἐπὶ ἄλλοις· ἐγρομένη γὰρ
Αὖτ' ἔρος, ἀγριόωτ', ὀργῆς τρόφι κῦμα δ' ἐπῆρεν·
Ὣς δ' ἐπενίσατο· ἐν φρεσὶ δ' ἦσιν ἀνέτροφε τοῖα.
Ἠνί, τί δῆ δρᾶν; τῶν πρόσθεν πειρήσομ' ἐκείνων
Ἤδη μνησήρων, χλέυιω δὲ καὶ αὖθις ὑφέξω; 585
Τέτων ἢ νομάδων ὑμεναίκς ἀνθικετεύσω,
Τᾶς περ ἐγὼ τοσάκις ςέργειν ἀνένευσα ἀκοίτας;
Ἰλιακαῖς δ' ἄρα ναυσὶν ἐφέψομαι, ἠδέ τε Τεύκρων
Ἐντολίαις πυμάταις ὑποείξω; τοῖς δ' ὅτι χρᾶσμον,
Εὖ ῥὰ παθοῦσι, χάρις μετόπιθέτις ἵξαται αὐτοῖς; 590
Τὶς δὲ μ' (ἐπεὶ ἔξω·) ἐθέλυσαν πλεῦσ' ἐπιτρέψει;
Δέξεται ἠὲ νέεσσ' ἄτως ὀνοτὶω ἀγερώχοις;
Οὐκ οἶσθ' ἐξώλης, φεῦ! ἀδ' ἔτι νωῖ ἐπὶ ἔγνως
Λαομεδοντιάδων ψευδῆ ἐπιόρκια φύτλης;
Πῶς δ' ἄρ ἐγὼ δραπέτις πλωτῆρσιν ἐφέψομαι οἴη; 595
Ἠὲ φραγνυμένη Τυρίοις ἐπιβήσομ' ἐμοῖσιν;
Οὓς τ' ἀπὸ Σιδονίς μόγις ἀνςῆσ' ἄςεος ἔχον,
Αὖ πέλαγός δ' ἄξω, ἠδ' ἰςία ἄρα ἀνώξω;
Οὐχὶ θάν' ὡς εἰκός γε· σιδήρῳ δ' ἄλγεα παῦσον.
Σὺ θρήνοισιν ἐμοῖς ῥᾴθ' ἡττηθεῖσα, σὺ πρώτη, 600
Μαινάδα μ', ὦ Κάσι, τοῖς δὲ φέρεσα κακοῖς ἐνιβάλλεις.
Ἀνδρὶ δὲ μ' ἐχθίςῳ πρᾴδωκας, Φοῖ, με τάλαιναν.
Οὐκ ἐνέιω θαλάμοιο ἄμοιρον, ἀναίτιον ἔσαν,
Ζιῶ θηρὸς γε δίκιω, μηδ' ἄρ τοιαῦτα μενοινᾶν;
Ἢ δ' ἃ Συγχαίς γενόμιω πιςὴ ἀποδιῆσι. 605
Τοσσὰς δ' ἐκ ςήθος μεμφωλὰς ἦγ' ἀπερήγνυ.
Αἰνείας δ' ὡς δὴ πλεύσων αἰπῆς ἐπὶ πρύμνης
Ὕπνον ἀφύτει, πάντα ἐπεί νυ οἱ ἔσκεν ἑτοῖμα.
Τῷ δὲ Θεᾶ μορφὴ, ὅψια τῇ πρόσθ' ἐπιόντος,

Ἦλθεν

❀ ❀ ❀

Στίχ: 597. Ο'ΥΣ Τ' ΑΠΟ' ΣΙΔΟΝΙ'ΟΥ ΜΟ'ΓΙΣ κτ: Οὐ γὰρ τοσοῦτον τῇ πρὸς αὐτὸν εὐνοίᾳ ἐοίκασι τῆς Πατρίδος οἱ Τύριοι μεταναςεύσαι, ὅσον τῷ μίσει κινηθέντες, ἣ τῷ φόβῳ τὸ Γυραννεῖον Πυγμαλίωνος.

Στίχ: 599. Ο'ΥΧΙ' ΘΑ'Ν' ΩΣ ΕΙ'ΚΟΣ ΓΕ. Εἰς τοῦτο ἀπέληξε τὸ τῆς ἀμηχανίας· τὸ δὲ προελέσθαι, τῶν προτεθέντων ἐπὶ ἑδέντι δοκεῖ, οὐδέν σοι ἄλλ' ἢ ἴσως ἄρα λείπεται μένον· τελεύτα.

Στίχ: 600. ΣΥ' ΘΡΗ'ΝΟΙΣΙΝ ΕΜΟΙ'Σ κτ: Ὑπομεμφεταίπως τῇ κασιγνήτῃ Ἄννῃ, ὡς ἐπὶ τὸν γάμον προτρεψαμένῃ· ἀλλ' ἅμα καὶ συγγινώσκειν πως ἔοικεν, ὅτι καμφθεῖσα τοῖς ἑαυτῆς θρίνοις πρὸς τρέψατο.

Στίχ: 604. ΖΗ'Ν ΘΗΡΟ'Σ ΓΕ ΔΙ'ΚΗΝ κτ: Ἐνικῶς (φασὶ τινες) ᾠδε (ὁ Θήρ) προενήνεκται, ὅτι ἴδιον ἐςὶ Λυγκὸς μάλιςα, χρευθεῖσαν, μηκέτι τὸ λοιπὸν Λυγκὶ ἑτέρῳ συζεύγνυθαι. Ἀλλ' εἴπερ εἰς τοῦτο ἀπιδὼν ὁ Ποιητὴς ἐνικῶς τὸν Θῆρα προήνεγκε, θαυμάσειέτις εἰκότως· δοκεῖ γὲν ἐδὲν ἄλλ' ἢ τιὼ μόνωσιν ἐννοῆσαι, καὶ τὸ τῆς διαγωγῆς ἀσωδύαζον καὶ Φιλέρημον· ὅπερ ποικοῖς θηρίων ἔδεσιν ἴδιον, ὅσα τῶν μὴ σωαγελασικῶν. Οὐχὶ δὲ ἑνί τινι καὶ μόνῳ, κἂν ὁ Λύγξ τοῦτο εἴη, κἂν ὁ Μονὸς ὁ καλούμενος ἄγριος.

Στίχ: 609. . . . . ΟΨΕΙ ΤΗΙ ΠΡΟ'ΣΘ' ΕΠΙΟ'ΝΤΟΣ. (Ἄνωτ: στίχ: 295 — 305.

Infelix Dido, nunc te fata impia tangunt.
Tum decuit, cum ſceptra dabas: En dextra fideſque,
Quem ſecum patrios ajunt portare Penates,
Quem ſubiiſſe humeris confectum ætate parentem.
Non potui abreptum divellere corpus, et undis
Spargere? non ſocios? non ipſum abſumere ferro
Aſcanium? patriiſque epulandum apponere menſis?
Verum anceps pugnæ fuerat fortuna: fuiſſet:
Quem metui moritura? faces in caſtra tuliſſem,
Implêſſemque foros flammis: natumque, patremque
Cum genere extinxêm: memet ſuper ipſa dediſſem.
Sol, qui terrarum flammis opera omnia luſtras,
Tuque harum interpres curarum, et conſcia Juno,
Nocturniſque Hecate triviis ululata per urbes:
Et diræ ultrices, et Dii morientis Eliſæ,
Accipite hæc: meritumque malis advertite numen:
Et noſtras audite preces: ſi tangere portus
Infandum caput, ac terris adnare neceſſe eſt,
Et ſi fata Jovis poſcunt, hic terminus hæret:
At bello audacis populi vexatus et armis,
Finibus extorris, complexu avulſus Iüli,
Auxilium imploret, videatque indigna ſuorum
Funera: nec, cum ſe ſub leges pacis iniquæ

Tradi-

❁ ❁ ❁

Στίχ: 610. Ἦλθεν ἐνύπνιος . . . . Καὶ παρὰ Ὁμήρῳ Ἀγαμέμνων τὸν αὐτῷ ὄνειρον διελθεῖν ἀρξάμενος. Ἰλ: Β. 56.

„ . . . . . Θεὸς μοι ἐνύπνιος ἦλθεν ὄνειρος
„Ἀμβροσίῃ διὰ νύκτα· μάλιστα δὲ Νέστορι δίῳ
„Εἶδος τε, μέγεθός τε, φυὴν τ' ἄγχιστα ἐώικει

Στίχ: 613. Ἦ ΝΥ ΘΕΟΊΟ ΤΈΚΟΣ . . . . . ΔΥΝΉΣΕΑΙ ΕΥ̓ΔΕΙΝ; Παρὰ Ὁμ. δὲ Αὐτ: στίχ: 60.

„Εὕδεις Ἀτρέος υἱὲ κτ: καὶ Ἰλ: Ω. στίχ. 683.
Οὐνύ τι σόι γε μέλῃ κακὸν, οἷον ἔθ' εὕδεις
„Ἀνδράσιν ἐν δηίοισιν . . . . . .

Στίχ: 615. . . . . ΟΥ̓ ΖΕΦΎΡΟΥΣ . . . . ὈΥΡΟΥΣ; Νοητέον ἁπλῶς τὰς ἀνέμους. οὐ γὰρ ἂν οὖρος εἴη ζέφυρος πνέων τοῖς ἀπὸ Καρχηδόνος ἐπ' Ἰταλίας ἀναγομένοις.

Στίχ: 630. Ὅς ΚΕ ΘΕΣΠΝ ΑΡ' ΕΟΙΣ . . . . . Καιμιλῶ ἀνωτ: (στίχ. 391.) ἔδοξεν ἐπεγνωκέναι ἔς τις ὁ ἐποφθεὶς αὐτῷ Θεὸς εἴη ὅτι Ἑρμῆς. Ἀλλὰ γὰρ ὑπελέλειπετότις ἔτι ὑπόνοια, ἐξ ὧν πρεσβῶν ἔφασκε στίχ. 610. κξ:)

„ . . . . . καὶ τοῖ αὖθι δόκει παρεστάμεν
„Ἑρμῆ πάντα δ' ὁμοῖος ἦεν, αὐδήν τε, χρόαν τε,
„Καὶ ξανθὰς δὲ κόμας, καὶ εἰδέα γυῖα δὲ ἦβη.

Οὐ γὰρ ἔφη, ὡς ἐκεῖνος αὐτὸς ἦν, ἀλλ' ὅτι ὁμοῖος. Σέρβιος δὲ, καὶ περιττόν τι προσιθεὶς ἐνταῦθα, τρεῖς, φησὶ, τὰς Ἑρμᾶς μεμυθεῦθαι: τὸν μὲν ἐφέσιον, τὸν δὲ χθόνιον. τὸν δὲ ὑποχθόνιον· (ἐκ τῆ Κικέρ. ἐν τοῖς περὶ Φύσ: Θεῶν.) ἢ καὶ τέτταρας κατ' ἄλλους· τὸν μὲν, ἐξ Οὐρανῆ γενόμενον καὶ Ἡμέρας· τὸν δὲ, ἐκ Διονύσα καὶ Περσεφόνης· τὸν δὲ, ἐκ Διὸς καὶ Μαιάδος· τὸν δὲ τέως ἐκ Κυλλήνης, ἧ καὶ ἀφάνης ἡ μήτηρ, ὡς ἐξ αὐτῆ τοξευθεῖσα· τῆ καὶ εἰς Αἴγυπτον ἀπελθόντος δι' αὐτὸ γε τῆτο, κἀκεῖ τὰ γράμ-

Ἦλθεν ἐνύπνιος, ἄνθι δὲ τοῖα δόκει παραφᾶσθαι.
Ἑρμῇ πάντα δ' ὁμοῖος ἴκω, ἀνδιῶ τε, χρόαντε,
Καὶ ξανθὼ δὲ κόμω, καὶ ἐοικότα γυῖα δὲ ἦβῃ.
Ἦ νύ Θεοῖο τέκος, νωῖ ὧδε δωήσεαι εὔδειν;
Οὐδ' ὅσα δὴ περίεσιν ἔπεια σὲ δεινὰ χαλίφρον
Δέρκεαι; ἀ ζεφύρους ἀΐεις πνείοντας τ' ἄρας;
Ἦ ῥὰ δολοφροσώας, ἀθέμιστά τε φρεσὶ μενοινᾷ,
Γνᾶσα τε ἐκθανέειν ὀργαῖς χειμάζεται ἴφι.
Οὔκ ἔρρεις ἔως οἷον τε φέβεσθαι σπεύσας;
Αὐτίκα δὴ πέλαγος τρόπισιν τε θροόμενον ὄψῃ,
Δᾷδας θ' ἁπτομένας, φλόγεσ' ἀκτάς τε ζειούσας,
Ἄϊπε σε ἠὼς ὥδ' ἐπιδηθύνοντα λάβῃσι.
Σπεῦδε· Γωὴ αἰὲν πως ποικίλον, ἀλλοπρόσαλλον.
Ὣς ἄρα φωνήσας, σωεμίχθη νυκτὶ μελαίνῃ.
Τῆμος δ' Αἰνείας, ἄϊφνης τῇδ' ἔντρομος ὄψει
Ἔγρετο ἐξ ὕπνου, ἀνταὰρ τε σπέρχεν ἑταίρους.
Ὄρνυσθ' ἐγρηγορτὶ φίλοι προτὶ σέλματα ἄνδρες,
Ἰσία λύετε ὦκα· Θεὸς πάλιν ἵκτο ἀφ' ὕψους
Φύξιν σπεύδειν, ῥίμφα τε νηῶν πείσματα τέμνειν
Αὖτ' ἐπορίνει. Ἠνὶ δ' ἐφεσπόμεθ' αἶψα κράτιστε,
Ὅς κε Θεῶν ἄρ' ἔοις, γηθεῦντες ὑπέξομεν ἄνδις
Κεκλομένῳ· παρέοις μόνον ἤπιος, εὐμενέοις τε,
Τέρεά θ' ὑρανόθεν γε φέροις ἐνδέξια ἄμμιν·
Ὣς ἄρ ἔφη· φλόγεον δ' ἄμ' ἐὸν ξίφος ἐκ κολεοῖο
Σπασσάμενος, πρυμνᾶία νεὼς ἄπο ἔχματ' ἔκοπτε.
Σύμπαντες δ' ἄυτως ζέον, οἴχεθ' ἑμενοίπερ.
Αἶψα δὲ καρπαλίμως ἐνεπεσσεύοντο νέεσσι,
Λᾶαν δ' ἀκτὰς, καδδ' ἐκάλυπτον λαῖτμα θαλάσσης,
Ἀφρὸς δ' ὀτραλέως ζρόφεον, καὶ κύματα σαῦρον.
Ἤδη δ' ἄρ' πρῶτον φάος ἦρχ' ἐπὶ γῆς καταχεύειν
Ἠὼς, Τιθωνοῖο λέχος προλιποῦσα κροκόχρων.



* * *

γεάμματα Λιγυπτίως, καὶ τῷ ἀριθμῶν Ἐπιζήμιον ἐκπαιδεύσαντος· παρ' οἷς καὶ ἴνομα ἴδιον τὸ Θωθ, τῷ Θεῷ. Τέτων σῶ ἐυλόγως, φησὶν, ἀγνοῶν Αἰνείας εἶχεν εἰπεῖν· ὅς κεν ἔοις.)

Στίχ: 634. . . . . ΠΡΥΜΝΑΪΑ ΝΕΩΝ . . . . ΈΧΜΑΤ' ΈΚΟΠΤΕ.
Καὶ παρ' Ὁμ. Ὀδυσ. Κ. στίχ: 126.
„Τόφρα δ' ἐγὼ ξίφος ὀξὺ ἐρυσσάμενος παρὰ μηρῷ
„Τῷ ἀπὸ πείσματ' ἔκοψα νεὸς κυανοπρῴροιο.
Καὶ παρὰ Ἀπολλων. Ἀργον. Δ. τὸ αὐτὸ ἔτω: στίχ: 207.
„. . . . . ὁ δὲ ξίφος ἐκ κολεοῖο
„Σπασσάμενος πρυμνᾶία νεὸς ἀπὸ πείσματ' ἔκοψεν.
Στίχ: 640. ΗΩΣ ΤΙΘΩΝΟΙΟ ΛΕΧΟΣ ΠΡΟΛΙΠΟΥΣΑ κτ: Ἐξ Ὁμήρε σαφῶς καὶ τόδε: Ἰλ: Λ. στίχ. 1.
„Ἠὼς δ' ἐκ λεχέων παρ' ἀγαυοῦ Τιθωνοῖο
„Ὠρνυθ', ἵν' ἀθανάτοισι φόως φέροι, ἠδὲ βροτοῖσι.
„Τιθωνὸν μὲν γὰρ Ἠὼς ἁρπάσασα διὰ ἔρωτα εἰς Αἰθιοπίαν κομίζει, κἀκεῖ
„συνελθοῦσα γεννᾷ παῖδας Ἡμαθίωνα, καὶ Μέμνονα. (Ἀπολλόδ. Βιβλ: Γ.
„Κεφ:

Tradiderit, regno, aut optata luce fruatur:
Sed cadat ante diem, mediaque inhumatus arena.
Hæc precor; hanc vocem extremam cum ſanguine fundo.
Tum vos, ô Tyrii, ſtirpem et genus omne futurum
Exercete odiis, cinerique hæc mittite noſtro
Munera: nullus amor populis, nec fœdera ſunto.
Exoriare aliquis noſtris ex oſſibus ultor,
Qui face Dardanios, ferroque ſequare colonos.
Nunc, olim, quocunque dabunt ſe tempore vires,
Littora littoribus contraria, fluctibus undas
Imprecor, arma armis: pugnent ipſique nepotes.
Hæc ait: et partes animum verſabat in omnes,
Inviſam quærens, quamprimum abrumpere lucem.
Tum breviter Barcen nutricem affata Sichæi:
(Namque ſuam patriâ antiquâ cinis ater habebat)
Annam, chara mihi nutrix, huc ſiſte ſororem:
Dic, corpus properet fluviali ſpargere lymphâ,
Et pecudes ſecum, et monſtrata piacula ducat.
Sic veniat: tuque ipſa piâ tege tempora vittâ.
Sacra Jovi Stygio, quæ rite incepta paravi,
Perficere eſt animus, finemque imponere curis;
Dardaniique rogum capitis permittere flammæ.
Sic ait: illa gradum ſtudio celerabat anili.
At ttepida, et cœptis immanibus effera Dido,
Sanguineam volvens aciem, maculiſque trementes

Inter-

❋ ❋ ❋

„Κεφ; ΙΒ.) Εἶτα Κεφάλη ἡ αὐτὴ ἐραθεῖσα, ὃς ἦν Ἕρσης καὶ Ἑρμῆ, ἐξ „αὐτῆ ἐν Συρίᾳ Τιθωνὸν ἐγέννησεν ἕτερον, ὃ παῖς ἐγένετο Φαέθων· (Ἀπο- „λλόδ. Ἀυτ: Κεφ: ΙΔ.) Σύδ' ἀλλὰ τὸν περὶ τῆ Τιθωνῆ μῦθον ῥαψωδέμενον εὑρήσεις ἀδρότερον ἐν Ὕμν. τῶ εἰς τὴν Ἀφροδ. στίχ: 219—239. Εἰ δὲ βέλει, διελθε, καὶ ἃ περὶ τῆ αὐτῆ Τιθωνῆ ἡμῖν σεσημείωται ἐν τῷ Α. τῶν Γεωργ. στίχ: 514.

Στίχ: 647. ΟΥΧ ΟΠΑ' ΕΚΠΕΜΨΟΥΣ'; κτ: Γραφικώτατά τε καὶ ἐναργέσατα ὁ Ποιητὴς ὑποτυποῖ ἐνταῦθα τὴν ἐξ ἐργῆς μανιώδες παραφερομένην τε καὶ παραφθεγγομένην, καὶ πολλὰ δὲ καὶ παντοῖα γοργῶς τε καὶ ἀσωδέτως, ἄλλα ἐπ' ἄλλοις, παράκοπτά τε καὶ ἄκρητα μάτην σωείρασαν· καθ' ὁμοιότητα τῶν Εὐριπιδ. ἐν ταῖς Φοινίσ: ἐκείνων:

„Ἴτω μὲν πῦρ, ἴτω δὲ φάσγανα, ζεύγνυσθε δ' ἵππους.

Στίχ: 650. ΑΛΛ' Α ΠΟΤ' ΕΙ'ΡΩ; ΠΟΥ ΔΕ' ΠΕ'ΛΩ; ΩΣΣΔ' ΕΚΤΟΠ' ΑΦΡΑΙ'ΝΩ; Καὶ τὸ δε ἄρα τῆς παρακοπῆς ἐσὶ παρεγχωρῆσαν οἷον διάλειμμα.

Στίχ: 651. ΝΥ'Ν ΔΙΔΩ' ΣΕ ΤΑ'ΛΑΙΝΑ κτ: Ἑαυτὴν μὲν κατοικτείρει, ἀθεσμίαν δὲ τῆς Μοίρας κατηγορεῖ.

Στίχ: 652. . . . . ΟΤΕ ΟΙ' ΒΑΣΙ'ΛΕΙΑ ΤΟΠΑΖΕΣ ΣΚΗ'ΠΤΡΑ. Εἰκὸς γὰρ καὶ τῶ Αἰνείᾳ καθυποχέσθαι αὐτὴν τὰ ὅμοια, ἢ μᾶλλον καὶ πλείονα, ὧν πρὸ τῆς ἐκείνε ἐπιφανείας, τοῖς περὶ αὐτὸν προϋπέσχη. Α. Αἰν. στίχ 618.

„Βέλεσθε ξυὼ ἐμοὶ, καὶ τὰς δε νάσασθαι χώρας;
„Ὑμετέρη πόλις, ἣν ῥὰ δομεμαι· ναῦς ἑρύεσθε.
„Τρῶς, Τυρίς τε ἔμοι γε, ἐν αἴσῃ κείσετ' ἴσῃ.

Ἔτι δὲ μὴν καὶ Ἰάρβας διὰ τῦτο ζηλοτυπῶν, καὶ ἀγαναπτῶν ἀνωτέρω κατεβοᾶτο, στίχ: 233.) ὅτι:

„Αἰνείαν Αὐτῆς, καὶ κάρτεος ἔλετο ἄρχειν.

Στίχ:

Τῆμος δ' ἄρ βασίλεια ἀφ' ὑψόθεν ἐκ σκοπιάων,
Ὡς ϛόλον ἰσοτόνοις ἐν λαίφεσιν ἐκπροϊόντα,
Κἀκτὰς καὶ λιμένας πλωτήρων ἤθεα καλὰ,
Τρὶς τ' ἰδὲ τετταράκις πλήξασα ϛήθεα παλὰ,
Ξανθὰς τ' ἐκτίλωσα κόμας: Ὦ Ζεῦ! ἄπο ἔρπει 645
Οὗτος ἔπηλυς, ἔφη, κράτος εἰς ἡμῶν ἐφυβρίσας.
Οὐχ ὅπλ' ἐκπέμψω ϛ; ἢ ἐκ πόλεως ὄρσονται;
Ὄυκ ἐκ ναυϛάθμων ἄλλοι ναῦς ἁρπάξωσι;
Φέρτ', ἴτε δὴ φλόγας· ἰϛὶ ἄραϕε, ἐρέϛϛετε ὦκα.
Ἀλλ' ἆ ποτ' εἴρω; πῆ δὲ πέλω; ὡς δ' ἔκτοπ' ἀφράνω; 650
Νῶι Διδὼ ϛε τάλαιναν ἄθεμος μοῖρα πίεζει,
Τόφρα δ' ἐχρὼ, ὅτε οἱ βασίλεια ὄπαζες σκῆπτρα.
Ἠνὶ ῥὰ σωθεσίαι, καὶ δεξιαὶ ἧς ἐπεπίθμεν!
Τὸν δε Θεὸς, Φασὶ, τὸς πατρῴους συμμεταγωνᾶν!
Τόν δε ὑπεργήρῳ γενετῆρι ὑποχεῖν ὦμος! 655
Ὄυκ ἦν ἁρπάξασαν ἕλωρ μὶν κύμασι ῥίψαι;
Οὐχ ἑτάρος αὐτῇ κτανέμεν; κἀυτὸν δὲ σιδήρῳ
Ἀσκάνιον, καὶ δαῖτα δ' ἐῷ γενέτῃ παραθέσθαι;
Ἀλλὰ γ' ἐν ἀμφιδόκῳ εἴη δὴ Φύλοπις· εἶεν·
Τὸν δ' ἦ θνηξομένη καὶ δείσαμι'; αἶψα ἐγώκεν 660
Δᾶδας ἐνεῖσα, πυρὸς πλησαίμιω ναῦς μαλεροῖο.
Φλοξὶν δ' ἐξολέσαμι τεκόντα τε Φῶτα τε ἄρδιω,
Καὶ σύμπαν γένος· αὐτὰρ ἔπειθ' αὐτιῶ μ' ἐπιδόιιω.
Ἠέλιος γῆς πάντα ὅς ἀκτίνεσσ' ἐπιλεύσσεις,

Καὶ

❁ ❁ ❁

Στίχ: 653. ΗΝΙ' ΡΑ' ΣΥΝΘΕΣΙΑΙ κτ: Κατ' ἐκεῖνο, Ἰλ: Β. στίχ: 341.
„Σπονδαί τ' ἄκρητοι, καὶ δεξιαὶ ἧς ἐπέπιθμεν.
Στίχ: 654. ΤΟΝ ΔΕ ΘΕΟΥΣ, ΦΑΣΙ, ΤΟΥΣ ΠΑΤΡΩΟΥΣ κτ: (Β. Αἰν: στίχ: 772.)
Στίχ: 655. ΤΟΝ ΔΕ ΥΠΕΡΓΗΡΩι ΓΕΝΕΤΗΡΙ κτ: (Β. Αἰν: στίχ: 775.)
Στίχ: 658. . . . . ΚΑΙ' ΔΑΙΤΑ Δ' ΕΩι ΓΕΝΕΤΗι ΠΑΡΑΘΕΣΘΑΙ; Οὐ μόνον κατὰ τὸ ἀδικεῖν δοκοῦντος Αἰνείε φλεγμαίνουσα τοῖς ὀργαῖς χαλεπαίνει, ἀλλ' ἔτι καὶ κατὰ τῶν ὀπαδῶν τῶν ἐκείνε, καὶ κατὰ τὸ παιδὸς αὐτοῦ Ἀσκανίε, τοσοῦτον, ὥϛε καὶ μεταμέλειν αὐτῇ ὅτι μὴ Φθάσασα προκατέσφαξε, μηδὲ τῷ γεγεννηκότι εἰς ἔδεσμα παρέθετο, κατὰ τὴν Πρώκνην ἐκείνην, τὴν ἐκ τοῦ ὄρους Ἴτυος Τηρέα κατευωχήσασαν. (Ὅρα τὸν μῦθον ἐν τῷ Δ. τῶν Γεωργ. στίχ: 18. καὶ 614.)
Στίχ: 664. ΗΕΛΙΟΣ, ΓΗ Σ κτ: Ἐκ τοῦ Ὀρφικοῦ τῆς Νεμέσεως Ὕμνε; στίχ: 8.
„Πάντ' ἐϛορᾷς, καὶ πάντ' ἐπακούεις, πάντα βραβεύεις,
ἢ ἐξ Ὁμήρε, Ἰλ: Γ. στίχ: 277.
Ἠέλιος θ' ὃς πάντ' ἐφορᾷς, καὶ πάντ' ἐπακούεις.
Θεοὺς οὖν πάντας καὶ πάσας Διδὼ ἐπικαλεμένη ἐφεξῆς τὰ πάνδεινα Αἰνείᾳ τε καὶ τοῖς περὶ αὐτὸν ἐπαρᾶται. Ὅμοιος δὲ ὁ τύπος τῷ παρ' Ὁμήρῳ τὸν Κύκλωπα ἐπισάγοντι κατὰ Ὀδυσσέως ἀρώμενον. Ὀδυσ. Ι. στίχ: 526.
„. . . . . ὁ δ' ἔπειτα Ποσειδάωνι ἄνακτι
„Εὔχετο, χεῖρ' ἐρέγων εἰς ἠρανὸν ἀϛερόεντα.
„Κλῦθι, Ποσείδαον, γαιήοχε, κυανοχαῖτα,
„Εἰ ἐτεὸν γε σὸς εἰμὶ, πατὴρ δ' ἐμὸς εὔχεαι εἶναι,
„Δὸς μὴ Ὀδυσσῆα πτολιπέρθιον οἶκαδ' ἱκέϛθαι,
„Τὸν Ἀκαιρτεω, Ἰθάκῃ ἔνι οἰκί' ἔχοντα.
„Ἀλλ' εἰ οἱ μοῖρ' ἐϛὶ φίλες τ' ἰδέειν, καὶ ἱκέϛθαι
„Οἶκον ἐυκτίμενον, καὶ ἐὴν ἐϛ πατρίδα γαῖαν,

Interfusa genas, et pallida morte futurâ,
Interiora domus irrumpit limina, et altos
Conscendit furibunda rogos, ensemque recludit
Dardanium, non hos quæsitum munus in usus.
Hîc postquam Iliacas vestes, notumque cubile
Conspexit, paulum lacrymis et mente morata,
Incubuitque toro, dixitque novissima verba:
Dulces exuviæ, dum fata Deusque sinebant,
Accipite hanc animam, meque his exolvite curis.
Vixi, et, quem dederat cursum fortuna, peregi:
Et nunc magna mei sub terras ibit imago.
Urbem præclaram statui, mea mœnia vidi:
Ulta virum, pœnas inimico à fratre recepi.
Felix, heu nimium felix, si littora tantum
Nunquam Dardaniæ tetigissent nostra carinæ!
Dixit: et os impressa toro, Moriemur inultæ?
Sed moriamur, ait: sic, sic juvat ire sub umbras.
Hauriat hunc oculis ignem crudelis ab alto

Dar-

❁ ❁ ❁

„Ὄψὲ κακῶς ἔλθοι, ὀλέσας ἀπὸ πάντας ἑταίρους.
„Νηὸς ἐπ' ἀλμυρίης. Εὗρον δ' ἐν πήματα οἴκῳ.

Στίχ: 665. . . . . ΤΩΝ Δ' ἘΠΙΌΥΡΟΣ ἸΔ' ἼΔΜΩΝ. ΠΟΤΝΙΑ ΗΡΗ. Εἰπεῖν εἶχε τιὼ αὐτιὼ καὶ Ἰῶν ἀποῤῥήτων γάμων ὲ μόνον σωίσοφα, ἀλλὰ καὶ προαγωγὸν, καὶ προμνήστριαν, (Ἄνωτ: στίχ: 182.)

Στίχ: 666. ΝΥΚΤΕΡΙΉ Θ' ἙΚΑΤΗ . . . . . ΤΡΙΟΔΟΙΣ ΓΟΟΩΣΑ. Τῇ Σελλύῃ γυναιξὶ νενόμιστο θύειν νυκτὸς ἐπὶ τῶν Τριόδων προϊέσας τε, καὶ ὀλολυζέσας· ἐξ οὗ καὶ Τριοδῖτις ἡ Ἑκάτη προσείρηται. Ἡ δὲ τελετὴ ἀπομνημόνευσις ἦν τῆς περιοδεύσεως, καθ' ἣν Δημήτηρ διὰ γῆς ἀπάσης περιῆει, Περσεφόνῃ ἀναζητοῦσα τιὼ θυγατέρα, ἣν Ἀιδωνεὺς ἥρπασεν, ὃ, φασὶν, εἰς παράδειγμα πεπλάσθαι τῆς Αἰγυπτιακῆς Ἴσιδος, τῆς τὸν Ὄσιριν ἀπανταχόσε ἐπιβοωμένης μετὰ γόων καὶ θρηνῶν, ὃν ὁ Τυφὼς ἀνελὼν διεσπάραξεν.

Στίχ: 667. . . . . ἘΡΙΝΝΥΈΣ. . . . . Αἱ ἀπὸ τῶν σαλαγμῶν τοῦ ἀποῤῥεύσαντος αἵματος, ὅτε Κρόνος τὰ αἰδοῖα τοῦ πατρὸς ἐκτεμὼν, εἰς Ἰὼ θάλασσαν ἀφῆκε, γενόμεναι. (Ἀποδ. Βιβλ: Α Κεφ: Α.) Ἀληκτὼ, Τισιφόνη, Μέγαιρα· αἱ τὰς ποινὰς τοῖς ἀταθάλοις καὶ ἀλιτηρίοις ἐπάγουσαι. (Ὧρα καὶ Γ. Λίν: στίχ 268.)

Στίχ: 668. . . . . ΘΕΟΙ . . . . . ἘΛΙΣΣΗΣ . . . . . Οἱ πατρῶοι καὶ Ἐφέσιοι, οἱ προσάται καὶ φύλακες· οὓς περ αὐτὴ διαφερόντως ἄζετο θεραπεύουσα.

Στίχ: 671. . . . . ΚΕΦΑΛΗΝ ἈΘΕΜΙΣΤΟΝ ἈΝΑΓΚΗ. Οὐδ' ἐπαρωμένη ἐξ ὀνόματος καλέσαι ἰωέχετο. Ἀνάγκιν δὲ τιὼ ἐκ τῆς πεπρωμένης λέγει.

Στίχ: 673 ἌΛΛ' Ὁ ΜΑΧΗ. ΣΚΥΛΛΕΙΣ κτ: Ταῦτ' ἐστὶ παρενοχληθεὶς, τρυχωθεὶς, ταλαιπωρηθεὶς. Αὕτη δὲ προῤῥησις ἐστὶν ἐν ἀρᾷ εἰδεῖ τῶν Αἰνείᾳ συμβαίνειν μελλόντων, ἐν ταῖς κατὰ Λατίνων τε καὶ Ῥυτύλων μάχαις, μετ' ὀλίγον ὕστερον.

Στίχ: 674. . . . . ΝΟΣΦΙΝ ΔΗ' ΦΥΝΤΟΣ ἸΟΥΛΟΥ. Ὡς ὅτε τὰς τε νῆας, καὶ τὰς ἐπ' ἀσφαλείᾳ κατωχυρωμένας ἐπάλξεις, καὶ τὰς ἑταίρας, καὶ τὸν υἱὸν Ἴουλον ἐγκαταλιπὼν, συμμαχίας ἀπελεύσεται ἐξικετεύσων, τιὼ παρ' Εὐάνδρᾳ, τιὼ παρὰ Τάρχοντος, κτ:

Στίχ: 675. . . . . ΔΕΎΡΞΑΙΤΟ ὈΛΕΘΡΟΝ ἙΤΑΊΡΩΝ. Τιὼ τῷ Πάλλαντος ἀναίρεσιν, καὶ τῶν ἄλλων, οὓς αὐτῷ πίπτοντας ἐν τοῖς πολέμοις ἐπόψεται.

Στίχ:

Καὶ σὺ δὲ τῶν ὃ ἐπίκρος ἰὼ ἴδμων πότνια Ἥρη,
Νυκτερίη θ' Ἑκάτη, πόλεων τριόδοις γοόωσα,
Καί γε Ἐρινύες, αἳ δειναὶ τῶν ὃ ἔκδικοι ἐξὲ,
Καὶ Θεοὶ αὖτ' ἐπὶ τοῖσιν Ἐλίσσης θανατιώσης,
Τάων μὲν πεύθεθ', ἐπ' ἀλιτρὸς δὲ τρέψαθε,
Καί μευ λισσομένης δὴ κέκλυτε. Αἴ κ' ἄρα κέλσαι,
Ἠὲ ὅρμοιο τυχεῖν κεφαλῇ ἀθέμιστον ἀνάγκῃ·
Κ' αἶκε Διὸς Μοῖραι πῆξαν τόδε ἔμπεδον ἔμμεν,
Ἀλλ' ὅ μάχῃ σκυλεὶς λαὸν ἰταμοῖο καὶ ὅπλοις,
Ἔξορος, ἠὲ ἄπολις νόσφιν δὴ φωτὸς Ἰάλλῃ,
Δευόμενος χραίσμης δέρξαιτο ὄλεθρον ἑταίρων.
Οὐθ' ὑπὸ συμβασίῃ ὅγ' ἔπειτα ἀνάρσιον ἐλθὼν,
Αὐτῆς κοιρανίης, ἢ φωτὸς ἐπαύροιθ' ἱμερόεντος.
Πρὶν δ' ὥρης ἡμύσαι ἄτυμβος ἐπὶ ψαμάθοισι.
Ταῦτ' ἐπαρῶμαι· ἔπη τάδε, ὕσατ' ἐν αἵμασι χεύω.
Εἶθ' ὑμεῖς Τύριοι, φύτλιωτε, καὶ ἔθνος ὅ ἕξαι,
Αἰὲν ἀπεχθαίρειν, στοδιῆς τ' ἐναγίσματ' ἐμῇσι
Ταῦτ' ἀναπέμπειν. Μηδ' ἄρ τις ποθ' ὅλως μετόπιθε
Σωθεσίη, φιλότης τ' ἐνὶ τύτοις ἔθνεσιν ἔξω.
Ἔκ δέ κεν ἡμείων ὀσῶν ποτε ἔλθοι ἀμύντωρ,
Ὅς τις Δαρδανίης κε σιδήρῳ φλοξὶ τ' ἐλάσσοι.



❁ ❁ ❁

Στίχ: 677. Ο'ΥΘ' 'ΥΠΟ' ΣΥΜΒΑΣΙΗΝ . . . . 'ΑΝΑ'ΡΣΙΟΝ. . . . . Ἦν μετὰ πολλῶν τε καὶ δεινῶς ἀγῶνας τέως σωθήσεται. Τῷ ὄντι γὰρ, ὡς δῆλον ἐκ τῶν ἑξῆς ἔσαι, καὶ νικήσας Αἰνείας, ὅμως τὰ τῶν ἡττηθέντων σωέθετο ἁπάσασθαι πάντα, καὶ ἔθη, καὶ νόμως· καὶ τὸ ὄνομα δὲ αὐτὸ, ὡς μηδὲ Τρῶας τῷ λειπῷ, ἢ Δαρδανίης, ἢ Ἰλιεῖς μηδόλως ἀκέειν, καθὰ περὶ τὸ πέρας τῶν ῥαψῳδημάτων Ζεὺς, Ἥρας ἐξαιτησαμένης, κατένευσεν.

Στίχ: 678. ΠΡΙ'Ν Δ' ἮΡΗΣ 'ΗΜΥ'ΣΑΙ 'ΑΤΥΜΒΟΝ 'ΕΠΙ' ΨΑΜΑ'ΘΟΙΣΙ. Φασὶ γοῦν Αἰνείᾳ παρὰ τὸν Νυμικὸν ποταμὸν νικητήρια θύοντος, καὶ ὑποβρυχίᾳ κατενεχθέντος, μηδὲ τὸν νεκρὸν εὑρεθῆναι· οἱ δὲ ἄλλως, κατὰ τῶν Ἀβοριγίνων αὐτὸν μάχῃ σωάψαντα, ἄπνουν καταληφθῆναι· τὸ δ' ὅτως ἄτυμβόν τε καὶ ἀκήδευτον διαμεῖναι τὸν τεθνηκότα, τῶν νενομισμένων τελετῶν καὶ ἐναγισμάτων μὴ τυχόντα, ἐν μοίρᾳ συμφορᾶς τῆς ἐχάτης ἐτίθετο παρὰ τοῖς παλαιοῖς. Διὸ καὶ Ἑλπήνωρ ἐν τῇ Νεκυίᾳ Ὀδυσσέως ἐδεῖτο μνήσασθαι αὐτῷ ἐπανιόντα, καὶ ἐπιμεληθῆναι τῆς κηδεύσεως. (Ὀδυσ. Λ. στίχ. 72.)

„Μήμ' ἄκλαυτον, ἄθαπτον, ἰὼν ὄπιθεν καταλείπειν
„Νοσφισθείς, μή τοι τι θεῶν μιήμα γένωμαι.
„Ἀλλά με κακκῆαι, σὺ τεύχεσιν ἄσσα μοι ἐστὶ
„Σῆμα τε χεῦαι κτ.

Στίχ: 680. ΕΙ'Θ' 'ΥΜΕΙΣ ΤΥ'ΡΙΟΙ κτ: Ταῦτα τοῖς ὁμογενέσι παρεγγυᾶται, προαναφωνῆσα τὰς μεταξὺ Καρχηδονίων τε καὶ Ῥωμαίων ἐσομένας ὕστερον δήρεις, καὶ τὰς εἰς τρίτον αὖτως ἀνασυνησομένας ἀσιωθέτως σωθήκας.

Στίχ: 684. . . . . 'ΕΛΘΟΙ 'ΑΜΥ'ΝΤΩΡ. Ἀμέλει τοι ὁ Ἀννίβας προϋπενίσσετο, ὁ ἐπὶ τῇ Β'. τῶν Καρχηδονικῶν πολέμων, πολλάς τε καὶ ἐπισήμους κατὰ Ῥωμαίων ἀνελὼν, νίκας· ἤ, ὅς τις ποτὲ καὶ γένοιτο παρὰ τὸν Ἀννίβαν ἕτερος, ὃν ὁ ἐπιὼν ἀναδείξαιτο χρόνος· οὐ γὰρ δὴ αὐτὴ ἀτρεκῶς εἶχεν εἰδέναι πῶς ποτὲ τὰ πράγματα ἔξει· ἠρᾶτο δὲ ὅ τοσῆτοντὰ ἐσόμενα, ὅσον ἔσεσθαι ποτὲ ἅπερ ἠρᾶτο κατευχομένη ἱμείρετο.

Στίχ:

Dardanus, et noſtræ ſecum ferat omina mortis.
Dixerat, atque illam media inter talia ferro
Collapſam aſpiciunt comites, enſemque cruore
Spumantem, ſparſaſque manus. It clamor ad alta
Atria: concuſſam bacchatur fama per urbem.
Lamentis, gemituque, et fœmineo ululatu
Tecta fremunt; reſonat magnis plangoribus æther.
Non aliter, quàm ſi immiſſis ruat hoſtibus omnis
Carthago, aut antiqua Tyros, flammæque furentes
Culmina perque hominum volvantur, perque Deorum.
Audiit exanimis, trepidoque exterrita curſu,
Unguibus ora ſoror fædans et pectora pugnis,
Per medios ruit, ac morientem nomine clamat:
Hoc illud, germana, fuit? me fraude petebas?
Hoc rogus iſte mihi, hoc ignes, aræque parabant?
Quid primum deſerta querar? comitemne ſororem

Spre-

❀ ❀ ❀

Στίχ: 692. (ΚΑΙ ΓΑΡ ΕΗΝ ΠΑΡΟΣ κτ: τιὼ ἑαυτῆς φησὶ τίτθιον. Ἀποδιδῶσι γὰρ ἐνταῦθα λόγον, τὶ ὅτι ἐχὶ τιὼ ἰδίαν, τιὼ δὲ τῆ Συγχαίε τίτθιον ἀπέσειλεν;

Στίχ: 694. . . . . ΛΟΥΣΑΜΕΝΗΝ κτ: Διατριβιὼ τῇ ὁμαίμονι διὰ τῆ λειρῆ ἐπιμηχανᾶται, καιρὸν ἑαυτῇ οἰκονομῆσα εἰς πέρας ἀγαγεῖν ἅπερ ἤθελεν· εἰς ταυτὸ δὲ συμβάλλεται, καὶ ὅ προσέτι τῇ τίτθῃ διεκελεύσατο τῇ τῶν κροτάφων ἀναδήσαι ἑαυτιὼ ἐυτρεπίσαθαι.

Στίχ: 697. . . . . ΣΤΥΓΙΩι ΔΙΙ . . . . . Τῷ Ἀιδωνεῖ.

Στίχ: 699. ΚΡΑΤΟΣ ΔΑΡΔΑΝΙΟΥ κτ: Τιὼ Αἰνείαι δῆθεν παρασκευαθεῖσαν πυρὰν ὑφάψαι διανεμένη· ἐν εἰκόνι δὲ νοητέον, ἣν ἐξ ἐρίων, ἢ ἐκ κηρῆ (Ἀνωΐ: στίχ: 555.) ἔχε πάρ ἑαυτῇ πλάσασα.

Στίχ: 707. ΔΑΡΔΑΝΙΟΝ ΞΙΦΟΣ, κτ: Ἐκεῖνο δὲ τυχὸν ὑπῆρχε τὸ ξίφος, ὅπερ, Ἑρμῆς Αἰνείαν κατείληφεν ἐζωσμένον. (Ἀνωτ: στίχ: 257.) Δῶρον μὲν αὐτὸ παρὰ Διδῆς ἐιληφὸτα, καταχεῖν δὲ ὅμως ἐν τῷ ἀπελθεῖν μηδαμῶς ἀξιώσαντα, σιὼ δὲ τοῖς λοιποῖς τέυχεσί τε καὶ ἄλλοις δωρήμασι, παρὰ τῇ δωρησαμένῃ κεῖθαι καταλιπόντα.

Στίχ: 708. . . . . ΙΔΙΑΚΗΝ ΕΣΘΗΤΑ . . . . Τιὼ ἐκ τῶν Αἰνείε δώρων. (Α. Αἰν. στίχ: 695—704.)

Στίχ: 714 ΝΥΝ Δ' ΕΙΔΩΛΟΝ ΕΜΟΝ . . . . (Ὅρα Γ. Αἰν: στίχ: 71)

Στίχ: 715. . . . . ΙΔΡΥΣΑ ΑΣΤΥ . . . . ΤΕΙΧΕΑ ΕΙΔΟΝ. Οὔτις ἐνταῦθα περιττὴ διασολογία, ὡς ὑπέλαβόν τινες. Ἄσυ γὰρ τὸ ἐντὸς τῶν τειχῶν κυρίως, ὅσον δι' ἀρότρε κύκλω περιγράφοντες τιὼ πόλιν περιεβάλλοντο· περὶ ἃ ὅρα Πλάτ. εἰς Βίον Ῥωμύλε.) τὸ δ' ἐκτὸς ἐκ τῆ προσεχῆς εἰκάμενον, ἐκ Ἄσυ, ἀλλὰ προάστειον. Ἀλλὰ γὰρ εἰ καὶ τὰ τείχη, ἤτοι μέρος πάντως ἐσὶν, ἢ ὅρος καὶ πέρας τῆ Ἄστεος· οὐ περιττῶς ὧδε προσετέθη ὅμως· μετὰ γὰρ τὸν ἐν τῷ Ἄστει συνοικισμὸν τῶν Τυρίων, κατὰ μικρὸν τὰ περιτειχίσματα προϊόντα καὶ εἰς ὕψος ἐκκορυφέμενα φθάσαι θεάσαθαι ἡ βασιλὶς οἷον ἐπικαυχωμένη παρίσαται, ὡς εἴπερ εἰπεῖν ἐβάλετο, ὅτι ἃ μόνον τιὼ πόλιν συνοικίσασα ἵδρυσα, ἀλλ' ἔτι καὶ πυργώσασα κατωχύρωσα.

Στίχ: 716. ΟΖΥΓΙ ΗΜΥΝΑΜΗΝ ΚΑΣΙΟΣ ΚΑΤΑ ΔΥΣΜΕΝΕΩΣΓΕ. Ἐπὶ τῇ Συγχαίε ἀναιρέσει τῆ ἐμοῦ πόσιος, τὸν ἐκεῖνον ἀνελόντα, ἀδελφὸν μὲν, ἔχθιστον δὲ μοι διὰ τοῦτο γενόμενον· ἐτισάμιν· τὶς δὲ ἡ τίσις; ἡ τῆ πλέτε ἀφαίρεσις· Καὶ γὰρ ὡς ἐν Α. Αἰν. στίχ: 398. εἴρηται·

„Τὼς ἐρατιχρύσε ἀρθεὶς διαπέντυος ἦκτο
„Πυγμαλίωνος πλῆτος ὑφ' ἡγεσίπαι γωμαίε.

Στίχ:

Νῶϊ δ' ἄρ', ἐς ὕστερον, εὖτε παρέσσεται ἥς τ' ἰδὲ νίνυς,
Ἀκτὰς τ' ἀντιβίας ἔμεν ἀκταῖς, κύματι κῦμα,
Ὅπλα τε ὅπλοις, ἐς γ' ἐπὶ ὀψιγόνων, ἐπαρῶμαι.
Ὡς φαμένη θυμὸν πάντη τρέπετ' ἔνθα καὶ ἔνθα,
Ἀχθηρὲς θάσσον φάος ἐμμεμαυῖα λιπέσθαι.
Εἶτα τάχα προσέφη Βάρκιν τίτθην Συγχαίου:
(Καὶ γὰρ ἐὼ πάρος ἦ πρὶν πατρὶς γαῖα κάλυπτε.)
Βάσκε φίλη τίτθη, Ἄννιν ἡμὶν κασιγνήτην
Σπέρξον, λασαμένην ὤκ' ἐν ποταμοῖο ῥεέθροις,
Ἄμμιγα πώεά τ', ἠδ' ἐναγίσματα ἅττ' ἐπετάχθη
Ἐνθάδ' ἀγινεῖν. Καὶ σὺ τεὰς κροτάφους δ' ἀναδῆσαι,
Ἱρὰ ἐπεὶ συγίῳ Διΐ, ἅσσα ἐνήργμαι ἑτοῖμα,
Ἐκτελέσαι προβέβουλα, πέρας θέμενάί τε μερίμνας,
Κρατὸς Δαρδανίη τε πυρὰν φλοξὶν παραδῆναι.
Ὡς φάτο· ἡ δὲ σπεῦδε γεραιῷ βήματ' ἴσσα.
Διδὼ δειμαλέη δ', ἄγριὸς τ' αἰνῷ ἐπὶ ἔργῳ,
Βλέμμα μὲν αἱμωπὸν στροφόωσα, ἑὰς δὲ παρειὰς
Ἔντρομος ἀνσίκτως πελιώμασιν ἐν πυκινοῖσιν,
Ὄψια τ' ὠχριάουσα ὑφ' ἑψομένῃ θανάτοιο,
Ὦρσ' ἐς ῥὰ δόμοιο μυχαίτερα, καὶ μανιώδης,
Βῆ τε πυρὶὼ μεγάλιω, ἔρυσσέ τε ἐκ κολεοῖο
Δαρδάνιον ξίφος, οὐκ ἐπὶ τῷ κειμήλιον ἔργῳ.
Ἔνθ' ὡς δ' Ἰλιακιὼ ἐσθῆτ', ἐυνιώ τε σωήθη,
Πρῶτα θείσατο, μικρὸν ἐπέσχε γόον τε νόον τε·
Εἶτα δ' ἐπενθορέουσ' ἐυνῇφι, τὰ δ' ἔχατα λέξεν.
Ὦ φάρε ἠδέα, εἰς ὅ κε Μοῖρα, Θεός τ' ἐνεχώρει·
Δέχνυσθε ψυχιὼ τιὼ δ', ἡ δέ με λύσατε ἄχθος.
Ἤνυσ' ἀταρπιτὸν, ἣν ζωῆς μοι τάξατο δαίμων·
Νῶϊ δ' εἴδωλον ἐμὸν μέγα δὴ καταβήσετ' ἐς Ἄδα.
Ζακλεὲς ἴδρυσα Ἄξυ· τάδ' ἡμάγε τέχεα δέρξαι·
Δαέρι κατ' κάσιος δ' ἤμωάγε δυσμενέοντος.
Εὐδαίμων, ὀίμοι! μάλα εὐδαίμων, αἴ κ' ἀκτὰς
Μηδέποθ' ἡμετέρας κατὰ νῆες Δάρδανοι ἦχθεν.
Ἦ, καὶ ἐπὶ στόμα τῷ λέκτρῳ πρηνὴς προτιφῦσα·
Καὶ ῥὰ θανέμεθ', ἔφη, ἄτιτοι μάψ; ἀλλὰ θάνοιμεν.
Ὦ δε γὰρ, ὧδε ὄνειαρ ἐμοὶ καταβήμεν' ἐς Ἄδα.

Ὄμμα-

❁ ❁ ❁

Στίχ: 718. . . . . ΔΑ'ΡΔΑΝΟΙ . . . . Ἀντὶ τῶ Δαρδάνιοι. Κεῖται δ' οὕτω καὶ παρ' Ὁμήρῳ, Ἰλ: Β. στίχ: 701. ἔνθα περὶ Πρωτεσιλάῳ φησὶν, ὡς τὸν δ' ἔκτανε Δάρδανος ἀνὴρ, εἰπεῖν ἐθέλων, Δαρδάνιος· ἦν δὲ οὗτος, Λίνειάς αὐτὸς, ἢ Εὔφορβος, ἢ Ἕκτωρ, ἢ Ἀχάτης ὁ ἀποκτείνας, καθάπερ ἐν τοῖς Διδύμε Σχολίοις ἀναγινώσκεται.

Στίχ: 731. ΩΔΕ ΓΑ'Ρ, ΩΔΕ ΟΝΕΙΑΡ ΕΜΟΙ . . . . Οὕτως ἡδύμοι, ἢ σωτελὲς. Τὶς δ' ἡ ἐκ τῶ τεθνᾶναι ἡδονὴ γένοιτο, ἢ ὄνησις καὶ σωτέλεια; ἢ τὸ Ἀριστοτέλους εἰπεῖν (Ρητορ. Βιβλ: Α,) Τὸ τιμωρεῖσθαι ἡδύ, ἡ δίκη ἢ κόλασις ἴασις· ὡς Κέρδης παρεσημείωσεν.

Spreviſti moriens? eadem me ad fata vocaſſes:
Idem ambas ferro dolor, atque eadem hora tuliſſet.
His etiam ſtruxi manibus, patrioſque vocavi
Voce Deos, ſic te ut poſitâ, crudelis abeſſem.
Extinxti te, meque ſoror, populumque, patreſque
Sidonios, urbemque tuam: date, vulnera lymphis
Abluam, et extremus ſi quis ſuper halitus errat,
Ore legam. Sic fata, gradus evaſerat altos,
Semianimemque ſinû germanam amplexa fovebat
Cum gemitu, atque atros ſicabat veſte cruores.
Illa graves oculos conata attollere, rurſus
Deficit: infixum ſtridet ſub pectore vulnus.
Ter ſeſe attollens, cubitoque innixa, levavit:
Ter revoluta toro eſt, oculiſque errantibus, alto
Quæſivit cœlo lucem, ingemuitque repertâ.
Tum Juno omnipotens longum miſerata dolorem,
Difficileſque obitus, Irim demiſit Olympo,
Quæ luctantem animam, nexoſque reſolveret artus.

Nam

❀ ❀ ❀

Στίχ: 722. ὌΜΜΑΣΙ . . . . ΠΥ̓Ρ ΤΌΔ᾽ ἈΦΎΞΑΣ. Δυσοιώνιστος γὰρ τοῖς πλωτῆρσι, φασὶ, νεκρικὴ πυρὰ ἐποφθεῖσα ἀναγομένοις. (Οὕτω καὶ Σέρβ. καὶ Δονάτ.)

Στίχ: 725. ΠΕΠΤΩΚΥ̓ΙΑΝ ἼΔΟΝ. . . . . Τρώσασαν μὲν ἑαυτὴν ἔγνω, πεσεῖσαν δὲ ἤδη ἀπὸ τῆς τρώσεως εἶδον. Εἰκὸς δὲ ἐπὶ τῇ πληγῇ σφαδάζεσης τε καὶ συνταρασσομένης, τὲ ψόφε οὕτως αἰσθέσθαι τὰς ἀμφιπόλες· ὃ καὶ συμβαίνει τὰ πλεῖστα, ἐφ᾽ ὧν αὐτόχειρες ἑαυτὲς διαφθείρασιν· οἷον καὶ Ὄθων (παρὰ Πλετ. εἰς τὸν Βίον·) ἔθετο τὲ πόνε, καὶ τοῖς ἐκτὸς αἴσθησιν παρέσχε· Καὶ Κάτων ὁ νεώτερος ὁμοίως· (παρὰ τῷ Αὐτῷ Πλετ: εἰς τὸν Βίον.) δυσθανατῶν ἐξέπεσε τῆς κλίνης, καὶ ψόφον ἐποίησε καὶ ἄλλοι.

Στίχ: 727. ΑΪΨΑ Δ᾽ ἸΩΓΗ̃ ὌΡΤΟ κτ: Παραβάλλεσιν Οὐϊργίλιον αὐτὸν ἑαυτῷ, ἐν οἷς ποιεῖ Πύρρον σιὼ τοῖς περὶ αὐτὸν εἰς τὰ Πριάμε Ἀνάκτορα εἰσβάλλοντα, καὶ πάντα ἄνωτε καὶ κάτω φέροντα. (Β. Αἰν: στίχ. 520.)

„Δώματα δ᾽ ἐνδοτέρω, οἰκτρῷ κελάδω τε γόωτε
„Σωτετάρακτο . . . . . .

Ἀλλὰ τοῖς τὲ Μάρωνος τέτοις παραθεὶς ἄντις καὶ τὰ Ὁμήρῳ πεποιημένα ἐπὶ τῷ νεκρῷ Ἕκτορος, ἑλκομένῳ ὑπ᾽ Ἀχιλλέως. Ἰλ: Χ. 407.

„ . . . . . ἀμφὶ δὲ λαοὶ
„Κωκυτῷ τ᾽ εἴχοντο, καὶ οἰμωγῇ κατὰ Ἄξυ.

Στίχ: ὭΣ ΕΪ ΠΕΡΘΟΜΈΝΗ κτ: Καὶ παρ᾽ Ὁμήρῳ, ἔνθα προσεχῶς ἀνωτέρω: στίχ. 410.

„Τῷδὲ μάλιστ᾽ ἄρ᾽ ἔΐω ἐναλίγκιον, ὡς εἰ ἅπασα
„Ἴλιος ὀφρυόεσσα πυρὶ σμύχοιτο κατ᾽ ἄκρης.

Στίχ: 735. ΑΪΝΩ̃Σ ΔΡΥΠΤΟΜΈΝΗ ΚΛ́ΣΙΣ κτ: Καὶ παρ᾽ Ὁμήρ᾽ ἔνθ᾽ ἀνωτ: στίχ. 405.

„ . . . . . ἡ δ᾽ εὖν μήτηρ
„Τίλλε κόμην, ἀπὸ δὲ λιπαρὴν ἔρριψε καλύπτρην,
„Ὤμωξεν δ᾽ ἐλεεινὰ πατὴρ Φίλος . . . .

Στίχ: 747. . . . . ΝΗΛΕΙΗ̃Σ . . . . . Ποτέρα; ἐγὼ, ἢ σὺ; Σὺ, ἡ ἐπὶ τὰς ὁμοίας μὴ συμπαραλαβεῖσα με κῆρας, μηδ᾽ ὀπηδὸν ἑλομένη, ὡς ἄνωτ: ἔλεγε. (στίχ. 740.) μόνῃ δὲ μυρίοις κακοῖς ἐνοχεθησομένῃ ἐγκαταλείψασα; ἢ ἐγὼ, ἡ μονωθεῖσαν εἶναί σε ἄτερ ἐμεῦ ἐπιτρέψασα; μηδὲ σοι παραμείνασα καὶ πολυωρήσασα; ἀλλὰ καὶ ἐπὶ τῆς τοιαύτης ἐπιθανατίε παρασκευῆς ἐξυπηρετησαμένη τε καὶ συμπραξαμένη σοι, καὶ τῇ πυρᾷ αὐτῇ χερσὶν ἐμαῖς ἐπινήσασα; (στίχ: 743.)

Στίχ:

Ὄμμασι δ' ἐκ πελάγους νηλειὴς πῦρ τὸδ' ἀφύξας
Δάρδανος, ἡμετέρῳ φερέτω ὅσσαν θανάτοιο.
Ὡς ἄρ ἔφη, καὶ μιν, μεσσηγύς τῶν δε σιδήρῳ
Πεπτωκυῖαν ἴδον θεραπαινίδες ἐξ ἀπάνευθεν.
Αἱματόφυρτον ἄορ τε, μένος δέ τε χεῖρας ἀμοίρους.
Αἶψα δ' ἰωγὴ ὦρτο ἐν αὐλαῖς ὑψορόφοισι,
Καὶ συσσειόθεν ὅλον φήμη βακχεύετ' ἀν' Ἄξυ.
Οἰμωγαῖς, ξονάχοις τε, γυναικείοις τ' ὀλολυγμοῖς
Οἶκος ἅπας βρέμεν, ἄχρι δέ τ' αἰθέρος ἤρετο πένθος,
Ὡς εἰ περθομένη ἐχθροῖσιν ἀνάξατος ἦεν
Καρθαγένη, ἢ γὰν Τύρος ἠὲ πάλαι ἐμμανέσιν τε
Φλοξὶ περισμύχοιτο ἔδη ἀνδρῶν τε θεῶντε.
Ὡς δ' ἐπέπυς', ἔκφρων, ἠδ' ἔντρομος ὦκα δραμεῖσα,
Αἰνῶς δρυπτομένη κάσις, ὅψιν ὄνυξιν ἄμυσσε,
Πύξ τ' ἀναπαιομένη θαμὰ χερσὶ σήθεα καλὰ,
Μεσσηγὺς τ' ἐπόρσεν, ἔπος τ' ἔφατ', ἔκ τ' ὀνόμαζε.
Τοῖα τάδ' ὦ κάσις; ὥς δ' ἀπατήλια μητιάασκες;
Τοῖα πυρή μοι, καὶ πῦρ πόρσω, ἠδέ τε βωμοί;
Τίπτε πρῶτον κλάυσομ' ἐρήμη; ἀδέ μ' ὀπηδὸν
Θνήσκεσ' ἄλλη; αἰθ' ἐφ' ὁμὰς με καλέσσαο κῆρας!
Ταὐτὸ σωαμφοτέρας κεν ἀμ' ἄλγος ἀπῆρε σιδήρῳ.
Ἀλλ' ἔτι τόι καὶ ταῖς δε πυρὶ χέρεσσιν ἔνησα,
Πατρώας τε θεὰς μεγάλῃ φωνῇ βάσρησα,
Ὀφρ' ὡς διχομένης, νηλειὴς, σεῖο ἀπείω.
Ὡς ὄλεσας σέ τε, κἀμὲ τε, καὶ λαόν τε ὁμαίμων,
Σιδονίας πατέρας τε, καὶ Ἄξυ δὲ τεῦθ' ὅ δομήσω.
Νάματά μοι πόρετ', ὄφρα κεν ὠτειλὰς ἀπονίψω.
Καὶ πνοιὴν πυμάτιν, εἴτις πέρι, χείλεσ' ἀφύξω.
Ὡς φαμένη βαθμὸς αἰπεινὸς αἶψα βεβήκει,
Ἡμιθανὴς δὲ κάσιν, σήθεσσιν ἑοῖς πέρι θάλπε,
Κώκυέν τε, μέλαν τ' ἀπὸ μάσσετο εἵμασιν αἷμα.
Ἣ δὲ βαρυωμένη, πειρηθεῖσ' ὅσσε διᾶραι,
Ἐξέλιπ' αὖθις· ὑπαὶ δέ σέρνον τρῶμα ἔσιζε·



❋ ❋ ❋

Στίχ: 748. ΝΑΜΑΤΑ' ΜΟΙ ΠΟΡΕΤ', ὄΟΦΡΑ κτ. Ἦν δ' ἄρα καὶ ἄλλως ἀνέκαθεν νομιζόμενον, τὰ τῶν τεθνεώτων σώματα ὕδασιν ἀπολούοντας, καθαρὰ ὡς οἷόν τε ταφῆ παραδιδόναι.

Στίχ: 749. ΚΑΙ' ΠΝΟΙΗΝ ΠΥΜΑΤΗΝ, κτ. Τοῖς δὲ μάλιστα φιλτάτοις καθῆκεν, ὥσπερ τὰ τῶ νεκρῶ βλέφαρα καθέλκειν, οὕτω καὶ τὸ στόμα τῷ στόματι προσάπτοντας, τὸ λοιπὸν οἷον τῶ περιόντος πνεύματος ἑαυτοῖς ἀναλέγεσθαι τῶν ψυχορραγούντων· ὅπερ ἐκαλεῖτο ψυχορροφεῖν.

Στίχ: 751. . . . . ΣΤΗΘΕΣΣΙΝ ΕΟΙΣ ΠΕΡΙ' ΘΑΛΠΕΝ. Οὕτως ἡ Βρισηὶς παρ' Ὁμήρῳ Ἰλ: Τ. 233.

„Ὡς ἴδε Πάτροκλον δεδαϊγμένον ὀξέϊ χαλκῷ,
„Ἀμφ' αὐτῷ χυμένη, λίγ' ἐκώκυε, χερσὶ δ' ἄμυσσε
„Στήθεα τ' ἰδ' ἁπαλὴν δειρὴν, ἰδὲ καλὰ πρόσωπα.

Στίχ: 754. . . . . ΥΠΑΙ' ΔΕ' ΣΤΕΡΝΟΝ . . . . Οὕτως ἐν παρόδῳ, καὶ τὸ τρωθὲν μέρος σιωπενέφηνεν.

Στίχ:

Nam quia nec fato, meritâ nec morte peribat,
Sed miſera ante diem, ſubitoque aſcenſa furore,
Nondum illi flavum Proſerpina vertice crinem
Abſtulerat, Stygioque caput damnaverat Orco.
Ergo Iris croceis per cœlum roſcida pennis.
Mille trahens varios adverſo ſole colores,
Devolat, et ſupra caput aſtitit, Hunc ego Diti
Sacrum juſſa fero, teque iſto corpore solvo.
Sic ait, et dextrâ crinem ſecat: omnis et unâ
Dilapſus calor, atque in ventos vita receſſit.

## LIB. IV. ÆN. EXPLICIT.

❁ ❁ ❁

Στίχ: 755. ΤΡΙΣ ΜΕΝ ΑΝΕΓΡΟΜΕΝΗ κτ: Ὅμοιον τῷ τὲ Ἀπολλωνίε ἐν τῳ Γ. τῶν Ἀργον. στίχ: 654.

„Τρὶς μὲν ἐπειρήθη, τρὶς δ' ἔχετο, τέτρατον δ' αὖθις
„Λέκτροισι περιωὴς ἐνὶ κάππεσεν εἰλιχθεῖσα.

Στίχ: 760. ΛΙΨ' ΙΡΙΝ ΜΕΘΕΗΚΕ . . . . Ἶρις ἡ Θαύμαντος, καὶ Ἠλέκτρας τῆς Ὠκεανὲ. (Ἀπολλόδ. Βιβλ: Α. Κεφ; Β.) τῇ Ἥρᾳ ἐτέλει, ὅσα καὶ Διὶ Ἑρμῆς ὁ Διάκτορος.

Στίχ: 762. . . . . ΟΥ̓ ΚΑΤἈ ΜὈΙΡΑΝ, ὈΥΔἘ ΚΑΤ' ἈΙΣΑΝ. Τῶν ἐπαγομένων θανάτων οἱ μὲν εἰσὶ Φυσικοὶ, οἱ δὲ βίαιοι· οἱ μὲν γὰρ κατὰ φύσιν ἐπέρχονται, τῶν ὅρων τῆς ζωῆς (ὡς αὐτοὶ φαμὲν) οὓς ἔταξεν ὁ Θεὸς, κατὰ λόγον τῆς ἑκάστε συςάσεως, ἐν διαφερούσαις ταῖς ἡλικίαις πληρεμένων· ἢ, (καλὰ τὰς ἐν τῆς μυθολογίας ἀποφαινομένας) ὡς ἑνὶ ἑκάστῳ αἱ Μοῖραι ἔσηναν, ἐκπερανεμένων· (περὶ δὲ τῶν Μοιρῶν ὅρα τὰ εἰρημένα Δ. τῶν Γεωργ. στίχ: 597.) Οἱ δὲ βίαιοι ἐπιφέρονται, καὶ παρὰ τιὼ φύσιν, πολλὰς τῶν ἀλλοίων καὶ ἀταθάλων μετιέσης τῆς δίκης, καὶ διακοπτέσης ἐν αὐτοῖς τιὼ φορὰν ἐπὶ τῷ μὴ πλέονα μοχθηρεύεθαι, μηδ' ἐπὶ πλεῖον ἀθεμιτεργεῖν. Τὰς μὲν σὺν τῶν θανάτων κατὰ Μοῖραν φησὶν ὧδε ὁ Μάρων συμβαίνειν. Τὰς δὲ κατ' Αἶσαν· ὧν πρὸς ἑδέτερον ἄν τις εἶδος τὸν τῆς δυσπότμε Διδοῦς καλαταξειεν. Ἔρωτι γὰρ αὕτη μανιώδει τινὶ καὶ ἀκαταχέτῳ καλοιζηθεῖσα, τιὼ οἱ πεπρωμένιν ἡμέραν τε καὶ ὥραν προκατελάβετο, αὐτόχειρ τὲ βίε ἑαυτιὼ ὑπεξάξασα. Εἰ δέ τις καὶ τὸτον τοῖς βιαίοις θανάτοις συγκαταλέγεθαι δεῖν διατείνοιτο, ὅσον μὲν τῇ κατὰ φύσιν ἀνήκει συςάσει τε καὶ συγκρασία τὲ σώματος, δώσομεν· ἦπε γὰρ ἐπέζησεν ἂν ὁ αὐτόχειρ εἰμὴ πρὸς βίαν αὐτὸς ἑαυτὸν διεχρήσατο· καθ' ὅσον δὲ τιὼ προαίρεσιν ἀφορᾷ τῆ ἐκβασίως θανατιῶντος, ἐκέτι, οὐδὲν γὰν ἐθελούσιον βίαιον.

Στίχ: 764. . . . . ὈΥΠΩ ΤἨΣ ΞΑΝΘἨΝ ΤΡἸΧΑ ΠΕΡΣΕΦὈΝΗ κτ: Τιὼ Περσεφόνιν ὁ μῦθος πλάττει, μίαν τινὰ τῶν τριχῶν τοῖς ἀποιχομένοις ἐκτέμνεσαν, τῷ Ἀιδωνεῖ παραπέμπειν τὸν θνήσκοντα. Διὸ καὶ Ὀρφεῖ ᾄδεται ἐν Ὕμν. ΚΗ. στίχ: 15.

„Ζωὴ καὶ θάνατος μένη θνητοῖς πολυμόχθοις
„Φερσεφόνεια·

Τῇ γαμιὼ Διδοῖ ἀλλοκότε τῆς τελευτῆς γενομένης, ἀντὶ Περσεφόνης ἡ Ἶρις ἐπὶ τὸ ἔργον ὑπὸ τῆς Ἥρας ἀντικαθίσαται. Στίχ:

Τρὶς μὲν ἀνεγρομένη ἐφ' ἑῷ προσερείσατο πήχει,
Τρὶς δ' ἐπανεκλίνθη λέκτροις· ἀτὰρ ὄσσε ἀλῆτις
Δῖζεν ἀπ' οὐρανόθεν φάος· ὡς δ' εὗρε ξονάχησε.
Τόφρ' ὀδώης μακρᾶς, θανάτοιό τε ἀργαλέοιο
Ἥρη παμβασίλεια ἐποικτείρασ' ἀπ' Ὀλύμπου
Αἶψ' Ἶριν μεθέηκε, παλαίσασαν καταπαῦσαι
Ψυχὴν, καὶ μελέων ἐξ ἁρμονίης ἀπολῦσαι.
Καὶ γὰρ ἐπεὶ ὣς, ἃ κατὰ μοῖραν, μηδὲ κατ' αἶσαν,
Θνῄσκεν ὀϊζυρὴ, πρόγε ὥρης ῥίμφα μανεῖσα,
Οὔπω τῆς ξανθῆς τρίχα Περσεφόνη τετμήκει,
Οὐδ' Ἀΐδῃ σύγιφ κράς αὐτῆς φράσσατ' ἰάψαι.
Ἶρις ἄρ' οὐρανόθεν κροκέοις πτερύγεσσ' ἐρσώδης,
Χιλιόχρωμος ἰοῦσ' ἀπεναντίον ἠελίοιο,
Κρατὸς ὕπερθ' ἔσχ'· Ἀϊδωνεῖ τιὼ δε δὲ, εἶπε,
Θέσθ' ἱερὴν τάχβιν. Καὶ δὴ δέμας ἐκ σ' ἀπολύω:
Ὣς φάτο· δεξιτερῇ τρίχα δ' ἄρ' τάμεν· αὐτίκα δ' αἶψα
Θερμωλὴ διόλυθ' εἰς αὔρας, Πνεῦμα δ' ἀπέπτη.

## ΤΕΛΟΣ ΤΟΥ Δ'. ΤΗΣ ΑΙΝΕΙΑΔΟΣ ΒΙΒΛΙΟΥ

❁ ❁ ❁

Στίχ: 766. ΙΡΙΣ ΑΡ' ΟΥΡΑΝΟΘΕΝ κτ: Ἐπὶ νεφέλης ἐνδρέσε, ἢ ἐν μετεώροις φυσικῶς συμβαίνεσα Ἶρις ὀπτάνεται, ἡλίε μὲν ἀπέναντι κειμένης, τὰς δὲ ἐκεῖθεν ἐκπεμπομένας αὐγὰς, κατὰ γωνίας μοιρῶν πλειόνων ἢ ἐλασσόνων διαθραυόσης, καὶ ἀναπεμπόσης ταῖς ὄψεσιν· ὅθεν ἡ ποικίλη χρωματουργία, ἡ τέρψιν ἅμα καὶ θαῦμα ἐμποιοῦσα τοῖς θεωμένοις· ἐξοῦ καὶ Θαυμαντιὰς, οἶμαι, ἡ ἐπὶ τὸ φαινόμενον μετεωριθεῖσα ὑπὸ τῶ μύθε Κόρη ὠνόμασαι.

Στίχ: 769. . . . . ΔΕΜΑΣ . . . . Τὸ μὲν ἔμψυχον, οἱ Ποιηταὶ, δέμας καλεῖν εἰώθασι τὰ πολλὰ, διὰ τὸ δεδέσθαι καὶ συνεχηκέναι· οἷον παρ' Ὁμ. „Ἰλ: Α. στίχ: 115. Οὐ δέμας, οὐδὲ φυὴ· καὶ πολλαχοῦ. Σῶμα δὲ λέγεσι τὸ ἄψυχον, ὡς σῆμα τι διαμένον τῶ ποτὲ ζῶντος: οἷον σώματ' ἀκηδέα κεῖ„ται. Ἀλλ' Εὐριπίδη ἐνηλλαγμένως εἴρηταί πε: Ἕκτον δὲ δὴ τὸ' ἦμαρ, „ἔξότε σφαγαῖς θανοῦσα μήτηρ, πυρὶ καθήγνισαι δέμας. Δεῖξαι γὰρ Ἀργείοισι σῶμ' Ἀχύνομαι· ἡ σημείωσις ἐκ τῶν ἀναγραφομένων Διδύμω.

ΤΕΛΟΣ ΤΩΝ ΕΙΣ ΤΟ' Δ'. ΤΗΣ ΑΙΝΕΙΑΔΟΣ

Σημειώσεων.

# SPHALMATA TYPOGRAPHICA

## LIBR. I.

*Corrige:*

| | | |
|---|---|---|
| Verſ. 199. | Uina - - - | Vina |
| 229. | vertere - - - | vertice |
| 273. | Uoluendis - - | volvendis |
| 319. | Uirginis - - - | Virginis |
| 400. | deſpectate. - - | deſpectare |
| 601 | miſcrata - - | miſerata. |
| 610. | qni - - - | qui |
| 644. | menſis - - | menſis |
| 662. | faeiem - - | faciem |
| 747. | Vnde - - - | Unde |

## LIBR. II.

| | | |
|---|---|---|
| 132. | Iamque - - - | Jamque |
| 193. | Vltro - - - | Ultro |
| 213. | Lacoonta - - | Laocoonta |
| 223. | Qnales - - - | Quales |
| 245. | fiſtimus - - - | ſiſtimus |
| 448. | Aautatas que - - | Auratas que |
| 473. | Nuuc - - - | Nunc |
| 476. | Vnà - - - | Una |
| 519. | Vt - - - | *Ut* |
| 532. | Coneidit - - | Concidit |
| 560. | ſnbii - - - | ſubiit |
| 630. | evertir - - - | evertit |
| 662. | Iamque - - - | Jam que |
| 682. | Ievis - - - | Levis |
| 750. | caſus - - - | caſus |
| 755 | ſilentia - - - | ſilentia |
| 771. | fine ſinet - - | ſine fine |
| 774. | ſteterun qne - - | ſteteruntque |
| Jbid. | faucibas - - - | faucibus. |

## LIBR. III.

| | | |
|---|---|---|
| 16. | eurvo - - - | curvo |
| 48. | ſteterunque - - | ſteteruntque |
| 356. | noſtras que - - | noſtræque |
| 304. | inauen - - - | inanem |
| 346. | comitautibus - - | comitantibus |
| 357. | Ncc - - - | Nec |
| 367. | obſcenam - - | obſcoenam |
| 431. | informem - - | informem |
| 483. | ſubtemine - - | ſubtemine |
| 534. | aſpergine - - | aſpergine |

*Corrige:*

| | | |
|---|---|---|
| Verſ. 622. | veſcirur - - - | veſcitur |
| 664. | infrendes - - - | infrendens |
| 685. | utranque - - - | utramque |

LIBR. IV.

| | | |
|---|---|---|
| Verſ. 143. | ubl - - - | ubi |
| 161. | commiſta - - | commiſtâ |
| 197. | Inceuditque - - | Incenditque |
| 220. | omnipoteus - - - | omnipotens |
| 312. | pcteres - - - | peteres |
| 316. | voſtra - - - | noſtra |
| 317. | quiquam - - - | quidquam |
| 330. | epuidem - - - | equidem |
| 363. | perrerrat - - - | pererrat |
| 464. | fic - - - - | ſic |
| 381. | I - - - - | I, |
| 480. | cad utem - - | cadentem |
| 512. | ſimnlatos - - - | ſimulatos |
| 334. | fororem - - - | ſororem |
| 697. | aſcenſa - - - | accenſa |

## ΣΦΑΛΜΑΤΑ ΔΙΟΡΘΩΣΕΩΣ ΔΕΟΜΕΝΑ.

Ἐν τῇ Ὑποθέσει τῶ Α΄ Βιβλ. Σελίδος ἐν γραμμῇ τῇ ἑχάτῃ, μετὰ τὸ (προελθέσῃ) λάπει τὸ κῶλον: (καὶ ἐυνόιαις παρ αὐτῇ ἀπολάυεσι.)

BIBΛ: Α΄.

| | | |
|---|---|---|
| Στίχ: 151. | Ὑμῶν: — Γεάφε: - - | Ὑμέων |
| 181. | ὑπένερθεν ἀεὶ - - - | ὑπένερθ' αἰεὶ |
| 240. | Ἠὲ - - - - | Ἠὲ |
| 279. | Κῦσεν - - - - | Κύσσεν |
| 309. | ἐκ φύτλης ἀποφὺς - - | ἐκ φύτλης καλῆς ἀποφὺς. |
| 338. | ἄῤ ἔχον - - - - | ἦ ῥ' ἔχον |
| 352. | ἦ ῥά - - - - | ἦ ῥὰ |
| 365. | ἱερὰ βωμοῖσιν - - - | ἱερὰ βωμοῖς |
| 404. | Ὕμες - - - - | Υ̓́μμες |
| 630. | ἐῖς - - - - | ἔις |
| 642. | ὧδ' αὐτὸς, τὸν - - | ὧδ' ὅν |
| 719 | ὕπποι - - - - | ὅποι |

## ΒΙΒΛ: Β΄.

Στίχ: 3. ὦ - - - - - - ὦ
23. μόνον καὶ ναύϛαθμος - μόνον ναύϛαθμος
54. ϛηρχιθὲν - - - ϛηριχθὲν
120. αἶψ - - - - αἶψ'
168. νόμος πάτρης - - - πάτρης νόμος
459. ὑμῶν - - - - ὑμέων
518. ἀρχαίων τ' ἀνάκτων - ἀρχαίων τε ἀνάκτων
566. κετέρυκε - - - κατέρυκε
683. σιὼ δὲ Θεῷ αὐτῇ με ἀγέσῃ σιὼ δ' ἄρ Θεῷ ἄμμιγ' ἀγέσῃ
694. τάς μοι ἔδρας - - τάς δ' ἔδρας
787. αἰγλήεντά τε - - - αἰγλῆντα τε
817. ἠδ' ἄσυλόν τε - - - ἠδέ τ' ἄσυλον
825. κραδιήφι - - - - κραδίῃφι

## ΒΙΒΛ: Γ΄.

Ἐν τῇ ὑποθ: (Γραμ: 18.) κλύδονι — γράφε: — κλύδωνι· καὶ (Γραμ: 19.) ἐπιπολαζεσῶν — γράφ: — ἐπιπολαζεσῶν.

Στίχ: 53. λάθῃ - - - - - λάθῃ
60. Ἱρὴ βελιμίη χρυσοῖο - Ἱρὸς χρυσῆ λιμὸς
95. ψυχαῖς δὲ παρείης ἡμετέρῃσι ψυχαῖς ἡμῶν ἐνιβάλλοις·
101. Ὑμᾶς - - - - - Ὑμμέας
159. Ἰλιόθεν - - - - - Ἰλιόθεν
170. πόρσιωε τεῖχος - - πόρσιω Ἄσυ
177. Ἄιδ' ὑμῖν - - - Κεῖναι ὑμῖν
191. ὁ δ' ἔγνω διξὸς τε γενήτας ἔγνω διξὸς δ' ὁ γενήτας
240. κραδῶσαι - - - κραδῶσαι
241. μιαινόν τε ἀφαῖς ἀκαθάρτοις μιαινον ἀφαῖς τ' ἀκαθάρτοις
244. σκιαρῶισι - - - - σκιερῶῖσι
336. ἐγὼ - - - - - ἐγὼ
398. Μοιράων - - - - Μοιράων
404. ἔμμεναι οἷες - - - ἔμμεν' οἷες
470. Ἐυ ῥὰ - - - - Εὖ ῥά τε
419. Ὑμῖν - - - - Ὕμμιν
422. ὑμέτεραι - - - αἱ σφέτεραι
585. ἔγρεσθε ἐπ' ἐρετμὰ - - ἔγρεσθ' ἐπ' ἐρετμὰ
604. Ἄτνίω - - - - Αἰτνίω
612. γὰρ - - - - - γὰρ
637. ἔτοι δηθιώων - - - ἐ μέλλων
648. Τὸν δ' - - - - - Τὸν δ'
649. διζυρῶν - - - - διϊζυρῶν
656. ἑαυτῇ - - - - ἑαυτῇ
681. ὔμες - - - - ὔμμες·

Ἐν τῇ Ὑποθ: (Γραμ. 14) Γετύλοις — γράφε — Γαιτύλοις

| | | |
|---|---|---|
| Στίχ: | 80. ἐδείκνυ ἰδ' Ἄξυ ἑτοῖμον - | ἐδείκνυ Ἄξυ ἑτοῖμον· |
| | 80. ἄϊεν - - - - | ἄϊεν |
| | 113. ἀκτὰς δὲ - - - | ἀκτάς δε |
| | 115. μιώνεσθαι - - - | μάχεσθαι |
| | 161. δεσμῷ τε σιωπέρε | δεσμῷ χρυσῷ τε σιωπέρε |
| | 211. ἄλόντε - - - - | ἁλόντε |
| | 237. Ναοῖς - - - - | Νηοῖς |
| | 239. ἴδεν | εἶδεν |
| | 289. ὤμοιϊν - - - - | ἄμοιν |
| | 304. ὡς - - - - - | ὥς |
| | 339. κατίχει - - - - | κατίχει; |
| | 378. Ἰταλίην Γρώιος - - | Ἰταλίην μεγάλην Γρώιος |
| | 511. Ἀιὲν λειπ: κτ: - - | Ἀιὲν λειπομένη τε ὀπηδῶν νόσφι ἐλαύνειν. |
| | 512. Μακρὰν πε τ' ἐδόκει - - | Μακράν πε ἐδόκει |
| | 698. πέλαγος δ' ἀξω - - | πέλαγόσδ' ἄξω |
| | 651. πίεζει - - - - | πιέζει |

Ποικίλα δε καὶν ταῖς Σημειώσεσι παρεισέφρησε σφάλματα, τὰ μὲν ἐν παραγραμματισμοῖς, τὰ δὲ ἐν παραπνευματισμοῖς ἢ παρατονισμοῖς, τὰ δὲ ἐν προθήκαις ἢ ἀφαιρέσεσι, τὰ δ' ἄλλως πως, ἃ καὶ ῥᾴδιον τοῖς ἐπιμελῶς μετιοῦσι διακρίνειν τε καὶ ἐπανορθῶν. Ἐξ αὐτῶν βραχέα δείγματος χάριν κείσθω:

## Ἐν ταῖς Σημειώσεσι τῆ Α'. Βιβλ.

| | | |
|---|---|---|
| Στίχ: | 141. placitum - - - - | placidum |
| | 186. (ἐν Γραμμῇ 2.) Κυκλόπων - | Κυκλώπων |
| | 196. (ἐν Γραμ. ἑχάτῃ) Σράβων | Στράβων |
| | 517. (9) σίκοθεν - - - | οἴκοθεν |

κτ: κτ:

## Ἐν ταῖς τοῦ Β'.

| | | |
|---|---|---|
| Στίχ: | 43. (Γραμ. 8.) ἐδ' - - | ἐδ' |
| | 46. (7.) Δανοῖς - - - | Δαναοῖς |
| | 172. τὰ ἀπ' ἐντεοῦθεν - - | τὰ ἀπ' ἐντεῦθεν |
| | 174. (3) εἴρητι - - - | εἴρηται |
| | 553. (3) Τεῖς – τοῖς. κ (19) πυριεγάζ: | περιεγάζ: |
| | 833. (3) ἀναπεμπαζόμενα - | ἀναπεμπαζομένε |
| | καὶ (4) συμβάλεται - | συνεβάλετο |
| | 838. (6) σιωάμα — σιωάμα. καὶ | |
| | (13) Θόμβρις - - - | Θύμβρις |

κτ: κτ:

Ἐν

## Ἐν ταῖς τοῦ Γ΄.

| | | |
|---|---|---|
| Στιχ: | 60. ἹΡΗ΄ ΒΟΥΛΙΜ: ΧΡΥΣ: - | ἹΡΟΣ ΧΡΥΣΟΥ ΛΙΜΟΣ |
| | 69. (16) μετέπειτω - - | μετέπειτα |
| | 293. (4) δυσμενεῖς - - - | δυσμενεῖς |
| | 444. Αὐτ: (4) ἤαατι - - | ἤματι |
| | 664. (2) διάτε τὸ κυκλοτερὲς - | διά τε τὸ μέγεθος καὶ τὸ κυκλοτ: |
| | 720. (13( τᾷ - - - - - | τᾷ |
| | 725. (2) ἀναχεόμε-νος - - | ἀναχεόμενος |
| | 734. (3) Σπιλάδες - - - | Σπιλάδες |
| | 735. (8) δρεπάνοο - - - | δρέπανον |

κτ: κτ:

## Ἐν ταῖς τᾷ Δ΄.

| | | |
|---|---|---|
| Στίχ: | 61. Γραμ. (11) ἁρπαγῆε - - | ἁρπαγῆς |
| | 76. (7) ἐλήφθη - - - | ἐλήφθη |
| | 80. (Αυτ:) ΙΔ΄ - - - | πλεοναζει τὸ, ΙΔ΄ |
| | 110. (2) Εἰκὸς - - - | Ἐικὸς |
| | 136. (3) Κυθέρεω - - - | Κυθέρεια |
| | 180. (5) ἰχύσειανι - - - | ἰχύσειαν |
| | 184. (3) ὑπνωτικὰ - - - | ὑπνωτικὰ |
| | Αυτ: (10) ὁλολυγόσα - - | ὁλολυγόνα |
| | Αὐτ: (17) μονονεχὶ - - | μονονεχὶ |
| | 190. (8) μᾶσον - - - | μᾶλλον |
| | 237. (5) γενοομένε - - - | γενομένε |
| | 242. (7) ἐπιτέλλα - - - | ἐπιτέλλω |
| | 263. (8) δ' αὐτῆς - - - | δι' αὐτῆς |
| | 560. ΤΡΙΠΛΑΣΙΗΝ - - | ΤΡΙΠΛΑΣΙΗΝ |
| | 584. (7) Παρείθεσ.) - - | Παραθέσ. |
| | 597. (2) ἀοτιὼ - - - | ἀυτιὼ |
| | 116. ΌΖΥΓΙ ΉΜΥΝΑ΄ΜΗΝ κτ: | Τὸ ἔπος ὅλον ἔτως ἀναγνωσθήτω ὡς ἔχει ἐπὶ τᾷ ὕφες: |

„Δαέρι κατ' κάσιος δ' ἤμωάγε δυσμενέοντος.

762. (18) γὰν - - - γὰρ

κτ: κτ: